







1837
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE


1837
ARTES
VERITAS
SCIENTIA
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

u

HOMERS

ILIADE.



ERKLAERT


VON

J. U. FAESI.

ZWEITER BAND.

VIERTE AUFLAGE.

BERLIN,
WEIDMANNSCHE BUCHHANDLUNG.
1865.



VORWORT.

Was ich bei der zweiten Auflage der Ilias versäumt, der zahlreichen Mittheilungen meines Freundes Ulrich Benker zu erwähnen, aus welchen jene in vielen Stellen berichtigt wurde, das fühle ich mich gedrungen jetzt nachzubringen und dem nunmehr Dahingeschiedenen einen dankbaren Nachruf dafür zu wiedmen. Auf die berichtigte Gestaltung dieser dritten Auflage haben besonders die gründlichen Bemerkungen Einfluss gehabt, welche mir Hr. Prof. Friedr. Rauchenstein auch über sämmtliche Bücher der Ilias mitgetheilt hat. Ausserdem gewährte mir die ausführliche Recension des Hrn. Prof. Ameis (Jahn N. Jahrbb. für Philol. u. Pädag. 73, 4. S. 201—228) vielfache Belehrung, so wie insbesondere die vier Programme von Director Dr. Joh. Classen: Beobachtungen über den homerischen Sprachgebrauch. Frankf. a. M. 1854—1857.

Im übrigen habe ich bei dieser Ueberarbeitung dieselben Grundsätze befolgt, wie früher, und verweise diesfalls auf das kurze Vorwort zur dritten Auflage der Odyssee. Die neue Bekker'sche Ausgabe, Bonn 1858, konnte noch nicht berücksichtigt werden.

Zürich, Ende November 1858.

DER HERAUSGEBER.



ΕΠΙΓΡΑΦΑΙ ΚΑΙ ΥΠΟΘΕΣΕΙΣ

ΤΩΝ ΤΗΣ ΙΛΙΑΔΟΣ ΡΑΨΩΙΔΙΩΝ.

Ν. *μάχη ἐπὶ ταῖς ναυσίν.*

Ποσειδῶν νικωμένους ἐλεῶν τοὺς Ἕλληνας ὁμοιοῦται Κάλχαντι καὶ ἀμφοτέρους τοὺς Αἴαντας παρορμᾷ, ἔπειτα δὲ καὶ τοὺς ἄλλους. μετὰ ταῦτα Ἰδομενεὺς ἀριστεύει καὶ ἀναιρεῖ Ὀθρυονέα καί τινας ἄλλους. πολλοὶ δὲ αὐτῶν ἀναιροῦνται. τιτρώσκονται δὲ Δηίφοβος καὶ Ἕλενος. τοὺς δὲ ὑπηκόους συναγαγὼν Ἕκτωρ ἐπάγει τοῖς πολεμίοις, καὶ μεγάλως ἀμφοτέρωθεν ἀναιροῦνται.

Ξ. *Διὸς ἀπάτη.*

Ἀγαμέμνων συμπαραλαβὼν τοὺς τραυματίας καὶ Νέστορα σὺν αὐτοῖς ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης κατέρχεται, καὶ τὸν ὕπνον πείσασα κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ, καὶ πολὺς φόνος γίνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα πλήσσει· ὁ δὲ ἀναγαγὼν αἷμα λειποψυχεῖ. ἀριστεύει δὲ καὶ Αἴας ὁ Λοκρός.

Ο. *παλίωξις παρὰ τῶν νεῶν.*

Ζεὺς ἐγερθεὶς καὶ θεασάμενος τοὺς Τρῶας νικωμένους Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν μεταπέμπει πρὸς Ποσειδῶνα, κελεύων ἀφίστασθαι τοῦ πολέμου, Ἀπόλλωνα δὲ ὅπως ἀναρρώσῃ τὸν Ἕκτορα, ὃς ἀναλαβὼν αἰγίδα τοὺς Ἕλληνας εἰς φυγὴν τρέπει. καὶ μέχρι τῶν νεῶν συνδιωχθέντων Αἴας ὁ Τελαμώνιος πολλοὺς ἀναιρεῖ τῶν πολεμίων τοὺς ταῖς ναυσὶ πῦρ ἐπιφέροντας.

Π. *Πατρόκλεια.*

Πατρόκλῳ δεηθέντι Ἀχιλλεὺς ἐπιτρέπει τὴν ἑαυτοῦ πανοπλίαν ἀναλαβεῖν καὶ τοὺς Μυρμιδόνας ἐξάγειν ἐπὶ τὸν πόλεμον· οἱ

δὲ ἐξελθόντες ἔτρεψαν τοὺς Τρῶας. Πάτροκλος δὲ Σαρπηδόνα τὸν Διὸς ἀναιρεῖ, τὸν παρήορον ἵππον τοῦ Ἀχιλλέως ἀνελόντα Πήδασον. ἔπειτα δὲ Πάτροκλον Ἕκτωρ ἀναιρεῖ πληγέντα πρότερον ὑπὸ Εὐφόρβου, Ἀπόλλωνος ἀφελομένου τὴν πανοπλίαν αὐτοῦ.

Ρ. *Μενελάου ἀριστεία.*

περὶ τοῦ Πατρόκλου σώματος κρατερὰ συνίσταται μάχη, καθ᾽ ἣν Εὔφορβος μὲν ἀναιρεῖται ὑπὸ Μενελάου, Ἕκτωρ δὲ τὴν Ἀχιλλέως ἐνδύεται πανοπλίαν καὶ ἀνθίσταται τοῖς Ἕλλησιν. οἱ δὲ περὶ Μενέλαον Ἀντίλοχον διαπέμπονται πρὸς Ἀχιλλέα τὸν Πατρόκλου θάνατον ἀγγελοῦντα, ὑποδύντες δὲ καὶ ἀράμενοι τὸ σῶμα τοῖς ὤμοις ἐκφέρουσι τῆς μάχης. οἱ δὲ Αἴαντες προμαχοῦσι καὶ ἀπείργουσι τοὺς πολεμίους.

Σ. *ὁπλοποιία.*

Ἀχιλλεὺς τὸν Πατρόκλου θάνατον ἐπιγνοὺς ὀδύρεται. ἀνελθοῦσα δὲ ἡ Θέτις ἐκ τῆς θαλάσσης παρηγορεῖ αὐτόν, καὶ παραινεῖ ἀπέχεσθαι τοῦ πολέμου ἕως ἂν αὐτῷ ὅπλα κομίσῃ παρὰ τοῦ Ἡφαίστου. κελευσάσης δὲ Ἥρας ἄοπλος προελθὼν ἐπὶ τὴν τάφρον ἐπιφαίνεται τοῖς πολεμίοις, καὶ αὐτὸν ἐκπλαγέντες φεύγουσιν, καὶ κατὰ τὴν φυγὴν πολλοὶ διαφθείρονται. τὸ δὲ τοῦ Πατρόκλου σῶμα διασώσαντες οἱ Μυρμιδόνες λούουσιν. Ἥφαιστος δὲ Ἀχιλλεῖ πανοπλίαν κατασκευάζει.

Τ. *μήνιδος ἀπόρρησις.*

Θέτιδος κομισάσης Ἀχιλλεῖ τὰ ὅπλα παρὰ Ἡφαίστου, συναγαγὼν εἰς ἐκκλησίαν τοὺς Ἕλληνας ὁ ἥρως ἀπόρρησιν ποιεῖται τῆς μήνιδος, καὶ λαμβάνει τὰ δῶρα ἅπερ αὐτῷ Ἀγαμέμνων δώσειν ὑπέσχετο. τροφὴν δὲ ἀνελομένων ἐκείνων αὐτὸς ἄσιτος διαμείνας ὁπλίζεται καὶ στρατιὰν ἐξάγει ἐπὶ τὸν πόλεμον. ὁ δὲ ὕστερος τῶν ἵππων αὐτοῦ Ξάνθος τὴν ἐσομένην αὐτῷ ἀναίρεσιν καταμαντεύεται, ᾧ ἐπιπλήττει.

Υ. *θεομαχία.*

Διὸς ἐπιτρέψαντος κατέρχονται βοηθήσοντες οἱ θεοὶ πάντες, τοῖς μὲν Ἕλλησιν Ἥρα τε καὶ Ἀθηνᾶ καὶ Ποσειδῶν καὶ Ἥφαιστος καὶ Ἑρμῆς, τοῖς δὲ Τρωσὶν Ἀφροδίτη καὶ Ἀπόλλων, ἔτι δὲ καὶ Ἄρτεμις καὶ Λητὼ Ἄρης τε καὶ Σκάμανδρος. Αἰνείαν δὲ ἀντιστάντα Ἀχιλλεῖ σῴζει Ποσειδῶν νεφέλῃ καλύψας. Ἀχιλλεὺς δὲ ἄλλους τε ἀναιρεῖ καὶ Πολύδωρον τὸν Πριάμου παῖδα. Ἕκτωρ

δὲ ἀντιστὰς αὐτῷ φεύγει, Ἀπόλλωνος σώσαντος αὐτόν. τοὺς δὲ ἄλλους Ἀχιλλεὺς ἐπὶ τὴν πόλιν φεύγοντας κατεπείγει.

Φ. μάχη παραποτάμιος.

τῶν Τρώων εἰς δύο διαιρεθέντων μέρη, τοὺς μὲν εἰς τὴν πόλιν τοὺς δὲ εἰς τὸν Σκάμανδρον Ἀχιλλεὺς διώκει, καὶ δεκαδύο νεανίας ζωγρεῖ εἰς ποινὴν Πατρόκλου, τὸν δὲ Πριάμου υἱὸν Λυκάονα καὶ Ἀστεροπαῖον ἀναιρεῖ. ἔπειτα τοῦ ποταμοῦ πλημμύραντος κινδυνεύοντα αὐτὸν σώζει Ἥφαιστος, ἐμπρήσας τὸν ποταμὸν καὶ τὸ πεδίον. μετὰ ταῦτα θεῶν μάχη γίνεται πρὸς ἀλλήλους. Ἀχιλλέα δὲ Ἀπόλλων εἴργει Ἀγήνορι ὁμοιωθείς, καὶ φεύγων ἐξαπατᾷ, ἕως οἱ Τρῶες διασώζονται εἰς τὴν πόλιν.

Χ. Ἕκτορος ἀναίρεσις.

τῶν Τρώων ἐγκλεισθέντων εἰς τὴν πόλιν μόνος Ἕκτωρ ὑπομείνας Ἀχιλλέα τὸ μὲν πρῶτον φεύγει, ἔπειτα δὲ ἀνθίσταται Ἀθηνᾶς αὐτὸν πεισάσης καὶ ἀναιρεῖται. ἐξάψας δὲ αὐτὸν τοῦ ἅρματος Ἀχιλλεὺς διὰ τοῦ πεδίου ἐπὶ τὸν ναύσταθμον ἕλκει. οἱ δὲ κατὰ τὴν πόλιν ὀδύρονται ταῦτα ὁρῶντες ἐγκεκλεισμένοι.

Ψ. ἆθλα ἐπὶ Πατρόκλῳ.

Ἀχιλλεὺς τῶν νενομισμένων ἐπὶ τοῖς νεκροῖς μεταδίδωσι Πατρόκλῳ τυραννήσας καὶ σφάξας ἐπ' αὐτῷ δυοκαίδεκα Τρωικοὺς νεανίσκους καὶ κύνας καὶ ἵππους καὶ ἄλλα ἱερεῖα. ἔπειτα καὶ ἀγῶνα ἐπιτάφιον ποιεῖ, ἐν ᾧ νικᾷ ἵπποις μὲν Διομήδης, δρόμῳ δὲ Ὀδυσσεύς, ἄλλοι δὲ ἄλλως· καὶ οὕτως ὁ ἀγὼν διαλύεται.

Ω. Ἕκτορος λύτρα.

Ζεὺς κηδόμενος Ἕκτορος Θέτιν πρὸς Ἀχιλλέα πέμπει, ὅπως ἀποδῷ τοῦ ἥρωος τὸ σῶμα, Ἶριν δὲ πρὸς Πρίαμον, ὅπως λύτρα κομίσας Ἀχιλλεῖ τὸν νεκρὸν τοῦ παιδὸς ἀπολάβοι. ὁ δὲ προπεμφθεὶς ὑπὸ Ἑρμοῦ, κοιμίσαντος τοὺς Ἑλληνικοὺς φύλακας, παραγίνεται πρὸς τὸν Ἀχιλλέα, καὶ ἱκετεύσας αὐτὸν ἀπολαμβάνει τὸν υἱόν, καὶ ἀνακομίσας εἰς τὴν πόλιν θάπτει καὶ ἐπ' αὐτῷ δεῖπνον ἄγει.

N.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, 13
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀιζὺν
νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν
Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν 5
γλακτοφάγων, Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.
ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμόν
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν.

Nachdem Zeus durch Begünstigung der troischen Waffen einen Erfolg herbeigeführt hat, der ihm für Ein Mal zu genügen scheint, wendet er, wie zur Erholung, seine Augen vom Kampfplatze ab und auf einige wegen ihrer Frömmigkeit von den Göttern geliebte thrakische Völkerschaften. Diesen Moment seiner unterbrochenen Aufmerksamkeit benutzt sogleich Poseidon, um den Achäern Hülfe zu leisten und diese wieder in eine günstigere Stellung zu bringen, wodurch der Entscheid neuerdings hinausgezogen wird.

3. *πάλιν τρέπεν* vgl. *γ*, 427 *ὄσσε πάλιν κλίνασα*: aus der vorigen Richtung, daher auch seitwärts (*νόσφιν*). Er wollte dem Kampfe nicht länger zusehen, wesshalb *τοὺς μὲν* im vorigen Verse auf Troer und Achäer zu beziehen ist. Zeus befindet sich seit *λ*, 182 f. vgl. *μ*, 252 f. immer auf dem Ida.

4–6. *Θρῃκῶν – Ἀβίων.* Von diesen vier Völkerschaften kommen nur die Namen der zwei ersten im Katalogos vor; die beiden letztern, skythische Stämme nördlich vom schwarzen und asow'schen Meere, wurden erst später bekannt. Bei *γλακτοφάγων* ist wohl an Pferdemilch und Pferdekäse zu denken. Den Namen *Ἄβιοι* scheint der Dichter von *βία* abzuleiten; denn *δικαιότατοι* sind humanissimi, die am meisten gesittigten. Vgl. zu Od. *ι*, 175 *ἄγριοι οὐδὲ δίκαιοι.*

8. *οὐ γὰρ ὅ γ' – ἐέλπετο.* Wirklich hatten sich die Götter seit der ersten Zurückweisung von Hera und Athene *ϑ*, 397–431 aller Theilnahme am Kampfe enthalten (vgl. *λ*, 74–77) und höchstens etwa einen guten Rath gegeben, was sie *ϑ*, 36 auch selbst sich vorbehalten hatten.

13 οὐδ' ἀλαοσκοπίην εἶχε κρείων ἐνοσίχθων·
11 καὶ γὰρ ὁ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε
ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηικίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.
15 ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος,
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
20 τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάς, ἔνθα τέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε,
25 χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ· γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου,
βῆ δ' ἐλάαν ἐπὶ κύματ'. ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·

10. *οὐδ' ἀλαοσκοπίην κτέ.* d. h. aber dieses blieb nicht unbemerkt von Poseidon, vgl. zu *κ*, 515.

11. *θαυμάζων* mit Staunen und Theilnahme betrachtend, vgl. Od. *θ*, 265.

12 f. *Σάμου Θρηικίης* wie *ω*, 78 einfach *Σάμου*. Das Compositum Samothrake kennt Homer noch nicht.

14. *Πριάμοιο πόλις* d. h. ihre Gegend, vgl. zu *η*, 20.

15. *ἐλέαιρε δ' Ἀχαιούς*. Die ihm von jeher anwohnende Liebe zu diesem Stamme hatte den vorübergehenden Unwillen *η*, 445–453 überwunden.

18. *κραιπνὰ – προβιβάς*. Aehnliche Schilderungen vom Gang der Götter vgl. *ξ*, 225–230. 285.

21. *Αἰγάς*. Ueber das wahrscheinlich hier zu verstehende Aegae vgl. zu Od. *ε*, 381. *λίμνη* wie 32 das abgegrenzte Meer in einer Bucht oder zwischen Inseln; vgl. zu Od. *γ*, 1.

22. *ἄφθιτα αἰεί*. Ein ungewöhnlicher Hiatus, veranlasst durch das häufige adverbiale *ἄφθιτον αἰεί*.

23–26. *ὑπ' ὄχεσφι – δίφρου* wie *θ*, 41–44. Es scheint dem Dichter dieses Stückes (1–38) nur darum zu thun gewesen zu sein, die schöne Schilderung von Poseidon's Aufzug anzubringen; sonst hätte ja dieser von Samothrake nach Troia näher gehabt, als nach Aegae, wo er den Wagen holt.

27. *βῆ δ' ἐλάαν* uneigentlich nach der Formel *βῆ δ' ἰέναι*. Das Hüpfen der Seethiere veranschaulicht das Behagen derselben in ihrem Elemente, hier als Freude über die sichtbare Nähe ihres Beherrschers gefasst.

γηθοσύνη δὲ θάλασσα διίστατο. τοὶ δ' ἐπέτοντο 29
ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων. 30
τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐύσκαρθμοι φέρον ἵπποι.
ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων
λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ 35
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας
ἀρρήκτους ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
νοστήσαντα ἄνακτα. ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες, ἠὲ θυέλλῃ,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο, 40
ἄβρομοι αὐίαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόφι πάντας ἀρίστους.
ἀλλὰ Ποσειδάων γαιήοχος ἐννοσίγαιος
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν. 45
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ.
„Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλλῃ μὲν γὰρ ἔγωγ' οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ· 50
ἕξουσιν γὰρ ἅπαντας ἐυκνήμιδες Ἀχαιοί·

29. γηθοσύνη als Adjectiv, wie 82 γηθόσυνοι und oben η, 122, auch Od. ε, 269 γηθόσυνος δ' οὔρῳ. Vgl. unten 823 θάρσυνος οἰωνῷ und π, 70.

31. ἐς Ἀχαιῶν νῆας darf nicht zu genau genommen werden, da Poseidon 32–34 den Wagen vorher abstellt.

34f. ἔνθ' ἵππους – ὀχέων = θ, 49f.

36. πέδας. Fussfesseln für die Pferde, um sie am Fortlaufen zu hindern, kommen sonst bei Homer nicht vor; vgl. θ, 544. κ, 475.

41. ἄβρομοι αὐίαχοι nach Aristarch ἄγαν βρομοῦντες καὶ ἄγαν ἰαχοῦντες. Vgl. ἀθρόος und auf der andern Seite αὐερύω (mit dem Digamma, welches ἰάχω auch hatte). Uebrigens wird hier die weitere Erzählung (vgl. 50. 87) an μ, 469f. angeknüpft.

42. παρ' αὐτόφι d. i. παρὰ νηυσίν (69).

45. δέμας καὶ – φωνήν = χ, 227. Ueber ἀτειρής vgl. zu γ, 60.

46. Αἴαντε. Die beiden Aias hier und im Verfolge dieses Buchs wieder bei einander, wie sie μ, 265 vorzüglich den Kampf anregten.

49. ἄλλῃ örtlich: anderswo, auf andern Punkten, im Gegensatz von 52 τῇ δὲ δή.

13 τῇ δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ᾗ ῥ' ὅ γ' ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάις εἶναι.
55 σφῶιν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
αὐτώ θ' ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους·
τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει."
ἦ, καὶ σκηπανίῳ γαιήοχος ἐννοσίγαιος
60 ἀμφοτέρω κεκοπὼς πλῆσεν μένεος κρατεροῖο,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
αὐτὸς δ', ὥς τ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθείς
ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο,
65 ὣς ἀπὸ τῶν ἦιξε Ποσειδάων ἐνοσίχθων.
τοῖιν δ' ἔγνω πρόσθεν Ὀιλῆος ταχὺς Αἴας,
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν
„Αἶαν, ἐπεί τις νῶι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν,
μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι —
70 οὐδ' ὅ γε Κάλχας ἐστί, θεοπρόπος οἰωνιστής·
ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων

52. *αἰνότατον* ist als Hauptbegriff hervorgenommen, gehört aber eigentlich zu *τι* in *μή τι πάθωμεν*.
53. *ὅ γ' ὁ λυσσώδης* er der Wüthende, jener Wüthende da. Vgl. *θ*, 299 *τοῦτον – κύνα λυσσητῆρα*.
54. *εὔχεται* hier von unberechtigter Anmassung: er prahlt, bildet sich ein.
59f. *ἦ καὶ σκηπανίῳ*. Derselbe Versanfang wie *ω*, 247 (von Priamos). Ueber *σκηπάνιον* in der Hand eines Gottes vgl. Einl. S. 11 und zu Od. *ν*, 429; über *κεκοπὼς* zu Il. *β*, 264.
62. *ὥς τ' – ὦρτο*. Der Aoristus in der Vergleichung wie Od. *δ*, 338f. *εἰσήλυθεν – ἐφῆκεν*, besonders aber Il. *γ*, 33—35.
64. *πεδίοιο διώκειν* = 820 *κονίοντες πεδίοιο*, vgl. zu Od. *θ*, 122. *α*, 24.
66. *τοῖιν* von *πρόσθεν* abhängig: unter ihnen, von den zweien zuerst. Der persönlich Schwächere bemerkt die Steigerung seiner Kraft am ersten.
68f. *ἐπεί τις νῶι – κέλεται*. Der hierzu gehörende Nachsatz wäre etwa: so lass uns desto tapferer kämpfen. Denn 73 *καὶ δ' ἐμοὶ αὐτῷ κτέ*. ist nicht Nachsatz, sondern ein neues Motiv, dieser Ermunterung zu folgen.
70. *οὐδ' ὅ γε Κάλχας ἐστί*. Unterbrechung der angefangenen Rede und Veranlassung des Anapodoton. Vgl. Virg. Aen. 3, 173 *Nec sopor illud erat* cet.
71. *κνημάων* hängt nur durch eine Art Zeugma oder Attraction

ῥεῖ' ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ. 18
καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν." 75
τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας
„οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
μαιμῶσιν, καί μοι μένος ὤρορε, νέρθε δὲ ποσσίν
ἔσσυμαι ἀμφοτέροισι· μενοινώω δὲ καὶ οἶος
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι." 80
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ·
τόφρα δὲ τοὺς ὄπιθεν γαιήοχος ὦρσεν Ἀχαιούς,
οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ.
τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο, 85
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίγνετο δερκομένοισιν
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
τοὺς οἵ γ' εἰσορόωντες ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπὲκ κακοῦ. ἀλλ' ἐνοσίχθων
ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας. 90

von ἴχνια ab; denn Spuren, leichtere oder tiefere Eindrücke der κνῆμαι (Beine) konnte er nicht wahrnehmen, wohl aber ihre Gestalt, Stärke, Gedrungenheit.

73. *καὶ δ' ἐμοὶ αὐτῷ κτέ.* Was eine Folge der Einwirkung des Gottes ist, betrachtet der kleine wie der grosse Aias (vgl. 77–80) als eine von selbst (*αὐτῷ*) in ihnen eingetretene Veränderung.

77. *περὶ δούρατι* um den Speer, d. h. denselben umfasst haltend.

78. *ὤρορε* Aoristus, aber hier mit intransitiver Bedeutung, wie zuweilen auch bei *ἤραρον* (*ἄραρον*) z. B. Od. δ, 777, unten π, 214. Der Aorist aber bezeichnet auch hier den Moment der eintretenden Wirkung und kann daher mit dem Präsens und dem eig. Perfectum parallel stehen, wie im Lateinischen das Perfectum historicum und Perfectum praesens.

82. *χάρμῃ* (vgl. in Betreff der Ableitung zu δ, 222) *γηθόσυνοι*. *χάρμη* Kampf steht hier subjectiv für Kampflust, Kampfbegier, wie 104 *οὐδ' ἔπι χάρμη* und öfters *ἀλκή*, z. B. γ, 45 (vgl. δ, 245) *οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή*. Vgl. auch Liv. 22, 15 *extemplo occupatus certamine est animus*.

83. *τοὺς ὄπιθεν* d. i., wie der folgende Vers zeigt, die näher am Meere Stehenden, von den Troern Entferntern; dahin aber hatten sie sich zurückgezogen, um sich vom Kampfe zu erholen.

90. *ῥεῖα μετεισάμενος* = ρ, 285, nachdem er mit Leichtigkeit zu ihnen hin gegangen war, *προσελθών*. Vgl. 298 *πόλεμόνδε μέτεισιν* und besonders 91 *Τεῦκρον ἔπι πρῶτον – ἦλθε*.

13 Τεῦκρον ἔπι πρῶτον καὶ Λήιτον ἦλθε κελεύων
Πηνέλεών θ' ἥρωα Θόαντά τε Δηίπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆς.
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα.
95 „αἰδώς, Ἀργεῖοι, κοῦροι νέοι. ὔμμιν ἔγωγε
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
100 δεινόν, ὃ οὔ ποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
φυζακινῇς ἐλάφοισιν ἐοίκεσαν, αἵ τε καθ' ὕλην
θώων παρδαλίων τε λύκων τ' ἤια πέλονται
αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ' ἔπι χάρμη.
105 ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν.
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται
ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν,
οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσιν

91 f. *Λήιτον – Πηνέλεων*, Boeoter nach β, 494. Man vergesse aber nicht, dass die Genannten alle sich jetzt hinter dem Treffen befinden; vgl. zu 83.

95 f. *αἰδώς* vgl. ε, 787. *σαωσέμεναι – ἁμάς* dass wir unsere Schiffe retten werden, oder dass unsere Schiffe werden gerettet werden. Aehnlich σ, 260. Der Satz *ὔμμιν – πέποιθα* giebt den Grund an, warum er das jetzige Benehmen der Achäer eine Schande nennt.

98. *νῦν δή*. Aus solchen Verbindungen geht klar hervor, dass *δή* eig. demonstrative Kraft hat. Uebrigens scheint es dem Gang der Rede angemessen, zwischen diesem und dem folgenden Verse eine kurze Pause anzunehmen.

100. *ἔφασκον*. Zu dieser augmentirten Form vgl. Od. ω, 269 *αὐτὰρ ἔφασκεν* mit κ, 331.

101. *οἳ τὸ πάρος περ – ἐοίκεσαν*. Wo die Vergangenheit der Gegenwart als verschieden entgegengesetzt wird, steht auch nach *πάρος* das Imperfectum; vgl. 228. π, 23. Sonst vgl. zu Od. δ, 810.

103. *ἤια* (*βρώματα*) *πέλονται* zum Frasse werden, vgl. τ, 268 *βόσιν ἰχθύσιν*.

106. *οὐκ ἐθέλεσκον* sie hatten den Muth nicht, *οὐκ ἐτόλμων*.

107. *νῦν δὲ ἑκὰς – μάχονται* = ε, 791.

108. *ἡγεμόνος κακότητι* geht auf das Benehmen Agamemnon's gegen Achilleus nach der Erklärung, die 111–113 giebt: durch des Gebieters Vergehen, Verschuldung.

νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς. 13
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν 111
ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλείωνα,
ἡμέας γ' οὔ πως ἔστι μεθιέμεναι πολέμοιο.
ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν. 115
ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν. οὐδ' ἂν ἔγωγε
ἀνδρὶ μαχησαίμην ὅς τις πολέμοιο μεθείη
λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον 120
τῇδε μεθημοσύνῃ. ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα."

110. *κτείνονται* reflexiv: sich tödten lassen.

111. *εἰ δή* einräumend und zugestehend: wenn immerhin.

113. *ἀπητίμησε*. Die Verstärkung des Verbum durch *ἀπό* (gänzlich, durchaus, bis zur Vollendung) ist dem Zusammenhange der affectvollen Rede ganz angemessen. Vgl. das Compositum *ἀπημελημένον* Herodot. 3, 129. 132.

115. *ἀλλ' ἀκεώμεθα θᾶσσον* lasst uns aufs schnellste gutmachen, näml. was wir verschuldet, unsere *μεθημοσύνη* (97. 108), also uns bessern. Vgl. Herodot. 1, 167 *βουλόμενοι ἀκέσασθαι τὴν ἁμαρτάδα*. Ebenso *ἀκεστός* der Besserung empfänglich, dazu geneigt. — Jede andere Deutung des Verses wird durch den Zusammenhang, durch die Person des Sprechenden und die ganze Situation verworfen.

116. *οὐκέτι καλά* vgl. zu Od. β, 63. ρ, 460. Die Angeredeten sollen nochmals wie 95 *ὔμμιν ἔγωγε κτέ.* bei ihrem Ehrgefühl gefasst werden.

119. *λυγρὸς ἐών* enthält den Hauptbegriff des ganzen Satzes und sollte eigentlich bei *ἀνδρί* stehen; über den Begriff von *λυγρός* (untüchtig zum Kampfe, ein Schwächling) vgl. zu Od. σ, 107 mit β, 61 *λευγαλέοι – καὶ οὐ δεδαηκότες ἀλκήν*. — *ὑμῖν δέ* erg. *ἅτε ἀρίστοις οὖσιν ἀνὰ στρατόν*.

121 f. *ἐν φρεσὶ θέσθε αἰδῶ καὶ νέμεσιν* muss nach Analogie von ο, 561 (wo der folgende Vers die Erklärung enthält) und ebend. 661 f. vgl. mit ε, 531, den Sinn haben: gebet der Scheu (euch durch ein feiges Benehmen zu entehren) Raum in euern Herzen und beherzigt, bedenket das tadelnde und verwerfende Urtheil der Andern, das euch dafür treffen müsste (vgl. zu ζ, 351 *ὃς ἤδη νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων*). Die Redensart *ἐν φρεσὶ θέσθε* mit den zwei Objecten *αἰδῶ* und *νέμεσιν* bildet wieder ein gewisses Zeugma; vgl. zu Od. ξ, 82 *οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσὶν οὐδ' ἐλεητύν*.

123 f. *Ἕκτωρ δή – ὀχῆα* fasst noch einmal den beklagenswerthen Stand der Sachen nachdrücklich zu-

ὣς ῥα κελευτιόων γαιήοχος ὦρσεν Ἀχαιούς.
126 ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτε κ' Ἀθηναίη λαοσσόος. οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
130 φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ.
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισιν
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
ἔγχεα δ' ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν
135 σειόμεν'· οἱ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶες δὲ προύτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
ἀντικρὺ μεμαώς, ὀλοοίτροχος ὣς ἀπὸ πέτρης,

sammen. Zu ὀχῆα vgl. μ, 121 mit 460–466.

127. οὔτ' ἄν κεν – ὀνόσαιτο μετ. vgl. δ, 539 und zur Verbindung von ἄν κεν Od. ε, 361. Ares selbst und Athene müssten die Kriegerreihen loben, denn es ist an ihnen nichts auszusetzen.

128. λαοσσόος, ἡ τοὺς λαοὺς σόουσα (σεύουσα, σοβοῦσα) καὶ ἐπὶ πόλεμον ὁρμῶσα. Aehnliche Beiwörter bei andern Dichtern sind δορυσσόος und ἱπποσόος. οἱ ἄριστοι κρινθέντες die als die tapfersten Auserlesenen, die tapfersten Auserkohrnen. Zu der bei Homer ungewöhnlichen Stellung des Artikels vgl. κ, 408 αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί.

130. σάκεϊ προθελύμνῳ. Ueber προθέλυμνος vgl. zu ι, 541. Hier scheint das Adjectiv zu bedeuten ἀλλεπαλλήλῳ, ἀλλεπαλλήλους πτυχὰς ἔχοντι und daher συνεχεῖ, eig. wohl: wo die Grundlage, die unterste Schicht noch hervorgeht und über die andern d. h. den Rand derselben hinausreicht.

131. ἀσπὶς – ἀνήρ nachgeahmt von Virgil Aen. 10, 361 *haeret pede pes densusque viro vir*, und noch entsprechender von A. Furius Antias bei Macrobius: *Pressatur pede pes, mucro mucrone, viro vir.* Sie bildeten also eine Schildmauer (συνασπισμός, *testudo*); vgl. zu ξ, 371–377 und dazu π, 212–217.

132. ψαῦον scheinbar intransitiv: sie stiessen mit den Bügeln an, näml. an die Vormänner, sie berührten einander. φάλοισιν, Dativ des Theiles oder Mittels zu ψαῦον.

133. νευόντων, absoluter Genitiv: wenn sie sich vorwärts neigten; vgl. 343.

134. ἐπτύσσοντο. Schol. κραδαινόμενα πτυσσομένοις ἔοικε (ἐῴκει?) (εἰς τὸ αὐτὸ συνήγετο καὶ ἐκάμπτετο), die Speere wurden von den kampfbegierigen und ungeduldigen Kriegern (θρασειάων ἀπὸ χειρῶν) mit solcher Macht geschwungen, dass sich die Schafte bogen, was auch durch διπλοῦσθαι bezeichnet wird. So von den Rudern Apoll. Rhod. 2, 591 ἐπεγνάμπτοντο δὲ κῶπαι ἠύτε καμπύλα τόξα, βιαζομένων ἡρώων und Virg. Aen. 3, 384 *Trinacria lentandus remus in unda.*

135. ἰθὺς φρόνεον sie strebten vorwärts, vgl. μ, 124.

137. ὀλοοίτροχος zerdehnt aus dem ionischen ὀλοίτροχος = ὀλοί-

ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσῃ, 18
ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης·
ὕψι δ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ 140
ὕλη· ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ἕως ἵκηται
ἰσόπεδον· τότε δ' οὔ τι κυλίνδεται ἐσσύμενός περ.
ὣς Ἕκτωρ εἵως μὲν ἀπείλει μέχρι θαλάσσης
ῥέα διελεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν
κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξιν, 145
στῆ ῥα μάλ' ἐγχριμφθείς. οἱ δ' ἀντίοι υἷες Ἀχαιῶν
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν
ὦσαν ἀπὸ σφείων· ὁ δὲ χασσάμενος πελεμίχθη.
ἤυσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς.
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί, 150
παρμένετ'. οὔ τοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
ἀλλ', ὀίω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρσε θεῶν ὤριστος, ἐρίγδουπος πόσις Ἥρης."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. 155
Δηίφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐίσην,
κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων.

τροχος. So auch Theokrit. 22, 49 *ἠύτε πέτροι ὀλοίτροχοι*.

138. *κατὰ στεφάνης*, über das erhöhte Ufer, das zugleich den Rand des Berges bildet.

139. *ἔχματα* die Bande, die ihn umgeben und festhalten, seien es Wurzeln und Sträuche oder die Erde, worin er eingewachsen ist.

141. *ἀσφαλέως* ohne Wanken, d. h. immer seine Richtung behaltend, wie Od. *ν*, 86 vom Schiffe: *ἡ δὲ μάλ' ἀσφαλέως θέεν ἔμπεδον*.

143. *εἵως μέν* wieder elliptisch (vgl. zu Od. *β*, 148): so lange zwar, nämlich als der durch den Gegensatz (145 *ἀλλ' ὅτε δή*) bezeichnete Punct noch nicht erreicht war. Zu *ἀπείλει* vgl. *θ*, 150.

144. *ῥέα* (einsilbig) *διελεύσεσθαι* = *υ*, 263. Die folgenden Accusative hängen von *διελεύσεσθαι* ab; der Hauptton aber ruht auf *μέχρι θαλάσσης*.

145. *πυκινῇς – φάλαγξιν* wie sie 128–133 beschrieben wurden.

146. *μάλ' ἐγχριμφθείς* s. v. a. *λίαν ἐμπελασθείς*, nachdem er ihnen sehr nahe gekommen; vgl. *ρ*, 405. Od. *κ*, 516 *χριμφθεὶς πέλας*.

147. *ἀμφιγύοισιν* vgl. zu Od. *ω*, 527.

148. *ὁ δὲ – πελεμίχθη* vgl. zu *δ*, 535, wo der ganze Vers unverändert vorkommt.

152. *πυργηδὸν – ἀρτύναντες* = *μ*, 43. Durch *πύργος* wird die dichte und tiefe Phalanx, beim Angriff die dichtgedrängte Colonne bezeichnet.

158. *ὑπασπίδια* (= *ὑπ' ἀσπίδι*)

159 Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
160 καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐίσην
ταυρείην. τῆς δ' οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρὶν
ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ. Δηίφοβος δὲ
ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δεῖσε δὲ θυμῷ
ἔγχος Μηριόναο δαΐφρονος. αὐτὰρ ὅ γ' ἥρως
165 ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
ἀμφότερον νίκης τε καὶ ἔγχεος, ὃ ξυνέαξεν.
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
οἰσόμενος δόρυ μακρόν, ὅ οἱ κλισίηφι λέλειπτο.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
170 Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Ἴμβριον αἰχμητήν, πολυΐππου Μέντορος υἱόν.
ναῖε δὲ Πήδαιον πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε, Μηδεσικάστην·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
175 ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν,
ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσιν.
τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσεν μελίη ὥς,
ἥ τ' ὄρεος κορυφῇ ἕκαθεν περιφαινομένοιο
180 χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ.
ὣς πέσεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὡρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦσαι·

προποδίζων vgl. 806 f., vom Schilde gedeckt Fuss vor Fuss setzend, d. h. in gemessenem Schritte vorrückend.

160. καὶ βάλεν, οὐδ' ἀφάμαρτε vgl. zu λ, 350 f. καὶ βάλεν – ἄκρην κὰκ κόρυθα.

162. ἐν καυλῷ vgl. ζ, 40 ἐν πρώτῳ ῥυμῷ, zu oberst am Schaft, wo er in das Beschläge (die Hülse, in welche die αἰχμή hinten ausläuft) hineingesteckt wird. Der Schaft brach aber wahrscheinlich beim Nachstossen des Meriones (διήλασεν).

166. νίκης, der ihm wider Verhoffen nicht zu Theil ward, also des ihm versagten Sieges wegen; vgl. α, 65. 93 εὐχωλῆς ἐπιμέμφεται.

172. Πήδαιον wahrscheinlich am Fusse des Ida in der Gegend von Thebe.

175. ἂψ – ἦλθε wie er bei der Heirath dort gewesen war.

177. ὑπ' οὔατος scheint nur zur Vermeidung des Hiatus für ὑπ' οὔατι zu stehen. Doch vgl. zu Od. ι, 375 ὑπὸ σποδοῦ ἤλασα πολλῆς. Uebrigens war Teukros hier als Schwerbewaffneter gerüstet.

182. ὡρμήθη erg. αὐτοῦ, wie

Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ. 183
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὁ δ' Ἀμφίμαχον Κτεάτου υἷ' Ἀκτορίωνος 185
νισσόμενον πόλεμόνδε κατὰ στῆθος βάλε δουρί.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὁρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ' ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ 190
Ἕκτορος. ἀλλ' οὔ πῃ χροὸς εἴσατο, πᾶς δ' ἄρα χαλκῷ
σμερδαλέῳ κεκάλυφθ'· ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλῳ. ὁ δὲ χάσσατ' ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺς δ' ἐξείρυσσαν Ἀχαιοί.
Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεύς, 195
ἀρχοὶ Ἀθηναίων, κόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδος ἀλκῆς.
ὥς τε δύ' αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήια πυκνά,
ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε· 200

dann ὁρμηθέντος im folgenden Vers von ἀκόντισε abhängt, vgl. 190.

185. *τυτθόν* in derselben Stellung wie Od. ι, 540. — ὁ δέ, Ἕκτωρ. *Ἀμφίμαχον* vgl. β, 620 f. Aus 207 = λ, 750 f. ergiebt sich, dass er ein Enkel des Poseidon, also Kteatos (sonst Aktor's Sohn) ein Sohn von diesem war.

186. *νισσόμενον πόλεμόνδε* = ο, 577, als er zum Kampfe heranging, sich nahte.

191. *οὔ πῃ χροὸς εἴσατο*, nicht drang sie, ging sie irgendwo in den Leib ein, so dass der Genitiv *χροὸς* von *πῃ* abhängt, wie γ, 400 *ἤ πῄ με προτέρω πολίων εὖ ναιομενάων ἄξεις*, vgl. zu Od. α, 425 *ὅθι — αὐλῆς*. *πᾶς* näml. *Ἕκτωρ*, der ganze Hektor, Hektor am ganzen Leibe.

192. *σμερδαλέος* nach Lobeck eig. blendend, von *μέρδω* gewöhnlich *ἀμέρδω*, wie 340 *ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη*.

193. *μιν*, *Ἕκτορα*, wie das gleich folgende *ὁ δέ* zeigt.

194. *νεκρῶν ἀμφοτέρων* in Beziehung auf 170 f. 185 f.

195. *Στιχίος — Μενεσθεύς* sind auch ο, 329—331 wieder verbunden; über den letztern vgl. β, 552—556.

197. *μεμαότε θούριδος ἀλκῆς* vgl. 46 *Αἴαντε — μεμαῶτε καὶ αὐτώ* und 48 *ἀλκῆς μνησαμένω*.

198. *δύ' αἶγα λέοντε*. Beide Löwen sind hungrig, und keiner will die den Hunden entrissene oder trotz den bewachenden Hunden erbeutete Ziege dem andern überlassen. Vgl. das Fragment aus Aischyles' Glaukos: *Εἷλκον δ' ἄνω λυκηδόν, ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσιν ἀμφὶ μασχάλαις*, und zu *ἁρπάξαντε κυνῶν ὕπο* Il. ι, 248 *ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ*.

ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ
τεύχεα συλήτην. κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο,
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου.
205 Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσιν.
καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι,
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
210 Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,
ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖς ἐπιτείλας
ἤιεν ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα
215 ἀντιάαν. τὸν δὲ προσέφη κρείων ἐνοσίχθων,
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷι Θόαντι,
ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι

202. τεύχεα συλήτην, wie wohl auch die Löwen schon unterwegs einen Theil ihrer Beute verschlingen. κεφαλὴν – κόψεν. Die Misshandlung des Leichnams gilt eig. nicht dem Imbrios selbst, sondern dem Hektor, der den Amphimachos getödtet hatte. Darum schleudert er auch den Kopf desselben wie einen Ball so gegen die Feinde, dass er gerade dem Hektor vor die Füsse fällt. Zu 204 ἧκε – ἑλιξάμενος er warf im Kreise schwingend vgl. γ, 378 ῥῖψ' ἐπιδινήσας und zu λ, 147.

206. καὶ τότε – Ποσειδάων. Ein neuer Antrieb für Poseidon, den Achäern kräftig beizustehen und die Troer seinen Zorn fühlen zu lassen.

211. παρ' ἑταίρου. Es ist ungewöhnlich, dass der Name dieses ἑταῖρος nicht angegeben ist. Aber gerade die unbestimmte Bezeichnung erregt ein grösseres Interesse, als wenn irgend ein unbekannter Name genannt wäre.

213. ἑταῖροι ἔνεικαν. Die Gefährten hatten ihn aus dem Treffen getragen und unter Mitwirkung des zufällig dazu gekommenen Idomeneus in seine (des Verwundeten) Hütte gebracht; nachdem ihn dann dieser den Aerzten übergeben, begiebt er sich nach seiner eigenen Hütte, um sich nunmehr auch selbst zum Kampfe zu rüsten (240 f.). (214 ἔτι γὰρ – μενοίνα ἀντιάαν vgl. 752.) Er scheint also an der erneuerten Schlacht bisher nicht Theil genommen (vgl. 84), sondern nur in der Nähe zugeschaut zu haben; daher auch die Rüge des Poseidon (219 f.).

216. Θόαντι, der auch schon oben 92 genannt war.

217. πάσῃ Πλευρῶνι scheint wegen des beigefügten πάσῃ eigentliches Object zu ἄνασσε zu sein, dagegen αἰπεινῇ Καλυδῶνι Ortsbestimmung neben dem zweiten Object Αἰτωλοῖσι, welchem entsprechend auch im ersten Gliede Κουρῆσι ohne πάσῃ ausgesetzt sein

Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὡς τίετο δήμῳ. 218
„Ἰδομενεῦ Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαί
οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;" 220
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
„ὦ Θόαν, οὔ τις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτε τινὰ δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνῳ
εἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτως 225
μέλλει δὴ φίλον εἶναι ὑπερμενέι Κρονίωνι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ἀλλὰ Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήιος ἦσθα,
ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ." 230
τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων
„Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθιῇσι μάχεσθαι.

könnte, vgl. ι, 529–532. Zur Construction vgl. 452 f. πολέσσ' ἄνδρεσσιν ἄνακτα Κρήτῃ ἐν εὐρείῃ = ρ, 307 f.

219. ποῦ – οἴχονται, wohin sind sie gekommen, was ist aus ihnen geworden? Vgl. θ, 229 πῇ ἔβαν εὐχωλαί κτέ.

222. οὔ τις ἀνήρ im Gegensatz von Zeus, auf den 226 die Schuld geschoben wird.

223. ἐπιστάμεθα wird durch δυνάμεθα erklärt, wie π, 142, wo ἐπίστατο wirklich parallel mit δύνατο steht; vgl. φ, 320. In unserer Stelle geht es besonders auf den Besitz der moralischen Eigenschaften die einen in den Stand setzen, etwas zu thun.

225. ἀνδύεται πόλεμον κακόν, entzieht sich dem gefährlichen Kampfe, sträubt sich dagegen, wie Zugthiere gegen das ihnen aufzulegende Joch. Wegen des Casus vgl. α, 496 ἀνεδύσετο κῦμα θαλάσσης.

226. μέλλει δή. δή hebt allemal das Wort als Hauptbegriff hervor, hinter dem es gerade steht.

227. νωνύμνους – Ἀχαιούς = μ, 70.

229. ὅθι hier temporal, wie *ubi* = *quum*.

230. τῷ νῦν κτέ., darum lass (auch) jetzt nicht ab. τῷ steht im Hauptsatz, als ob der begründende Satz ohne καὶ γάρ vorhergegangen wäre. Vgl. η, 328–331 πολλοὶ γὰρ τεθνᾶσι – τῷ σε χρή κτέ. Zu ἀπόληγε kann ergänzt werden μενεδήιος εἶναι.

232–234. κεῖνος ἀνήρ – ὅς τις vgl. zu Od. ζ, 201 f. οὗτος ἀνήρ – ὅς κεν – ἵκηται. So wird durch die Demonstrativpronomina der qualitative Begriff des Artikels umschrieben.

234. μεθιῇσι (Conjunctiv) wie von μεθιέω haben wir der Consequenz wegen auch hier geschrieben, wie β, 752 προΐει. ε, 880 ἀνιεῖς.

18 ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴϑι· ταῦτα δ' ἅμα χρὴ
236 σπεύδειν, αἴ κ' ὄφελός τι γενώμεϑα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·
νῶι δὲ καί κ' ἀγαϑοῖσιν ἐπισταίμεσϑα μάχεσϑαι."
ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη ϑεὸς ἂμ πόνον ἀνδρῶν·
240 Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανεν,
δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε,
βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί.
245 ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήϑεσσι ϑέοντος.
Μηριόνης δ' ἄρα οἱ ϑεράπων ἐὺς ἀντεβόλησεν
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ᾔει
οἰσόμενος. τὸν δὲ προσέφη σϑένος Ἰδομενῆος
„Μηριόνη Μόλου υἱέ, πόδας ταχύ, φίλταϑ' ἑταίρων,
250 τίπτ' ἦλϑες πόλεμόν τε λιπὼν καὶ δηιοτῆτα;
ἦέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή,
ἦέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυϑες; οὐδέ τοι αὐτός
ἧσϑαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσϑαι."
τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα

235 f. *τεύχεα — ἴϑι.* Aehnliche Verschränkung bei *δεῦρο* wie *γ*, 162 *δεῦρο πάροιϑ' ἐλϑοῦσα — ἵζευ ἐμεῖο. ἅμα* d. h. wir beide gemeinschaftlich. Ueber *σπεύδειν* = *ἐνεργεῖν* (*μετὰ κακοπαϑείας καὶ ταλαιπωρίας*) vgl. zu *δ*, 232. Vor *αἴ κε — γενώμεϑα* ergänze *πειρωμένους.* Unser zwei werden wenigstens mehr ausrichten, als Einer.

237. *συμφερτὴ δ' ἀρετὴ πέλει κτέ.* ist nach Analogie von *λ*, 801 zu erklären: Vereint (= *συμφερτή, συμφορητὴ οὖσα*) kommt auch eine Tapferkeit (eine rechte, des Namens werthe T.) von sehr schwachen, unkriegerischen Männern zu Stande (*exsistit: καὶ σφόδρα κακῶν, δειλῶν, ἀνϑρώπων εἰς ταὐτὸν συνελϑόντων γίγνεταί τις ἀρετή* nach Aristarch): wie viel mehr können denn mehrere Tapfere vereint etwas Tüchtiges leisten. Zu *λυγρός* vgl. 119 *λυγρὸς ἐών.*

238. *νῶι δὲ — ἐπισταίμεσϑα μ.* bescheidener als wenn er sagte: wir aber sind keine *λυγροί*, sondern *ἀγαϑοί.*

243. *χειρὶ λαβὼν ἐτίναξεν* vgl. *λ*, 4 *πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν* (von der Eris). In *ἐτίναξεν* liegt ein Hauptpunct der Vergleichung, weil auch Idomeneus in der Bewegung gedacht wird (242 *βῆ δ' ἴμεν.* 245 *ἔλαμπε — ϑέοντος*).

247. *ἐγγὺς ἔτι κλισίης* d. h. als Idomeneus schon im Weggehen, aber noch nahe an seiner Hütte war. *μετὰ — ᾔει* nach 167 f.

252. *ἀγγελίης — ἤλυϑες.* Vgl. zu *δ*, 384 und *λ*, 140.

„Ἰδομενεῦ Κρητῶν βουληφόρε χαλκοχιτώνων, 13
ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται, 256
οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
ἀσπίδα Δηιφόβοιο βαλὼν ὑπερηνορέοντος.“
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
„δούρατα δ', αἴ κ' ἐθέλῃσθα, καὶ ἓν καὶ εἴκοσι δήεις 260
ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
Τρώια, τὰ κταμένων ἀποαίνυμαι. οὐ γὰρ ὀίω
ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν·
τῷ μοι δούρατά τ' ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι
καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες.“ 265
τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα
„καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν 270
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων

256. *εἴ τί τοι* d. i. *εἴ τί σοι*, wenn du noch gelassen hast. Eben jetzt beim Zusammentreffen mit Idomeneus kommt Meriones auf den Gedanken, dass er vielleicht schon hier in der Nähe finden könne, was er sucht.

257. *κατεάξαμεν–ἔχεσκον*. Beachte den auch bei Spätern oft vorkommenden Wechsel des Numerus von der sprechenden ersten Person.

260. *δούρατα δ', αἴ*. *δ'* scheint für *δή* zu stehen, vgl. zu Od. *δ*, 400 *ἦμος δ' ἠέλιος*. — *καὶ ἓν καὶ εἴκοσι* d. h. so viel du willst. *εἴκοσι* ist eine in Hyperbeln zuweilen gebrauchte Zahl; vgl. Od. *μ*, 78 mit ebend. *ι*, 241. Die Verbindung *καί – καί* findet sich nach Hoffmann nur hier und *ω*, 641.

261 f. *ἑσταότα – πρός* eig. hingestellt an; daher der Accusativ. Ueber *ἐνώπια παμφ.* vgl. zu Od. *δ*, 42. Bei diesen in der Hausflur ist auch die *δουροδόκη* zu denken. — *οὐ γὰρ ὀίω*, nicht gedenke ich, hier s. v. a. *οὐ νομίζω*, *οὔ μοι νενομισμένον ἐστίν*, es liegt nicht in meiner Art, vgl. *ε*, 253 *οὐ γάρ μοι γενναῖον*.

263. *ἑκὰς ἱστάμενος* wie z. B. ein Bogenschütze.

267. *καί τοι ἐμοί* erg. *ἔστι*, wahrlich auch ich (habe). Es ist aber zu bemerken, dass Meriones, als *θεράπων* des Idomeneus, nicht nur eine eigene Lagerhütte (*κλισίη*) hat, sondern diese auch von der des Idomeneus noch bedeutend entfernt ist (*ἀλλ' οὐ σχεδόν ἐ. ἑλέσθαι*).

271. *νεῖκος πολέμοιο*, der Wettstreit des Kampfes.

272 f. *ἄλλον πού τινα – ὀίω* d. h. doch dir brauche ich das nicht zu sagen; eher kann es einem Anderen unbekannt sein.

13 λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀίω."
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
275 „οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ' ὅ τε δειλὸς ἀνήρ, ὅς τ' ἄλκιμος, ἐξεφαάνθη, —
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
280 οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει
κῆρας ὀιομένῳ, πάταγος δέ τε γίγνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρώς, οὔτε τι λίην
285 ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ —
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
εἴ περ γάρ κε βλεῖο πονεύμενος ἠὲ τυπείης,
οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος οὐδ' ἐνὶ νώτῳ,
290 ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειεν
πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν.

275. ἀρετήν hier speciell kriegerische Tapferkeit, wie Od. ω, 515 ἀρετῆς πέρι δῆριν ἔχουσιν. — τί σε - λέγεσθαι; was brauchst du das noch lange aufzuzählen? Zur Form des Hemistich's vgl. Od. ω, 407 τί σε χρὴ ταῦτα πένεσθαι;

276. εἰ γὰρ - λεγοίμεθα wird erklärt durch Od. ω, 108 οὐδέ κεν ἄλλως κρινάμενος λέξαιτο κατὰ πτόλιν ἄνδρας ἀρίστους.

277. μάλιστα - διαείδεται vgl. μ, 103 εἴσαντο διακριδὸν εἶναι ἄριστοι.

279. ἄλλυδις ἄλλῃ, hierhin und dorthin, d. h. in alle Richtungen (nimmt alle Farben an), vgl. zu Od. ε, 369.

281. ἐπ' ἀμφ. πόδας ἵζει ist die Erklärung von ὀκλάζει; durch μετά aber wird angezeigt, dass er, weil er eben nicht still sitzen kann, auch diese Stellung öfters verändere: er kauert immer wieder anders wohin (indem er es gar nicht wagt aufzustehen).

282. μεγάλα, mächtig, heftig, ungestüm.

283. κῆρας ὀιομένῳ. Vgl. Od. ε, 389 πολλὰ δέ οἱ κραδίη προτιόσσετ' ὄλεθρον = κ, 374 κακὰ δ' ὄσσετο θυμός.

286. ἀρᾶται - μιγήμεναι. Ein Beispiel giebt Neoptolemos Od. λ, 530f., von dem es heisst: ὁ δέ με μάλα πόλλ' ἱκέτευεν ἱππόθεν ἐξέμεναι.

287. οὐδέ κεν ἔνθα - ὄνοιτο erg. τὶς, es könnte einer oder man könnte nicht schelten.

288. βλεῖο - τυπείης. Vgl. Od. λ, 535f. βεβλημένος - αὐτοσχεδίην οὐτασμένος.

291. πρόσσω ἱεμένοιο erg. σέο,

ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς 13
ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος."
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ 295
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισιν,
τῷ δὲ φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβὴς
ἕσπετο, ὅς τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν· 300
τὼ μὲν ἄρ' ἐκ Θρῄκης Ἐφύρους μέτα θωρήσσεσθον
ἠὲ μετὰ Φλεγύας μεγαλήτορας· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς ἀγοὶ ἀνδρῶν
ἤισαν ἐς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῷ. 305
τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπεν·
„Δευκαλίδη, πῇ τ' ἄρ μέμονας καταδῦναι ὅμιλον;

das dann von *στέρνων* ἢ *νηδύος* abhängt. Zu *ἱεμένοιο* gehört *μετὰ προμ.* *ὀαριστύν* in der vordersten Kämpfer Gemeinschaft (in welcher allein es dem Tapfern recht heimisch und wohl ist), oder in ihrem traulichen Verkehr (wohin es dich gleichsam zieht).

292. *μηκέτι ταῦτα λεγώμεθα* vgl. zu Od. *γ*, 240, zu *νηπύτιοι ὣς ἑσταότες* auch *υ*, 244, wo indessen diese Worte nicht so unmittelbar zusammengehören. Uebrigens scheint die sich hier kundgebende Redseligkeit des Idomeneus vom Dichter b e a b s i c h t i g t, um ihn als *μεσαιπόλιος* (361. 485. 512 ff.) und dem Nestor ähnlich zu bezeichnen.

299. *φόβος φίλος υἱός* vgl. zu *δ*, 440. Die Vergleichung ist sehr passend. *φόβος* ist auch gleichsam der Schildknappe, Waffenträger des Ares.

301. *ἐκ Θρῄκης* als seinem gewöhnlichen Wohnsitze, vgl. Od. *θ*, 361 *Θρῄκηνδε βεβήκει*. Virg. Aen. 3, 35 *Gradivum patrem, Geticis qui praesidet arvis.* — *Ἐφύρους μέτα* – *ἠὲ μετὰ Φλεγύας*. Namen kriegerischer thessalischer Völkerschaften, denen die Thraker häufig in das Land einfielen. Vgl. Strabo IX S. 824 Kramer (vgl. VII S. 77) *τοὺς μὲν γὰρ Γυρτωνίους Φλεγύας πρότερον ἐκάλουν ἀπὸ Φλεγύου τοῦ Ἰξίονος ἀδελφοῦ, τοὺς δὲ Κραννωνίους Ἐφύρους.*

302 f. *οὐδ'* – *ἔκλυον ἀμφοτέρων* d. h. Ares verleiht beiden, den Ephyrern und Phlegyern, den Sieg nicht, sondern d e n A n d e r n, ihren Gegnern (den ihm befreundeten Thrakern). — Der Satz *ἑτέροισι κῦδος ἔδωκαν* giebt eine umschreibende Erklärung des sonst auch von Homer gebrauchten Ausdruckes *ἑ τ ε ρ α λ κ ὴ ς ν ί κ η*.

306. *τὸν καὶ Μηριόνης*. *καὶ* drückt die Uebereinstimmung der nun anzuführenden Worte des Meriones mit seiner schon vorher bezeichneten entschlossenen und kriegerischen Stimmung aus.

307. *Δευκαλίδη* vgl. zu Od. *α*,

13 ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους,
ἢ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτως
310 δεύεσθαι πολέμοιο καρηκομόωντας Ἀχαιούς."
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα
„νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
315 οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους

8 Ὑπερίονος ἠελίοιο. Π. δ, 488 Ἀνθεμίδην. — Zu πῇ τ' ἂρ vgl. Od. α, 346 τί τ' ἄρα φθονέεις.

308. ἢ ἐπὶ δεξιόφιν (δεξιᾶς). Durch ἢ – ἢ – ἢ (vgl. zu Od. α, 175) werden alle dei Fragen, eine von der andern unabhängig, einander ganz gleichgestellt. Lehrs: „*Quo loco irrues? dextrorsumne an in medios an sinistrorsum?*"

309. οὔ ποθι οὕτως, nirgends, auf keinem Punkte s o s e h r, wie nämlich auf dem letztgenannten, zur L i n k e n, vgl. 326, wo nach λ, 498 auch der gefürchtete Hektor kämpfte (natürlich nach der Stellung der Achäer).

310. δεύεσθαι πολέμοιο, des Kampfes ermangeln d.h. es am rechten Kampfe fehlen lassen und desselben nicht fähig sein, *bello inferiorem esse*, vgl. ρ, 142 μάχης ἄρα πολλὸν ἐδεύεο.

312. νηυσὶ μὲν ἐν μέσσῃσιν. Da in der Frage des Meriones 308 f. drei mögliche Angriffspuncte einander entgegengesetzt werden und Idomeneus unten 326 nur noch von dem zur Linken spricht, so sollte hier ausser dem in der Mitte der Schiffe auch noch der zur Rechten (des achäischen Heeres) besprochen werden. Dieser scheint aber unter dem andern ἐν μέσαις ναυσίν mit begriffen zu sein, so dass dies ist s. v. a. in der Mitte der Schiffe und w e i t e r h i n (zur Rechten). Der Angriff der Troer scheint überhaupt nie auf die rechte Seite des achäischen Lagers gerichtet worden zu sein, weil dort Achilleus lag und man voraussetzte oder der Dichter sich von der Voraussetzung leiten lässt, dass dies seiner Unthätigkeit dem Feinde gegenüber sofort ein Ende gemacht haben würde. Dadurch aber wurde die Mitte des Schiffslagers gewissermassen zur rechten Seite. — Zu ἀμύνειν εἰσὶ καὶ ἄλλοι vgl. Od. β, 58–60.

313. Αἴαντες – Τεῦκρός τε, welche auch μ, 335 bei einander waren, damals aber in der Nähe des auf der Linken befindlichen Thores standen und sich dann eben in jener Stelle mehr gegen die Mitte hin begaben.

315. μιν, Vorläufer des nachfolgenden Namens Ἕκτορα Πριαμίδην, dessen Person den achäischen Führern immer vorschwebt. — ἄδην ἐλόωσι – πολέμοιο, vgl. zu Od. ε, 290, wo auch ein Genitiv auf ἄδην ἐλάαν folgt. — καὶ ἐσσύμενον absolut hat ungefähr den Sinn wie 317 μάλα περ μεμαῶτι μάχεσθαι.

317. αἰπύ figürlich wie *arduum* = δυσπρόσβατον, δυσχερές.

νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων 319
ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν. 320
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν,
χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν.
οὐδ' ἂν Ἀχιλλῆι ῥηξήνορι χωρήσειεν
ἔν γ' αὐτοσταδίῃ· ποσὶ δ' οὔ πως ἔστιν ἐρίζειν. 325
νῶιν δ' ὧδ' ἐπ' ἀριστερ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
εἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν."
ὣς φάτο, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι
ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατόν, ᾗ μιν ἀνώγει.
οἱ δ' ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν, 330
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισιν,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν.
τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρύμνῃσι νέεσσιν.
ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
ἤματι τῷ ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους, 335
οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ

321. ἀνδρὶ δέ d. i. einem blossen Sterblichen, wie auch Hektor ist, im Gegensatze des Kroniden, vgl. Od. δ, 78–80.

325. ποσὶ – ἐρίζειν erg. Ἀχιλλεῖ, der daher auch vorzugsweise das Epitheton πόδας ὠκύς oder ποδώκης hat.

326. νῶιν δ' ὧδ' ἐπ' ἀρ. ἔχε στρατοῦ, uns aber schlage so den Weg nach der Linken des Heeres ein, lenke unsern Schritt dahin. Sowohl aus diesem νῶιν ἔχε als aus 329 ἦρχ' ἴμεν ergiebt sich, dass Meriones als Waffenträger seinem Gebieter vorausgehen und Bahn brechen musste. Noch passender wäre freilich jenes νῶιν ἔχε, wenn wir uns Meriones als Wagenlenker denken könnten.

329. κατὰ στρατόν, an den Punct des Heeres (Lagers), wohin jener verlangte.

333. ὁμὸν ἵστατο νεῖκος s. v. a. ὁμόσε ἐρχομένων ἵστατο νεῖκος, der Kampf stellte sich, begann bei ihrem Zusammentreten; vgl. 336 ἄμυδις (= 343) ἱστᾶσιν und 337 ὁμόσ' ἦλθε μάχη.

334. σπέρχωσιν intransitiv, wie sonst das Medium: vgl. Od. γ, 283 ὁπότε σπερχοίατ' ἄελλαι. — ἄελλαι Stürme, Sturmwirbel, mit besonderer Rücksicht auf die durch dieselben aufgeweheten Staubwirbel, vgl. γ, 13 κονίσαλος ὄρνυτ' ἀελλής und ψ, 365 f. κονίη ἵστατ' ἀειρομένη ὥστε νέφος ἠὲ θύελλα.

335. ἤματι τῷ an dem Tage oder vielmehr zu der Zeit wann u. s. w., d. h. während der Hundstage, da durch die Hitze des Sirius und das Wehen der Passatwinde Alles ausgedörrt ist. Zu ὅτε τε ergänze ᾗ wie ε, 481.

336. οἵ τε näml. ἄνεμοι λιγεῖς.

337. ὥς, so plötzlich und mit sol-

13 ἀλλήλους καθ᾽ ὅμιλον ἐναιρέμεν ὀξέι χαλκῷ.
ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν
340 μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ᾽ ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ᾽ ἀκάχοιτο.
345 τὼ δ᾽ ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιώ
ἀνδράσιν ἡρώεσσιν ἐτεύχετον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλῆα πόδας ταχύν· οὐδ᾽ ὅ γε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαιικὸν Ἰλιόθι πρό,
350 ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον.
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα

chem Ungestüm aufeinander eindringend.

339. ἔφριξεν – ἐγχείῃσιν vgl. δ, 282 φάλαγγες – ἔγχεσι πεφρικυῖαι und η, 62. Den entsprechenden Gebrauch von *horrere* zeigt schon Ennius in dem von Macrobius angeführten kunstlosen Verse: *Sparsis hastis longis campus splendet et horret.*

343. ἐρχομένων ἄμυδις ist Masculinum und geht auf die beiden kämpfenden Theile. — μάλα κεν θρασυκάρδιος κτέ. d. h. selbst ein sehr verwegener und rauhherziger Krieger hätte sich über einen so blutigen Kampf entsetzen müssen.

345. τὼ δ᾽ ἀμφὶς φρονέοντε. Der Sinn dieses — kaum ursprünglich hierher gehörigen — Abschnittes bis 360 ist im Allgemeinen: aber so schrecklich und Entsetzen erregend der Kampf war, so musste er doch noch geraume Zeit fortgesetzt werden; denn zwei mächtige Götter, Zeus und Poseidon, wollten und betrieben ihn selbst. Zu ἐτεύχετον vgl. κ, 364 διώκετον.

347. Ζεὺς – βούλετο. Dieser allgemeine Wille des Zeus dauert und wirkt unsichtbar fort, obgleich der Gott nach 1–9 für den Moment seine Augen vom Kampfe bei Ilios abgewandt hat.

348. οὐδέ γε πάμπαν, aber keineswegs, doch gar nicht etwa.

349. Ἰλιόθι πρό allgemein: in dem Kampfe vor Ilios, wo der ganze troianische Krieg seinen Schauplatz hatte. Der überall griechisch gesinnte Dichter will hierdurch andeuten, dass Zeus selbst keineswegs eigentlich den Achäern feindselig, noch ein Freund der Troer, sondern seine Parteistellung nur durch das der Thetis gegebene Versprechen bedingt war.

351. ὀρόθυνε wird erklärt durch 357 αἰὲν ἔγειρε.

352. λάθρῃ – ἁλός ist natürlich nicht auf die majestätische Fahrt über das Meer 23–31, sondern nur auf das geheimnissvolle Erscheinen unter dem Heere der Achäer (44f. βαθείης ἐξ ἁλὸς ἐλθὼν εἰσάμενος Κάλχαντι) zu beziehen. Denn dass Poseidon mit seinem Prachtwagen bis unter die

Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα. 13
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη. 355
τῷ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινεν,
λάθρῃ δ' αἰὲν ἔγειρε κατὰ στρατόν, ἀνδρὶ ἐοικώς.
τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο
πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν,
ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν. 360
ἔνθα, μεσαιπόλιός περ ἐών, Δαναοῖσι κελεύσας
Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσεν.
πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα,
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει,
ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην 365
Κασσάνδρην ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον,

Achäer gekommen sei, wollte der Dichter nirgends sagen.

352 f. *ἤχθετο – δαμναμένους*, es verdross ihn (zu sehen), dass sie von den Troern bezwungen wurden. Zur Construction vgl. *θ*, 377 f. *νῶι – γηθήσει προφανέντε* und *ε*, 361.

354. *ἦ μὰν ἀμφοτέροισιν.* Der Dichter will gleichsam den Poseidon entschuldigen, dass er nicht mehr für die Achäer ausrichtete. *πάτρη* hier synonym mit *γένος*, Stamm, Verwandtschaft (vom Vater, den Eltern her).

355. *πλείονα ᾔδη* wie *τ*, 219 Odysseus von sich in Vergleichung mit Achilleus sagt: *ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.* Das eigentliche Wissen beruht auf Erfahrung; diese aber wächst mit dem Leben.

358–360. *τοὶ δ' – ἔλυσεν.* Gesteigerte Wiederholung des schon 345 ausgesprochenen Gedankens. Wie wir nämlich schon zu *η*, 101 f. bemerkten, werden die Geschicke der Sterblichen oft mit einem Faden oder Seile verglichen, der von den Göttern bereitet und über jenen aufgehängt oder ausgespannt wird (vgl. auch *λ*, 336. *υ*, 101). Weil nun hier zwei Götter die Fortdauer des Kampfes beschlossen haben, so heisst es, sie haben die Seile oder Taue des Krieges und Streites über einander geschlungen, geflochten (*πεῖραρ ἐπαλλάξαντες*, denn jeder Gott hat sein eigenes *πεῖραρ ἔριδος καὶ πολέμ.*), und so als Ein unauflöslich festes (Od. *θ*, 275) über beide kämpfende Völker gespannt. So lange dieses *πεῖραρ* gespannt blieb, mussten die Völker fortkämpfen.

363. *ἔνδον ἐόντα* d. i. *παρόντα, ἐνδημοῦντα*, der nach Troia als Gast und Verbündeter gekommen war. Vgl. *ο*, 438 *Κυθηρόθεν ἔνδον ἐόντα.*

364. *πολέμοιο μετὰ κλέος* vgl. *λ*, 227 *μετὰ κλέος ἵκετ' Ἀχαιῶν.*

365. *θυγατρῶν εἶδος ἀρίστην.* So wird *ζ*, 252 Laodike bezeichnet.

366. *ἀνάεδνον, ὑπέσχετο δὲ μ. ἔ.* Durch *ἀνάεδνον* (vgl. *ι*, 146 und 1 Sam. 18, 25) soll wohl eine niedrig eigennützige Gesinnung bezeichnet werden, indem ja selbst die Freier der Penelope es an Brautgeschenken nicht fehlen liessen (Od.

18 ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
τῷ δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο καὶ κατένευσεν
δωσέμεναι· ὁ δὲ μάρναθ' ὑποσχεσίῃσι πιθήσας.
370 Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ
χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.
δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο φώνησέν τε
„Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
375 εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.
καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν,
δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,
Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν
380 Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον.
ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν."
ὣς εἰπὼν ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην
ἥρως Ἰδομενεύς. τῷ δ' Ἄσιος ἤλθεν ἀμύντωρ
385 πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχος θεράπων. ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν· ὁ δέ μιν φθάμενος βάλε δουρί
λαιμὸν ὑπ' ἀνθερεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.

σ, 290–301). Das *ὑπέσχετο μέγα ἔργον* aber deutet auf Grosssprecherei hin. Auf beides bezieht sich die höhnische Spottrede des Idomeneus 374–382.

371. *ὕψι βιβάντα*, Ausdruck der stolzen Selbstgefälligkeit.

377. *ὑποσχόμενοι τελέσαιμεν* vgl. zu Od. ο, 195. Das folgende *δοῖμεν δέ* enthält die Erklärung dazu, so dass *κε* auch zu demselben gehört: wir wollen versprechen und – geben.

381. *συνώμεθα* (*ἵημι* vgl. χ, 261 *συνημοσύνας*). In *ἕπευ* liegt eine spottende Hinweisung auf *ποδὸς ἕλκε* 383.

382. *ἐεδνωταί*, Verwandte, welche die *ἔεδνα* (*ἕδνα*) in Empfang nehmen und dagegen das Mädchen verloben und aussteuern. Vgl. Od. β, 53 von Ikarios: *ὥς κ' αὐτὸς ἐεδνώσαιτο θύγατρα.*

384. *Ἄσιος*, vgl. μ, 110–117, wo schon auf den hier erzählten Tod desselben hingewiesen ist. Auch er erscheint als Grosssprecher und Prahler und wird als solcher auch durch den Zug charakterisirt, dass er, der zuerst mit dem Wagen hatte in die Mauer eindringen wollen (μ, 110–112. 118ff.), jetzt zu Fuss vor seinem Wagen einhergeht; vgl. auch zu μ, 137. — *κατ' ὤμων* erg. *Ἀσίου.*

ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωίς — 13

ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες — 390

ἐξέταμον πελέκεσσι νεήκεσι νήιον εἶναι·

ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,

βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.

ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν·

οὐδ' ὅ γ' ἐτόλμησεν, δηίων ὑπὸ χεῖρας ἀλύξας, — 395

ἂψ ἵππους στρέψαι. τὸν δ' Ἀντίλοχος μενεχάρμης

δουρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ

χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξεν.

αὐτὰρ ὅ γ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου,

ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός, — 400

ἐξέλασε Τρώων μετ' ἐυκνήμιδας Ἀχαιούς.

Δηίφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος,

Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῷ.

ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος

Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐίσῃ, — 405

τὴν ἄρ' ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ

δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·

τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,

389. *ἀχερωίς* nach Paus. 5, 14, 2 derselbe Baum, der sonst *λεύκη* Weiss- oder Silberpappel heisst; es kann aber auch die Schwarzpappel (anderswo bei Homer, z. B. Od. *ε*, 239 *αἴγειρος*) bezeichnen.

390 ff. *τήν τε* geht nur auf die *πίτυς*, wenn schon auch Eichenholz zu Schiffstheilen, z. B. den Rippen und dem Kiele, gebraucht wurde. In Betreff der Grösse des Asios vgl. *μ*, 136. Der ungewöhnliche Zug in 392 soll auf die ebenfalls ausserordentliche Wirkung 394 vorbereiten.

393. *δεδραγμένος*, die Hand gefüllt (habend). Jedes der drei Participia (*τανυσθείς, βεβρυχώς, δεδραγμένος*) steht in einer besondern Beziehung zum Verbum.

394. *ἃς πάρος εἶχεν*, die er sonst hatte, d. h. woran es ihm sonst gar nicht fehlte.

395. *οὐδ' – ἐτόλμησεν*, er wagte es nicht, d. h. er hatte nicht die Besonnenheit, war nicht entschlossen genug. *ὑπὸ – ἀλύξας* musste dem *ἵππους στρέψαι* vorangehen; er musste sich zuerst dem Bereich der feindlichen Waffen entziehen.

397 f. *τυχών – πῆξεν* wie oben 371.

406. *τὴν ἄρ' ὅ γε.* Man bemerke *ἄρα* nach dem Pronomen relativum, wie 443 *ἥ ῥά οἱ.* — *ῥινοῖσι – καὶ χαλκῷ δινωτὴν* scheint eine Art Zeugma zu sein: mit Rindshäuten und gedrechseltem Erze belegt, vgl. zu Od. *τ*, 56.

408. *τῇ ὕπο – ἐάλη* vgl. Virg. Aen. 12, 491 *et se collegit in arma Poplite subsidens.*

13 καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄυσεν
410 ἔγχεος. οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν.
Δηίφοβος δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας.
„οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος, ἀλλά ἕ φημι
415 εἰς Ἄιδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν."
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου,
420 ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψεν.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς Ἐχίοιο πάις καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα·
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεί
425 ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι
ἢ αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱόν,

409. καρφαλέον – ἄυσεν wie sonst αὖον ἄυσεν (μ, 160 und unten 441). ἐπιθρέξαντος – ἔγχεος wie vorher ὑπέρπτατο, doch liegt darin, dass die Lanzenspitze den Schild im Darüberfliegen auch berührte.

411 f. ἀλλ' ἔβαλ' – ἔλυσεν. Vgl. oben zu λ, 578 f. und Einl. S. 7.

413. Δηίφοβος. Deiphobos tritt, so wie sich Hektor seiner Katastrophe nähert, immer mehr als einer der bedeutendsten Helden der Trojaner hervor.

419–423. ἀλλ' οὐδ' – στενάχοντα. Diese Verse lauten mit Ausnahme des ersten wörtlich gleich mit θ, 330–334, wo merkwürdiger Weise die zwei gleichen Männer auch den verwundeten Teukros aus der Schlacht tragen. Zu βαρέα στενάχοντα vgl. noch 538. ξ, 432. Hypsenor war nämlich noch nicht todt, sondern nur schwer verwundet, so dass ihn Deiphobos für todt halten konnte. (Andere lesen, um dem Misslichen dieser Erklärung zu entgehen, βαρέα στενάχοντε, gegen den sonstigen Gebrauch des Dichters).

424. οὐ λῆγε μένος vgl. φ, 305 οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος.

426. δουπῆσαι (todt, sterbend) hinzustürzen, wie 442 u. a. δούπησεν πεσών, ψ, 679 δεδουπότος Οἰδιπόδαο. — Natürlich wollte Idomeneus dieses (αὐτὸς δουπῆσαι) nur, wenn er das erstere (Τρώων τινά – καλύψαι) nicht konnte, oder er wollte dieses selbst auf Gefahr von jenem.

427. Αἰσυήταο vgl. β, 793, nach welcher Stelle man den Aesyetes einem frühern Zeitalter zuschreiben würde. Ein Alkathoos kam auch μ,

ἥρω᾽ Ἀλκάϑοον — γαμβρὸς δ᾽ ἦν Ἀγχίσαο, 18
πρεσβυτάτην δ᾽ ὤπυιε ϑυγατρῶν Ἱπποδάμειαν,
τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ 430
ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· τοὔνεκα καί μιν
γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ.
τὸν τόϑ᾽ ὑπ᾽ Ἰδομενῆι Ποσειδάων ἐδάμασσεν
ϑέλξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα· 435
οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ᾽ οὔτ᾽ ἀλέασϑαι,
ἀλλ᾽ ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον
ἀτρέμας ἑσταότα στῆϑος μέσον οὔτασε δουρί
ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
χάλκεον, ὅς οἱ πρόσϑεν ἀπὸ χροὸς ἤρκει ὄλεϑρον· 440
δὴ τότε γ᾽ αὖον ἄυσεν ἐρεικόμενος περὶ δουρί.
δούπησεν δὲ πεσών, δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει,
ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιζεν
ἔγχεος· ἔνϑα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης.

93 unter den Führern der zweiten Abtheilung beim Angriff auf die Mauer vor. Uebrigens wird der hier abgebrochene Satz erst 434 wieder aufgenommen und vollendet; hier schwebte dem Sprechenden wohl nur das Prädicat *ἐδάμασσεν Ἰδομενεύς* vor.

432. *κάλλεϊ – ἰδὲ φρεσίν* vgl. α, 115 *οὐ δέμας οὐδὲ φυήν, οὔτ᾽ ἂρ φρένας οὔτε τι ἔργα*, wo also der Begriff von *κάλλος* in zwei ihm untergeordnete (*δέμας* und *φυή*) aufgelöst ist.

435. *ϑέλξας ὄσσε φαεινά*, indem er ihm die klaren, hellen Augen verwirrte (ihnen durch irgend eine übernatürliche Einwirkung, einen Zauber, die Sehkraft raubte).

437. *ὥς τε στήλην ἢ δένδρεον* ist zu verbinden mit *ἑσταότα* erg. *μιν*.

439. *ῥῆξεν – ἀμφὶ χιτῶνα*. *ἀμφὶ* Adverbium zu *ῥῆξεν*, kann hier vielleicht bedeuten was sonst *ἀμφίς*, entzwei, auseinander. *χιτὼν χάλκεος*, anstatt des *ϑώραξ*: ein ledernes, mit Erz beschlagenes Koller; vgl. zu ε, 113.

441. *ἐρεικόμενος* Onomatopoeie = *ῥηγνύμενος* oder *ῥησσόμενος*, *σχιζόμενος*. Vgl. ρ, 295 *ἤριχε δ᾽ ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ*.

443. *οὐρίαχος* auch *οὔραχος*, Verlängerung von *οὐρά* (wofür auch *τὸ οὐραῖον*), wie *νηπίαχος* von *νήπιος*. Die zuckende Bewegung des Herzens wurde auch noch am hintersten Ende und Beschläge des Lanzenschaftes sichtbar, d. h. die Erschütterungen der Lanze trafen mit den Zuckungen des Herzens genau zusammen.

444. *ἔνϑα – ἀφίει μένος – Ἄρης*, da liess nach seine Kraft der gewaltige Ares, die verderbende Kraft der Lanze hörte nun auf, nachdem sie ihre volle Wirkung gethan und der von ihr getroffene Alkathoos ausgeröchelt hatte.

13 Ἰδομενεὺς δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας·
446 „Δηΐφοβ', ἦ ἄρα δή τι ἐίσκομεν ἄξιον εἶναι
τρεῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτως,
δαιμόνι'. ἀλλὰ καὶ αὐτὸς ἐναντίον ἵστασ' ἐμεῖο,
ὄφρα ἴδῃ οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω,
450 ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνως δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἐμὲ τίκτε πολέσσ' ἄνδρεσσιν ἄνακτα
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν."
455 ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν,
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἂψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἶος.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Αἰνείαν. τὸν δ' ὕστατον εὗρεν ὁμίλου
460 ἑσταότ'· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.
„Αἰνεία Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.

446. ἦ ἄρα δή τι ἐίσκομεν — πεφάσθαι, schätzen wir (Achäer) wohl, es sei ein entsprechender Entgelt, ein genügender Ersatz, dass drei für Einen getödtet sind, nämlich Othryoneus (363), Asios (387) und Alkathoos (434) statt des Einen Hypsenor (411). Zu ἐίσκομεν ἄξιον vgl. φ, 331 f. ἄντα σέθεν Ξάνθον ἠίσκομεν εἶναι.

447. ἐπεὶ σύ περ εὔχεαι οὕτ. Zurückweisung auf 413–416.

450. Κρήτῃ ἐπίουρον. Vgl. zu Od. ν, 405 ὑῶν ἐπίουρος. Die meisten Alten erklären indess ἐπίουρος durch φύλαξ oder ἐπίσκοπος.

454. καὶ πατρί, weil er vielleicht seinen Sohn durch mich verlieren wird.

456. ἑταρίσσαιτο = συνεργὸν λάβοι, wie κ, 242 ἕταρον ἑλέσθαι. So heisst Od. λ, 7 sogar der günstige Fahrwind ein ἐσθλὸς ἑταῖρος.

458. ὧδε — δοάσσατο hat wie gewöhnlich den Infinitiv nach sich, βῆναι ἐπ' Αἰνείαν, was hier s. v. ist a. Τρώων τινὰ ἑταρίσασθαι, also — gegen den sonstigen Gebrauch — der erste der in Frage gesetzten Fälle. Anders ξ, 20–24, wo dieselbe Wendung (βῆναι ἐπ' Ἀτρεΐδην) in anderem Sinne gebraucht ist.

460. αἰεὶ γὰρ — ἐπεμήνιε. Von einem solchen gespannten Verhältniss zwischen Aeneas und Priamos enthalten die früher ihrer erwähnenden Stellen keine Andeutung, ausser etwa λ, 58 ὃς Τρωσὶ θεὸς ὣς τίετο δήμῳ. Deutlicher weist darauf υ, 306–308.

464. κῆδος hier speciell die Trauer

ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος περ 13
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα· 466
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν."
ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς, 470
ἀλλ' ἔμεν' ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς,
ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας. 475
ὣς μένεν Ἰδομενεὺς δουρικλυτός, οὐδ' ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοηθόον· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηίπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀυτῆς.
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα. 480
„δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνετε. δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν,
ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.
εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐπὶ θυμῷ, 485

um den getödteten Verwandten (Schwager).

467. ἐξενάριξεν hier ohne alle Rücksicht auf die Grundbedeutung, vgl. 437–445.

470. τηλύγετον ὥς. τηλύγετος hier tadelnd: zärtlich, verzärtelt und daher unmännlich; vgl. übrigens zu Od. δ, 11.

471 f. ὡς ὅτε – ὅς τε μένει. Ein doppeltes oder sogar dreifaches Relativum, wo im Grunde Eines genügte; ebenso unten ο, 362 f. Vgl. zu θ, 230 und zu κολοσυρτὸν ἐπερχόμενον μ, 147 κολοσ. ἰόντα.

473. νῶτον ist Accusativ.

476. οὐδ' ὑπεχώρει parenthetisch wie Od. ι, 292 οὐδ' ἀπέλειπεν, vgl. Il. λ, 350. 376.

477. βοηθόον ist Prädicat zu ἐπιόντα = der kampfrüstig, schnell zum Kampfe herankam (um nach Deiphobos' Aufforderung den Alkathoos zu rächen). Vgl. ρ, 481 βοηθόον ἅρμ' ἐπορούσας, und unten 482 Α. ἐπιόντα πόδας ταχύν.

481. μ' οἴῳ = μοι οἴῳ. Vgl. zu Od. δ, 367 ἥ μ' οἴῳ ἔρροντι συνήντετο.

482. ὅς μοι ἔπεισιν. Auch diese Epexegese ist durch das beigefügte μοι bestimmter als das zu erklärende ἐπιόντα.

484. ἔχει ἥβης ἄνθος im Gegensatz von dem vorgerücktern Alter des Idomeneus (361 μεσαιπόλιος).

485. εἰ γὰρ – γε wie ψ, 344. Od. ψ, 21. — ὁμηλικίη collectiv, vgl.

18 αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην.“
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες
πλησίοι ἔστησαν, σάκε᾽ ὤμοισι κλίναντες.
Αἰνείας δ᾽ ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν,
190 Δηίφοβόν τε Πάριν τ᾽ ἐσορῶν καὶ Ἀγήνορα δῖον,
οἵ οἱ ἅμ᾽ ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ᾽, ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν᾽ ἐκ βοτάνης· γάνυται δ᾽ ἄρα τε φρένα ποιμήν.
ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
195 ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
οἱ δ᾽ ἀμφ᾽ Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
σμερδαλέον κονάβιζε τιτυσκομένων καθ᾽ ὅμιλον
ἀλλήλων. δύο δ᾽ ἄνδρες ἀρήιοι ἔξοχον ἄλλων,
500 Αἰνείας τε καὶ Ἰδομενεύς, ἀτάλαντοι Ἄρηι,
ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέι χαλκῷ.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίης
505 ᾤχετ᾽, ἐπεί ῥ᾽ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ᾽ ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην,

zu Od. β, 158. — Ueber τῷδ᾽ ἐπὶ θυμῷ vgl. zu Od. π, 99.

486. αἶψά κεν – φεροίμην d. h. dann würde ich euern Beistand nicht verlangen, sondern auch allein ohne Verzug einen entscheidenden Kampf wagen.

488. πλησίοι – κλίναντες, vgl. zu λ, 593.

490. Δηίφοβον, dessen Zurückbleiben nach 462–467 allerdings sehr anstössig gewesen wäre.

492. ὡς εἴ τε – ἕσπετο. Gewöhnlicher wäre der Optativ ἕσποιτο, wie Od. ι, 314. κ, 420 vgl. 416. Der Aorist. Indic. bezeichnet den verwirklichten einzelnen Fall.

493. ἐκ βοτάνης, von der Weide weg, nachdem sie geweidet. Vgl. Od. κ, 159 κατήιεν ἐκ νομοῦ ὕλης πιόμενος. — γάνυται. Denn die Begierde zu trinken ist ein Zeichen von Gesundheit der Heerde.

496. οἱ δέ, die beiden kämpfenden Haufen unter Idomeneus und Aeneas (499 f.). — ἀμφ᾽ Ἀλκαθόῳ gehört zu ὡρμήθησαν, wie 526 ἀμφ᾽ Ἀσκαλάφῳ. — Den Begriff von αὐτοσχεδὸν ὁρμηθῆναι zeigt der Gegensatz mit ἀκοντίσαι 559.

498. τιτυσκομένων – ἀλλήλων, vgl. ζ, 3 ἀλλήλων ἰθυνομένων, und unten 501.

504. κατὰ γαίης ᾤχετο, vgl. zu λ, 358 ὅθι οἱ κατaείσατο γαίης.

505. ἅλιον Adverbium, wie μέλεον = ματαίως κ, 480.

506. Ἰδομενεὺς δ᾽ ἄρα. Auch

ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς 13
ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ 510
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
οὔτ' ἄρ' ἐπαΐξαι μεθ' ἑὸν βέλος οὔτ' ἀλέασθαι·
τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
τρέσσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο. 515
τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
Δηίφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτεν, ὁ δ' Ἀσκάλαφον βάλε δουρί,
υἱὸν Ἐνυαλίοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 520
οὐδ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης
υἷος ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ,
ἀλλ' ὅ γ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
ἧστο, Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο. 525
οἱ δ' ἀμφ' Ἀσκαλάφῳ αὐτοσχεδὸν ὡρμήθησαν·
Δηίφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν

hier begünstigt der Dichter seinen Landsmann, indem er den Umstand mit Stillschweigen übergeht, dass Idomeneus eig. den Aeneas treffen wollte (500 f.) und nur durch dessen Verfehlen den Oenomaos traf.

507. *θώρηκος γύαλον*, vgl. zu ε, 99; über *διὰ — ἤφυσε* zu Od. τ, 450 *πολλὸν δὲ διήφυσε σαρκὸς ὀδόντι*.

510. *ἄλλα* ist — nicht ganz logisch — auf *τεύχεα καλά* bezogen (= *τὰ ἄλλα*), könnte aber auch durch ein Adverbium = ausserdem, überdiess, ausgedrückt sein.

512. *ἔμπεδα*, fest, sicher genug, zuverlässig. *γυῖα ποδῶν* (vgl. zu Od. κ, 363), die Füsse als bewegliche und biegsame Glieder, die Gelenke der Füsse.

513. *ἐπαΐξαι* d. h. mit Schnelligkeit und auch im Laufe darauf ausgehen, ihm nachstürmen. Dem Oenomaos hatte er allerdings das Geschoss aus dem Leibe ziehen können, weil er ganz in seiner Nähe war.

517. *δὴ γάρ οἱ ἔχεν κτέ.*, weil schon so viele durch ihn gefallen waren. *δὴ γάρ*, denn ja, denn wirklich; vgl. zu Od. α, 194.

520. *ἔσχεν* intr. es hielt (sich), erstreckte sich, reichte, *pertinebat* = ε, 100 *ἀντικρὺ δὲ διέσχε*.

523. *ὑπὸ χρυσέοισι νέφεσσιν*, also unter den Thoren des Olympos. Auf den Tod des Askalaphos wird ο, 110–112 zurückgewiesen.

13 ἥρπασε, Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηι
δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
530 αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὥς,
ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος,
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης
αὐτοκασίγνητος, περὶ μέσσῳ χεῖρε τιτήνας,
535 ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα,
τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔρρεε χειρός.
540 οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
ἔνθ' Αἰνέας Ἀφαρῆα Καλητορίδην ἐπορούσας
λαιμὸν τύψ', ἐπὶ οἷ τετραμμένον, ὀξέι δουρί·
ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη
καὶ κόρυς, ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
545 Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
οὔτασ' ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,

528. ἥρπασε, weil er ihn doch nicht wirklich behielt und in Sicherheit bringen konnte: er riss (weg).

530. *αὐλῶπις τρυφάλεια* vgl. zu ε, 182.

531. *ἐξαῦτις ἐπάλμενος*, abermals, zum zweiten Mal auf ihn einspringend. Vgl. zu Od. δ, 213; über *αἰγυπιός* zu Od. π, 217.

532. *πρυμνοῖο βραχίονος* d. i. *τοῦ ἐσχάτου*, aus dem äussersten, obersten Theile des Armes, zunächst an der Schulter, wie π, 323. Daher ist 539 *χειρὸς* auch vom Arm zu verstehen.

533. *τὸν δέ*, jenen aber, den Deiphobos. Ueber Polites vgl. β, 791 ff.

534. *περὶ μέσσῳ – τιτήνας* d. i. *περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας καὶ συλλαβών*. Wahrscheinlich hielt er mit dem einen Arm den verwundeten Arm des Deiphobos, während er den ande um seinen Leib geschlungen hi (daher auch *χεῖρα* gelesen werd könnte): aber zum ganzen Ac des Führens brauchte er doch bei Arme.

541. *Ἀφαρῆα*, der auch oben 4 genannt war. Auf *Ἀφαρῆα* bezie sich *τετραμμένον* des folgend Verses.

543. *ἑτέρωσε*, auf die eine Seit d. h. wohl (wegen des nachher vo Schilde Gesagten) auf die recht — *ἐπὶ – ἑάφθη* (*ἅπτω*), dazu fügt gesellte sich wie freiwillig.

545. *Ἀντίλοχος* war ebenfal 479 erwähnt, und billig soll er a Nestors Sohn nun auch etwas lei sten. — *Θόωνα* = μ, 140.

546. *φλέβα πᾶσαν* nach Scho *ὅλην τὴν κοίλην φλέβα*, die ganz Hohlblutader (Hohlader), die grösst und weiteste Blutader. Nach An

ᾗ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει· 18
τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ' ὕπτιος ἐν κονίῃσιν
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων 550
παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
οὔταζον σάκος εὐρὺ παναίολον, οὐδ' ἐδύναντο
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέι χαλκῷ
Ἀντιλόχου· περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
Νέστορος υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσιν. 555
οὐ μὲν γάρ ποτ' ἄνευ δηίων ἦν, ἀλλὰ κατ' αὐτούς
στρωφᾶτ'· οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεί
σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν
ἤ τευ ἀκοντίσσαι ἠὲ σχεδὸν ὁρμηθῆναι.
ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος καθ' ὅμιλον 560
Ἀσιάδην, ὅ οἱ οὖτα μέσον σάκος ὀξέι χαλκῷ
ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμήν
κυανοχαῖτα Ποσειδάων βιότοιο μεγήρας.
καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥς τε σκῶλος πυρίκαυστος,
ἐν σάκει Ἀντιλόχοιο, τὸ δ' ἥμισυ κεῖτ' ἐπὶ γαίης. 565

dern: die Aorta d. i. die Hauptschlagader, welche der hintern Wandung des Rückens in dessen ganzer Länge bis an den Hals folgt.

547. *διαμπερές* verbinde mit *αὐχέν' ἱκάνει*.

549. *ἄμφω χ. πετάσσας* durch Convulsion in Folge der Verwundung des grossen Gefässstammes (546).

553. *εἴσω ἐπιγράψαι*, einwärts, innerhalb, d. h. unter dem Schilde noch streifen, ritzen.

554. *περὶ – ἔρυτο*, rings um, von allen Seiten schützte ihn Poseidon (als Stamm- und Familiengott, vgl. zu Od. *γ*, 6).

556. *οὐ μὲν γάρ – ἦν.* Dieser Satz erklärt, warum Poseidon den Antilochos auch *ἐν πολλοῖσι βέλεσσιν* (nicht nur gegen das *οὐτάζειν* 552) zu schützen hatte. *ἄνευ δηίων*, frei von Feinden, fern von ihnen.

560. *οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος.* Der Hauptbegriff im Verhältniss zum Verbum ist *τιτυσκόμενος*, sein *τιτύσκεσθαι* blieb ihm nicht verborgen.

563. *βιότοιο μεγήρας. βιότοιο* muss nach dem Zusammenhang auf das Leben des von Poseidon geschützten Antilochos bezogen werden: ihm (dem Adamas) das Leben desselben versagend. Das vorangehende *οἱ* ist auch zu *μεγήρας* zu ziehen.

564. *τὸ μὲν* im Gegensatz von *τὸ δ' ἥμισυ*, die eine Hälfte, das eine Stück der zerbrochenen Lanze. *αὐτοῦ* ist Adverbium zu *μεῖνε*, vgl. Od. *δ*, 508 *καὶ τὸ μὲν αὐτόθι μεῖνε, τὸ δὲ τρύφος ἔμπεσε πόντῳ.*

566 ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
Μηριόνης δ' ἀπιόντα μετασπόμενος βάλε δουρί
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
γίγνετ' Ἄρης ἀλεγεινὸς ὀιζυροῖσι βροτοῖσιν.
570 ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ' ἑσπόμενος περὶ δουρί
ἤσπαιρ' ὡς ὅτε βοῦς, τόν τ' οὔρεσι βουκόλοι ἄνδρες
ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν.
ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔ τι μάλα δήν,
ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθών
575 ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Δηίπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηικίῳ μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε, καί τις Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσεν·
580 τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρεΐδην δ' ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωι ἄνακτι,
ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἄνελκεν.
τὼ δ' ἄρ' ὁμαρτήδην ὁ μὲν ἔγχεϊ ὀξυόεντι
585 ἵετ' ἀκοντίσσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀιστῷ.
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ

566. *ἐχάζετο* erg. *Ἀδάμας*, auf den sich dann auch 567 *ἀπιόντα* bezieht.

570. *ἑσπόμενος*, folgend dem Stosse, d. h. unter demselben hinsinkend; etwas anders *μ*, 395. — *περὶ δουρί* gehört zu *ἤσπαιρε*, vgl. 441 und *θ*, 86 *κυλινδόμενος περὶ χαλκῷ*.

572. *οὐκ ἐθέλοντα* gehört zu *ἄγουσιν*, *βίῃ* zu *δήσαντες*.

573. *τυπείς* überhaupt getroffen, obgleich es aus der Ferne geschehen war. Vgl. 567 *βάλε δουρί*. Nach sonstigem Sprachgebrauch sollte man hier *βεβλημένος* oder *βληθείς* erwarten; doch stak ihm die verwundende Waffe noch im Leibe. — *μίνυνθα – δήν* = Od. *χ*, 473.

577. *Θρηικίῳ μεγάλῳ*. So erwähnt Livius 31, 39 auch eine Art **Wurfspiess** bei den **Thrakern** „*ingentis longitudinis*“, **unter dem** Namen „*romphaeae*“ oder **latinisirt** „*rumpiae*“.

579. *μαρναμένων – κυλινδομένην*, vgl. *ξ*, 411 *πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο*.

584. *ὁμαρτήδην ὁ μέν*. Vgl. *μ*, 400 *ὁμαρτήσανθ' ὁ μὲν κτέ*. Ueber *ὀξυόεις* vgl. zu Od. *τ*, 33. Der Stoff des Schaftes wird unten 597 bezeichnet.

585. *ὀιστῷ* erg. *βαλεῖν*, aus dem durch Zeugma verbundenen *ἀκοντίσσαι*.

586. *ἔπειτα* hier nicht sowohl zur Bezeichnung der Zeitfolge, als des Eintretens in's Einzelne nach vorhergegangener Ankündigung, wie

θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀιστός. 18
ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωήν
θρώσκωσιν κύαμοι μελανόχροες ἢ ἐρέβινθοι
πνοιῇ ὕπο λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ, 590
ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀιστός.
Ἀτρείδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
τὴν βάλεν ᾗ ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξῳ
ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος. 595
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
χεῖρα παρακρεμάσας· τὸ δ' ἐφέλκετο μείλινον ἔγχος.
καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδησεν ἐυστρεφεῖ οἰὸς ἀώτῳ,
σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν. 600
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
ἤιε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε,
σοί, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηιοτῆτι.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἀτρείδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος, 605
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
οὔτασεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
ἔσχεθε γὰρ σάκος εὐρύ, κατεκλάσθη δ' ἐνὶ καυλῷ
ἔγχος· ὁ δὲ φρεσὶν ᾗσι χάρη καὶ ἐέλπετο νίκην.

sonst (μὲν) δή, ἤτοι, denn also, z. B. 614. Vgl. auch Od. α, 106.

588f. ἀπὸ – θρώσκωσιν, und sich dadurch vom Weizen (Getreide) sondern.

596f. ἐχάζετο erg. Ἕλενος. — παρακρεμάσας, an der Seite herabhangen lassend.

599. οἰὸς ἀώτῳ, indem die beiden Schenkel der Schleuder aus Wolle geflochten wurden. Die Schleuder wird bei Homer nur hier und unten 716–718 erwähnt, aber es ist leicht zu begreifen, dass sie im Nothfall auch als Binde gebraucht werden konnte.

600. οἱ θεράπων, sein, des Agenor (490) Diener, der wahrscheinlich keine schweren Waffen führte.

602. τὸν δ' ἄγε μοῖρα. Vgl. zu Od. γ, 269. Nicht nur dieser ganze Gedanke, sondern besonders die Anrede σοὶ Μενέλαε zeigt das Interesse des Dichters für die Achäer.

605. ἅμαρτε. Er hatte sich also in der Stille einen andern Speer verschafft, oder von Anfang an zwei gehabt. Uebrigens kommt dieser mit dem vorigen Verse schon λ, 232f. vor.

609. ὁ δὲ – χάρη spottend: er (Peisandros) aber hatte sich schon

13 Ἀτρείδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
611 ἆλτ' ἐπὶ Πεισάνδρῳ· ὁ δ' ὑπ' ἀσπίδος εἵλετο καλὴν
ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφὶ πελέκκῳ,
μακρῷ ἐυξέστῳ· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
ἤτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
615 ἄκρον ὑπὸ λόφον αὐτόν, ὁ δὲ προσιόντα μέτωπον
ῥινὸς ὕπερ πυμάτης· λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίῃσιν,
ἰδνώθη δὲ πεσών. ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα.
620 „λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀυτῆς.
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες, οὐδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν
625 ξεινίου, ὅς τέ ποτ' ὔμμι διαφθέρσει πόλιν αἰπήν·
οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλά

gefreut und auf den Sieg gehofft, als Menelaos (605) ihn verfehlte. Diese Hoffnung vereitelt ihm aber der letztere sogleich.

612. ἀξίνην. Die Streitaxt als kriegerische Waffe wird nur hier und ο, 711 (neben πέλεκυς) erwähnt. An beiden Stellen war sie wohl im Hinblick auf die zu erobernden Schiffe (620. 628) mitgenommen worden. — Zu ἀμφὶ πελέκκῳ vgl. φ, 577 περὶ δουρὶ πεπαρμένη.

614. ἤτοι ὁ μέν d. h. Πείσανδρος. Ueber die Verbindung vgl. zu 586.

617. πὰρ ποσὶν ist noch auf Πείσανδρος zu beziehen, da dieser erst nachher fällt. πέσον, sie fielen als Ganzes heraus in ihren Häuten (nicht sie rannen aus).

620. λείψετέ θην. θὴν ironisch wie θ, 448 οὐ μέν θην κτέ.

622. ἄλλης μὲν λώβης κτέ. Nach οὐκ ἐπιδευεῖς ergänze das Verbum ἐστέ (ihr seid), welches um so eher ausgelassen werden konnte, weil 628 noch ein auf dasselbe Subject bezüglicher Hauptsatz mit dem Verbum μενεαίνετε folgt. ἄλλης μὲν und νῦν αὖτε machen nämlich den Gegensatz: schon im Uebrigen, sonst schon lasset ihr es an Schmach und Beschimpfung nicht fehlen, jetzt hinwieder wollt ihr die Schiffe verbrennen. Beide Sätze begründen und erklären das 621 gebrauchte Epitheton δ. ἀκόρητοι ἀυτῆς, dessen Begriff hier auf Feindseligkeiten aller Art ausgedehnt, von 634 an aber im engern Sinne gefasst wird.

623f. κακαὶ κύνες nach dem bei Thiernamen vorherrschenden Sprachgeschlecht (dem Femininum). — οὐδέ τι – ἐδδείσατε würden wir als Nebenbestimmung, οὐ δεδιότες, ausdrücken.

626f. οἵ μευ κουριδίην κτέ. Entwickelung des Satzes οὐδέ τι – Ζηνὸς ξεινίου ἐδδείσατε μῆνιν. οἴχεσθε in Perfectbedeutung: ihr habt mir über das Meer entführt.

μὰψ οἴχεσθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῇ. **13**
νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισιν
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς.
ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος. 630
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων,
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται.
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσιν,
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
φυλόπιδος κορέσασθαι ὁμοιίου πολέμοιο. 635
πάντων μὲν κόρος ἐστί, καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο,
τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν."
ὣς εἰπὼν τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα 640
συλήσας ἑτάροισι δίδου Μενέλαος ἀμύμων,
αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίξων
ἐς Τροίην, οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν· 645

Zu ἀνάγοντες vgl. ζ, 292. — φιλέεσθε παρ' αὐτῇ vgl. Od. α, 123 παρ' ἄμμι φιλήσεαι.

630. ἀλλά ποθι σχήσεσθε. Zuversichtlichere Wiederholung der beziehungsweise schon 620 ausgesprochenen Hoffnung.

631 f. Ζεῦ πάτερ κτέ. Der Gedanke im Allgemeinen ist: Wie ist es möglich, dass die gerechten Götter solchen Uebermuth der Troer gegen uns zulassen? — σέο δ' ἐκ – πέλονται, und doch kommt diess alles von dir her, du giebst den Troern Macht und Gelegenheit dazu. Die folgenden drei Verse weisen die Wahrheit dieses Gedankens thatsächlich nach.

634. οὐδὲ δύνανται mehr im moralischen als im physischen Sinne: sie vermögen es nicht über sich, obgleich sie uns schon früher frevelndes Unrecht angethan haben; vgl. Od. α, 250.

635. φυλόπιδος – πολέμοιο wie 621 δεινῆς – ἀυτῆς.

638. καὶ μᾶλλον. Vgl. zu Od. θ, 154.

640. ἀπὸ χροός steht zunächst in Beziehung auf δίδου, συλήσας ist epexegetisch. Zur Stellung von αἱματόεντα nach τὰ μὲν ἔντεα vgl. Od. ι, 378 ὁ μοχλὸς ἐλάινος und Il. α, 11 τὸν Χρύσην – ἀρητῆρα.

643. Πυλαιμένεος βασιλῆος, ohne Zweifel desselben, der ε, 576 ff. als ἀρχὸς Παφλαγόνων und von Menelaos bezwungen (erlegt) bezeichnet ist; hier wird er noch lebend gedacht (658 f.). Vgl. die Einleit. S. 3.

644. ἕπετο, sein Begleiter, in seinem Gefolge war.

645. οὐδ' αὖτις ἀφίκετο. Denn er fand hier nach 650–655 seinen Tod.

13 ὅς ῥα τότ' Ἀτρείδαο μέσον σάκος οὔτασε δουρὶ
ἐγγύθεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσσαι,
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ.
650 Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀιστόν
καί ῥ' ἔβαλε γλουτὸν κατὰ δεξιόν· αὐτὰρ ὀιστὸς
ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν.
ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίῃ
655 κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο,
ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
ἀχνύμενοι. μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων,
ποινὴ δ' οὔ τις παιδὸς ἐγίγνετο τεθνηῶτος.
660 τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσιν·
τοῦ ὅ γε χωόμενος προΐει χαλκήρε' ὀιστόν.
ἦν δέ τις Εὐχήνωρ Πολυΐδου μάντιος υἱός,
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
665 ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν ἐπὶ νηὸς ἔβαινεν.
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύιδος
νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν

649. *χρόα – ἐπαύρῃ*, vgl. λ, 573 *πάρος χρόα λευκὸν ἐπαυρεῖν*.

651. *γλουτὸν κατὰ δεξιόν*, vgl. zu ε, 66.

657. *ἀνέσαντες* (*ἀνεῖσα*) eig. nachdem sie ihn (hinter die Schlacht getragen und) auf den Wagen gesetzt, da er als so eben gestorben noch nicht erkaltet, nicht steif noch gestreckt war. Vgl. Od. ξ, 280 *ἐς δίφρον δέ μ' ἕσας ἄγεν οἴκαδε*. Uebrigens das einzige Beispiel, dass ein Getödteter so aus der Schlacht geführt wird.

659. *ποινὴ δ' οὔ τις*. Ein Ausdruck nicht sowohl des Eigennutzes, als der Wehmuth eines verletzten Ehrgefühles. Sein Sohn war auf eine Weise gefallen, dass der Urheber seines Todes sich nicht einmal veranlasst oder genöthigt sah, ihm als Vater eine Sühne oder Blutgeld anzubieten; so erschien er sich selbst ganz in seinem Rechte verkürzt und verachtet.

663. *Εὐχήνωρ*. Ein passender Name für den Sohn eines Sehers; vgl. über den ähnlichen *Πολύκτωρ* zu Od. ρ, 207; über *Πολύιδος* zu Il. ε, 148.

664. *ἀγαθός*, edel von Geburt und darum auch mannhaft, tapfer. Diese Eigenschaften beweist er auch durch die bewusste Wahl des Todes in der Schlacht 669 f.

667 f. *νούσῳ – ἤ – νηυσίν*. Er

ἢ μετ᾽ Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
τῷ ῥ᾽ ἅμα τ᾽ ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν
νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ. 670
τὸν βάλ᾽ ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμός
ᾤχετ᾽ ἀπὸ μελέων, στυγερὸς δ᾽ ἄρα μιν σκότος εἷλεν.
ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ᾽ οὐκ ἐπέπυστο διίφιλος, οὐδέ τι ᾔδη
ὅττι ῥά οἱ νηῶν ἐπ᾽ ἀριστερὰ δηιόωντο 675
λαοὶ ὑπ᾽ Ἀργείων. τάχα δ᾽ ἂν καὶ κῦδος Ἀχαιῶν
ἔπλετο· τοῖος γὰρ γαιήοχος ἐννοσίγαιος
ὄτρυν᾽ Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν.
ἀλλ᾽ ἔχεν ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων, 680
ἔνθ᾽ ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου

hatte also auch wie Achilleus ι, 411 *διχθαδίας κῆρας*, zwischen welchen er wählen konnte. Durch *μετ᾽ Ἀχαιῶν ν.* wird überhaupt das Verweilen unter den bei Troia gelandeten Achäern bezeichnet, vgl. Od. α, 61 *Ἀργείων παρὰ νηυσὶ χαρίζετο ἱερὰ ῥέζων.*

669. *θωὴν ἀλέεινεν* auch mehr aus Ehrgefühl, als aus Kargheit. Denn eine Geldbusse ist wohl unter *θωὴ* zu verstehen.

671. *ὑπὸ γναθμοῖο.* Vgl. zu α, 501. Hier scheint, da die Bewegung wirklich in entgegengesetzter Richtung stattfindet, der Genitiv nach Analogie von *ἐγγύθεν, πρὸς βορέου, πρὸς νότου ἀνέμου, πρὸς ἑσπέρης* u. ä. zu stehen.

675. *νηῶν ἐπ᾽ ἀριστερά* vgl. mit 679 *ἔχεν ᾗ τὰ πρῶτα κτέ.* Hier scheint der Dichter einer andern Sage über die Stellung der achäischen Schiffe und den Punct, auf welchem Hektor in die Mauer eingedrungen war, zu folgen, als die früheren Bücher. Vgl. namentlich λ, 497–503. μ, 462–466. Es ist aber bemerkenswerth, dass überall in der Ilias, wo die Darstellung von einer Stelle des Kampfes zu einer andern übergeht und die Richtung der letztern angiebt — diese zweite immer als *ἐπ᾽ ἀριστερά*, nie *ἐπὶ δεξιά* liegend bezeichnet wird; vgl. Friedländer d. hom. Kritik S. 78. So ε, 355. λ, 498. μ, 118. ν, 326. (trotz dem voraufgegangenen 308 f. *ἢ ἐπὶ δεξιόφιν κτέ.*) 675. 765. ρ, 116. 682. Der Ausdruck *ἐπ᾽ ἀριστερά* mag also zur stehenden Formel in solchen Schilderungen geworden sein, die nicht viel anderes bedeutete als s e i t w ä r t s, a u f d e r (andern) S e i t e.

676 f. *τάχα δ᾽ ἂν – ἔπλετο*, bald wäre auch der Siegerruhm den Achäern zu Theil geworden, w e n n n i c h t (was 679 f. in anderer Wendung sagt) Hektor sie doch noch aufgehalten hätte. Zu der Verbindung *τάχ᾽ ἂν – ἀλλὰ* vgl. ψ, 606 – 609. *τοῖος* so kräftig, *μετὰ τοσαύτης προθυμίας.*

678. *ἄμυνεν* d. i. *ἐπεκούρει.*

679. *ἔχεν* intransitiv, vgl. zu μ, 433. Zur Ortsbestimmung betreffend Hektor's Stellung vgl. oben 312.

681. *ἔνθ᾽ ἔσαν Αἴαντός τε νέες*

13 θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθεν
τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
ζαχρηεῖς γίγνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι.
685 ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες,
Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἐπειοί
σπουδῇ ἐπαΐσσοντα νεῶν ἔχον, οὐδ' ἐδύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον,
οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
690 ἦρχ' υἱὸς Πετεῶο Μενεσθεύς, οἱ δ' ἅμ' ἕποντο
Φείδας τε Στιχίος τε Βίας τ' ἐΰς· αὐτὰρ Ἐπειῶν
Φυλεΐδης τε Μέγης Ἀμφίων τε Δρακίος τε,
πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμός τε Ποδάρκης.
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀιλῆος θείοιο
695 ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς,

κ. Πρωτεσ. Dagegen hiess es λ, 7 vgl. κ, 113, die Schiffe des Telamoniers Aias stehen am äussersten Ende (landeinwärts), anderseits π, 285, das Schiff des Protesilaos, der nach β, 702 zuerst an's Land gesprungen war, befinde sich in der Mitte (κατὰ μέσσον).

683. χθαμαλώτατον. Diese bisher noch nie beigefügte Bestimmung soll erklären, wie die Troer die Mauer übersteigen konnten.

684. ζαχρηεῖς γίγνοντο, nämlich die Kämpfenden überhaupt, nicht nur die Troer, und auch in früheren Kämpfen; vgl. μ, 347. 360. Also kann die Erwähnung der Rosse (Wagen) hier nicht auffallen mit Rücksicht auf μ, 80–85.

685. Ἰάονες geht deutlich auf die 689 genannten Athener. Sowohl Name als Beiwort (ἑλκεχίτωνες) gehören zu den seltenen Spuren von der Verschiedenheit der griechischen Stämme bei Homer; vgl. Od. τ, 177 Δωριέες τριχάϊκες. — Auch die andern dieser Namen kommen dann in der detaillirten Aufzählung wieder zum Vorschein, die Böoter jedoch in den Hintergrund gestellt 700, die Epeier 691, die Phthier 693 und 699, die Lokrer endlich 712 ff.

687. σπουδῇ ist mit νεῶν ἔχον zu verbinden in dem zu β, 99 angegebenen Sinne. ἐπαΐσσοντα erg. Ἕκτορα aus dem folgenden Gliede.

689. οἱ μὲν – προλελεγμένοι, hier zwar oder erstlich aus den Athenern Erlesene. Den Gegensatz machen 691 αὐτὰρ Ἐπειῶν und 693 πρὸ Φθίων δέ.

690 f. Μενεσθεύς und Στιχίος waren auch oben 195 mit einander verbunden.

692. Φυλεΐδης Μέγης derselbe, der β, 625–630 als Anführer derer von Dulichion und den Echinadeninseln genannt wird; es scheint aber, dass die Einwohner dieser Inseln auch zu den Epeiern (β, 619 ff.) gezählt worden seien.

693. Μέδων nach β, 727 der Stellvertreter des auf Lemnos krank liegenden Philoktetes, eigentlich ein Lokrer. — Ποδάρκης nach ebend. 704 ff. der Bruder und Nachfolger des Protesilaos.

696. ἐν Φυλάκῃ = β, 695, wo

γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀιλεύς· 13
αὐτὰρ ὁ Ἰφίκλοιο πάις τοῦ Φυλακίδαο.
οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο· 700
Αἴας δ' οὐκέτι πάμπαν, Ὀιλῆος ταχὺς υἱός,
ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου, οὐδ' ἠβαιόν,
ἀλλ' ὥς τ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον,
ἶσον θυμὸν ἔχοντε, τιταίνετον· ἀμφὶ δ' ἄρα σφιν
πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς· 705
τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει
ἱεμένω κατὰ ὦλκα· τέμει δέ τε τέλσον ἀρούρης·
ὣς τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιιν.
ἀλλ' ἤτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοί
λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο, 710
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο.
οὐδ' ἄρ' Ὀιλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·

aber die von Phylake gerade (704 f.) dem Podarkes (vgl. unten 698 Ἰφίκλοιο πάις τοῦ Φυλακίδαο) untergeben sind.

699. οἱ μέν, d. h. die 693 genannten Medon und Podarkes. Den Gegensatz zu μὲν macht 701 Αἴας δ' οὐκέτι πάμπαν κτέ., da man diesen natürlich in Verbindung mit seinem Bruder erwartet hätte.

700. μετὰ Βοιωτῶν, d. h. wohl auf dem linken Flügel der 685 bezeichneten Abtheilung, so wie die Athener den rechten eingenommen zu haben scheinen.

701 f. οὐκέτι πάμπαν – ἵστατ' ἀπ' Αἴαντος, d. h. aber der jüngere Aias trennte sich gar nicht mehr von dem Telamoniden und war daher auch jetzt nicht bei seinem Bruder und dessen Abtheilung, sondern in der nächsten Umgebung von jenem. Vgl. μ, 265. ν, 46.

703. πηκτὸν ἄροτρον vgl. zu Od. ν, 32.

704. ἀμφὶ πρυμνοῖσιν κεράεσσι = ἀμφὶ ταῖς ῥίζαις τῶν κεράτων, rings um die Wurzeln der Hörner, zunächst am Kopfe. Vgl. υ, 260 und besonders unten 805.

706. ἀμφὶς ἐέργει, trennt sie von einander; sonst sind sie ganz einig in ihrem Streben und Thun.

707. κατὰ ὦλκα vgl. Od. σ, 375 εἰ ὦλκα. Apoll. Rhod. 3, 1333 κατὰ ὦλκας. — τέμει δέ τε τέλσον ἀρούρης erg. ἄροτρον als Subject, mit veränderter Construction und parenthetisch: während der Pflug den Acker durchschneidet. τέλσον ἀρούρης das begrenzte, abgesteckte Stück Landes, d. h. den Acker bis an seine Grenze, vgl. σ, 544 (= 547) ἱκέσθαι τέλσον ἀρούρης.

709 f. ἀλλ' ἤτοι Τελαμωνιάδῃ κτέ. Doch war noch ein bedeutender Unterschied zwischen beiden Aias; der Telamonide hatte eine grosse Zahl Kampfgenossen um sich, die ihn erleichterten, der Oiliade (712) nicht. — ἕταροι — etwa Stammgenossen — ist Apposition zu πολλοὶ – λαοί.

712. οὐδ' ἄρα d. i. ἀλλ' οὐκ wie 687.

13 οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·
οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
715 οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα,
ἀλλ' ἄρα τόξοισιν καὶ ἐυστρεφεῖ οἰὸς ἀώτῳ
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες, οἷσιν ἔπειτα
ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας.
δή ῥα τόθ' οἱ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισιν
720 μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ,
οἱ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον. οὐδέ τι χάρμης
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀιστοί.
ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
725 εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς
„Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι.
οὕνεκά τοι πέρι δῶκε θεὸς πολεμήια ἔργα,
τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιίδμεναι ἄλλων;
ἀλλ' οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
730 ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα,
[ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·]
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς

714. *οὐ γὰρ ἔχον κόρυθας* d. h. sie waren Leichtbewaffnete, Bogenschützen und Schleuderer (vgl. *β*, 529 *λινοθώρηξ*) und konnten darum im stehenden Kampfe der Schwerbewaffneten nichts leisten; sie schossen daher aus dem Versteck hinter den andern (*οἱ μὲν* 719) hervor (721 *ὄπιθεν βάλλοντες ἐλάνθανον*).

717. *οἷσιν* d. i. *τόξοισιν καὶ οἰὸς ἀώτῳ* (599).

721 f. *οὐδέ τι — μιμνήσκοντο.* Momentaner Erfolg der Anstrengungen der Achäer, weil das Vordringen der Troer noch aufgehalten werden soll. Doch werden auch die letztern durch diesen Nachtheil zu neuer Anstrengung angetrieben.

725. *Ἕκτορα εἶπε παραστάς*, vgl. zu *μ*, 60 (= 210).

726. *ἀμήχανός ἐσσι — πιθέσθαι* d. i. *τοῖς βουλομένοις σε πείθειν ἀμηχανίαν παρέχων* (doch ist *παραρρητοῖσι* Neutrum). Eine ähnliche behutsame Wendung braucht zwar Polydamas auch *μ*, 211; doch kann darin wie in der ganzen Einleitung seiner Rede (727–734) auch eine Zurückweisung auf die derbe Art liegen, womit Hektor seinen Rath dort (*μ*, 231–250) abgefertigt hatte.

727 f. *οὕνεκα — τοὔνεκα*, vgl. zu *γ*, 403–405. — *πέρι δῶκε* wie Od. *β*, 116. *η*, 110.

729. *αὐτὸς* = *μόνος*, vgl. zu *θ*, 99.

731. *ἄλλῳ — ἀοιδήν* passt nicht für die ernste Situation und dem Hektor gegenüber. Zum Gedanken überhaupt vgl. Od. *θ*, 167–177.

ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι, 13
καί τε πολέας ἐσάωσε, μάλιστα δὲ καὐτὸς ἀνέγνω.
αὐτὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα. 735
πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους· 740
ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤ κεν ἐνὶ νήεσσι πολυκλήισι πέσωμεν,
αἴ κ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἦ κεν ἔπειτα
πὰρ νηῶν ἔλθωμεν ἀπήμονες. ἦ γὰρ ἔγωγε
δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ 745
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἄτος πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀίω."
ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων.
[αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,]

734. *πολέας* (wie ο, 66) macht den Gegensatz zum folgenden *αὐτός*. — *μάλιστα – ἀνέγνω*, am meisten kennt, erfährt er auch selbst es (nämlich der *ἄλλος*), wird den Gewinn des verständigen Sinnes inne. Vgl. zu Od. ζ, 185. *καὐτός* d. i. *καὶ αὐτός*, wie Od. γ, 255.

736. *στέφανος* bei Homer nur hier und bildlich = *κύκλος*. Eigentliche Kränze und das Bekränzen erwähnt der Dichter nie.

737. *ἐπεὶ κατὰ – ἔβησαν*, seitdem sie die Mauer überstiegen, = 50. 87 *τεῖχος ὑπερκατέβησαν*. Vgl. ο, 384 und zu Od. α, 330 *κλίμακα κατεβήσετο*.

740. *π. ἀρίστους*, die tapfersten und angesehensten Führer. Dadurch soll Hektor auch erfahren, wie viele von diesen gefallen und verwundet sind; vgl. 758–764.

741 f. *ἔνθεν δ' ἂν μ. πᾶσαν κτέ.* Nicht als ob dies der eigentliche Zweck wäre, den Polydamas bei seinem Rathe im Auge hat, sondern mehr ein zufälliger Vortheil; den Zweck bezeichnet 740 selbst, vgl. mit 756 f. 789 ff.

742. *ἤ κεν – πέσωμεν*, ob wir wohl einfallen sollen. Polydamas neigt sich offenbar zum zweiten Entschlusse (744): unverletzt, also auch ohne weitern Kampf sich zurückzuziehen; daher er auch diesen zuletzt stellt und mit dessen Begründung schliesst.

745 f. *μὴ τὸ – χρεῖος*, dass sich die Achäer die gestrige Schuld (den im achten Buch erzählten Sieg der Troianer), gleichsam ihr uns gemachtes Anleihen erstatten (wieder zuwägen) lassen, *sibi reddi, rependi velint*.

747. *οὐκέτι πάγχυ*, wie *οὐκέτι πάμπαν* 701, durchaus nicht mehr. Schon eine Hinweisung auf die immer näher rückende Wendung des Achilles.

748 f. *ὣς – ἀπήμων* = μ, 80 f., woher auch der folgende Vers mit-

13 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
751 „Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους,
αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω."
ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ἐοικώς,
755 κεκληγώς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὁ Δηΐφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱὸν
760 φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους,
ἀλλ' οἱ μὲν δὴ νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν
χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες,
οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.
765 τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠυκόμοιο,
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι.
ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσιν
„Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά,
770 ποῦ τοι Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος Ὑρτάκου υἱός;
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος."
τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής
775 „Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,

geflossen zu sein scheint. Vgl. aber *μ*, 81–85. *ξ*, 430 f. *ο*, 3.

752. *κεῖσ' εἶμι* muss nach 675 heissen: Ich will *ἐπ' ἀριστερὰ* unsers Treffens gehen, um den dort Bedrängten beizustehen; und dies wird auch durch 765 bestätigt.

756. *ἐς – Πουλυδάμαντα* d. h. zu der Abtheilung des Polydamas, sich unter und in dieselbe einreihend.

762. *οἱ μέν*, die zuletzt genannten *οὐκ ἀνόλεθροι*.

769. *Δύσπαρι – ἠπεροπευτά* = *γ*, 39. Die Stimmung des Hektor gegen Paris bleibt immer gleich bitter, obgleich derselben keine neue Nahrung gegeben worden war.

772 f. *νῦν – αἰπεινή*, vgl. Virg. Aen. 2, 290 *ruit alta a culmine Troia.* Ueber *σῶς* vgl. zu Od. *ε*, 305.

775. *ἐπεί τοι θυμός.* Auch hier

ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο 13
μέλλω, ἐπεὶ οὐδ' ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ·
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσιν
νωλεμέως. ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς. 780
οἴω Δηίφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ', ὅππῃ σε κραδίη θυμός τε κελεύει·
ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι 785
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν.
πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν."
ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως.
βὰν δ' ἴμεν, ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν
ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα, 790
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμυν τ' Ἀσκάνιόν τε Μόρυν θ' υἷ' Ἱπποτίωνος,
οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
οἱ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ, 795
ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
θεσπεσίῳ δ' ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,

könnte folgen *τοὔνεκά τοι ἐρέω* wie ζ, 333 f.; vgl. zu Od. γ, 103.

776. *ἄλλοτε — μέλλω* d. h. ein anderes Mal mag ich solchen Vorwurf eher verdient haben; jetzt verdiene ich ihn nicht.

779. *ἐκ τοῦ δέ*, seitdem wahrlich.

782. *τετυμμένω* vgl. 573 *τυπείς*. Nur der eine war es im engern Sinne (Deiphobos nach 529), Helenos dagegen *βεβλημένος* (594). Also eine *σύλληψις*.

785. *ἐμμεμαῶτες*, vgl. zu ε, 142.

786. *ἀλκῆς δευήσεσθαι*, es an Abwehr fehlen zu lassen.

787. *πολεμίζειν* erg. *τινά*, worauf sich *ἐσσύμενον* bezieht.

790. *ἀμφί — Πουλυδάμαντα*, vgl. 751 mit μ, 91; also wieder an die Stelle, wo Hektor vorher (679) gestanden hatte.

792. *Μόρυν θ' υἷ' Ἱπποτίωνος*. Vgl. ξ, 514, wo *Μόρυς* und *Ἱπποτίων* von Meriones getödtet werden; zu *Ἀσκάνιος* und *Ἀσκανίη* β, 862.

794. *ἠοῖ τῇ προτέρῃ*, wie die Thraker κ, 434 auch *νεήλυδες* waren.

796. *ὑπὸ βροντῆς*, vom Donner erregt, getrieben.

797. *ἐν δέ τε πολλὰ κύματα κτἑ.* Eine Art lockerer Apposition zum

13 κυρτὰ φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα·
800 ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι,
χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο βροτολοιγῷ ἶσος Ἄρηι,
Πριαμίδης· πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐίσην,
ῥινοῖσιν πυκινήν, πολλὸς δ' ἐπελήλατο χαλκός·
805 ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
πάντῃ δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβάντι·
ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων.
810 „δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι αὔτως
Ἀργείους; οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν,
ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
νῆας· ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.
815 ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμή
χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε.
σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήσῃ Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισιν
θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,
820 οἵ σε πόλινδ' οἴσουσι κονίοντες πεδίοιο."

Vorhergehenden, die durch *γίγνεται* aufgelöst werden kann; der Begriff von diesem liegt aber auch in *μίσγεται*. Dieser Zug der Vergleichung soll den ununterbrochenen Zusammenhang der anrückenden Troer veranschaulichen.

805. *ἀμφὶ – κροτάφοισι*, vgl. zu 704 f.

806. *προποδίζων – ὑπασπίδια προβιβάντι* in umgekehrter Folge verbunden als oben 158. — *ἀμφὶ φάλαγγας*, bei den Schlachtreihen der Achäer ringsumher. Zu *πάντῃ ἀμφὶ φάλ.* vgl. Od. ω, 413 *κατὰ πτόλιν – πάντῃ*.

809. *βιβάσθων* Verstärkungsform von *βιβάς* (807).

812. *Διὸς μάστιγι*, vgl. zu μ, 37.

814. *ἄφαρ δέ τε*, aber flugs, aber auf der Stelle, näml. sobald du einen Angriff auf unsere Schiffe machst.

815. *ἦ κε πολὺ φθαίη κτέ.*, wahrlich nur um viel schneller würde eure Stadt erobert und zerstört (im Fall ihr unsere Schiffe schädigtet). Vgl. Herodot. 6, 108 *φθαίητε γὰρ ἂν πολλάκις ἐξανδραποδισθέντες κτέ.*

817. *φημὶ σχεδὸν ἔμμεναι.* Subject zu diesem Infinitiv ist der folgende Satz *ὁππότε – ἀρήσῃ*, der Moment oder die Lage, da du flehen wirst.

ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις, 13
αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν
θάρσυνος οἰωνῷ. ὁ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ
„Αἶαν ἁμαρτοεπές, βουγάιε, ποῖον ἔειπες.
εἰ γὰρ ἐγὼν οὕτω γε Διὸς παῖς αἰγιόχοιο 825
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν
πᾶσι μάλ'· ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς
μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα 830
δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνούς
δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν."
ὣς ἄρα φωνήσας ἡγήσατο· τοὶ δ' ἅμ' ἕποντο
ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο 835
ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

821. *δεξιὸς ὄρνις*. Dieses den Achäern günstige Zeichen scheint denn auch den Hektor abgehalten zu haben, sogleich einen Angriff auf Aias zu machen, wiewohl er im Ganzen seinen Siegeslauf noch fortsetzt. Der wirkliche Zusammenstoss beider Helden erfolgt erst *ξ*, 402.

824. *βουγάιε*. Vgl. zu Od. *σ*, 79.

825. *οὕτω γε*, eben so gewiss, als die 828f. ausgesprochene Verkündigung in Erfüllung geht. Durch *ἐν δὲ σὺ – πεφήσεαι* wird der schon im vorangehenden Relativsatz enthaltene Hauptgedanke als selbständiger Satz hervorgehoben. — Vgl. zu *ϑ*, 538ff. und Od. *ο*, 156.

830. *λειριόεντα* vgl. zu *γ*, 152.

833. *ἡγήσατο* wie schon 802 *ἡγεῖτο*, vgl. zu 821.

837. *Διὸς αὐγάς* d. i. *τὸν οὐρανόν*, die Helle, den Glanz des Zeus.

Ξ.

14 *Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης,*
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα.
„φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
5 *ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,*
εἰς ὅ κε θερμὰ λοετρὰ ἐυπλόκαμος Ἑκαμήδη
θερμήνῃ καὶ λούσῃ ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν."
ὣς εἰπὼν σάκος εἷλε τετυγμένον υἷος ἑοῖο,
10 *κείμενον ἐν κλισίῃ, Θρασυμήδεος ἱπποδάμοιο,*
χαλκῷ παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο·
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,
στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικές,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν

Die Situation dieses Buches ist der des vorigen Buches sehr ähnlich. Der Hauptgegenstand ist derselbe, nämlich die von Poseidon den Achäern geleistete Hülfe; doch findet hierbei ein wesentlicher Unterschied zwischen beiden Büchern Statt. Im 13ten Buch tritt Poseidon nur in verschiedenen menschlichen Verhüllungen auf (als Kalchas 45, Thoas 216); hier dagegen wirkt er, nachdem er sich zuerst durch das in Gestalt eines alten Mannes ausgestossene ungeheure Geschrei zu erkennen gegeben, fortwährend offen als Gott, ohne dass sich seine Umgebungen über diese Erscheinung irgendwie verwunderten oder etwas Besonderes darin fänden. Auch ist die Noth der Achäer im Anfang dieses Buches (4. 14 f.) auf einen höhern Punkt gestiegen, als am Ende des vorigen (721 ff. 736–739. 835 f.).

1. *Νέστορα δ' οὐκ ἔλαθεν.* Anknüpfung an *λ*, 624–644. Der Sinn ist: Nestor blieb nicht gleichgültig noch achtlos dabei. *ἔμπης* gehört zum Verbum.

4. *παρὰ νηυσί*, beim Schiff ger, also auf der jetzigen Wahls

5. *πῖνε καθήμενος.* Sowohl *καθήμενος* als den nachher erwä ten *λοετρά*, zum Abwaschen des ronnenen Blutes, geht hervor, Machaon auch hier als verwu gedacht wird. An dem Weintrin des Verwundeten nehme man kei Anstoss; auch sonst befolgen homerischen Helden nicht immer rade die diätetischen Vorschri unsers Zeitalters; vgl. *λ*, 621

6 f. *θερμὰ – θερμήνῃ* prol tisch wie *ζ*, 261 *μένος μέγα ἀέξει.*

8. *ἐλθών* ist mit *ἐς περιωπή* verbinden, vgl. Od. *κ*, 146 *ἀνή ἐς περιωπήν.* Zur Wortstell vgl. *φ*, 534 *ἐς τεῖχος ἀναπνεύ σιν ἀλέντες.* — *εἴσομαι* = *ὄψομ γνώσομαι.*

11. *ἀσπίδα πατρός.* Vgl. 192 f.; über Thrasymedes *ι*, Der folgende Vers ist = *κ*, 135.

14. *τοὺς μέν*, *Ἀχαιούς.*

Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν. **14**
ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ, 16
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα,
αὔτως οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωσε,
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,
ὣς ὁ γέρων ὥρμαινε δαϊζόμενος κατὰ θυμὸν 20
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων
ἦε μετ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Ἀτρείδην· οἱ δ' ἀλλήλους ἐνάριζον
μαρνάμενοι· λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς 25
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ,
Τυδείδης Ὀδυσεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων.

15. *ἐρέριπτο δὲ τεῖχος* (= 55 *κατερήριπεν*) gilt eigentl. nur von einem Theil der Mauer; von einem andern wird es erst *o*, 361 gesagt. Aber bei einem Punkte, der Gemüthsstimmung und Phantasie so stark afficirt, ist die Hyperbel am leichtesten zu rechtfertigen.

16-19. *ὡς δ' ὅτε πορφύρῃ – οὖρον*. Das schöne Gleichniss von der feierlichen Stille des nur in der Tiefe bewegten Meeres vor dem Sturme ist für den geringfügigen Gegenstand, zu dessen Veranschaulichung es dienen soll (das unschlüssige Schwanken des Nestor in einer an sich nicht sehr wichtigen Sache, 20 f.), beinahe zu kostbar. Der Vergleichungspunkt liegt in *πορφύρῃ* und besonders in *οὐδ' ἄρα – οὐδ' ἑτέρωσε*. — *κωφός*, stumpf, nicht durchdringend, nicht laut schallend, noch hell tönend, dumpf. — *ὀσσόμενον* von einem leblosen Gegenstande wie von einer Person: ahnend, zum Voraus empfindend.

18. *αὔτως* gehört zu *πορφύρῃ* und wird durch den ganzen folgenden Satz erklärt: s o n s t n u r, d. h. ohne Wirkung und Erfolg, unbestimmt und unentschieden (*οὐ κεκριμένως*). *οὐδ' ἑτέρωσε* erg. *κυλίνδεται* = *οὐδ' ὀπίσω κυλίνδεται* im Gegensatz von *προκυλίνδεται*. Ueber *οὖρον* vgl. zu Od. *β*, 420.

24. *οἱ δ' – ἐνάριζον*, d. h. unterdessen aber dauerte das Blutbad und Kampfgetümmel immer fort.

25 f. *λάκε δέ σφι – νυσσομένων*. Zu dieser Verbindung des Dativs der Relation mit dem Genitivus absolutus vgl. Od. *ζ*, 155–157 *μάλα πού σ φ ι σ ι θυμὸς ἰαίνεται – λ ε υ σ σ ό ν τ ω ν*.

27. *ξύμβληντο* (vgl. Od. *ζ*, 54) sie trafen mit Nestor zusammen, der gerade, wie auch sie selbst, wieder gegen das Schlachtfeld ging.

28. *πὰρ νηῶν*, d. h. von denen in der Mitte des Halbkreises näher am Meere. Denn auch weiter vorn an der Mauer (an den beiden Enden des Halbkreises) befanden sich Schiffe. Vgl. *λ*, 806 f.

14 πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες
31 θῖν' ἐφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί·
35 τῷ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
ἠιόνος στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι.
τῷ ῥ' οἵ γ' ὀψείοντες ἀυτῆς καὶ πολέμοιο,
ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι· ἄχνυτο δέ σφιν
θυμὸς ἐνὶ στήθεσσιν. ὁ δὲ ξύμβλητο γεραιός.
40 [Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.]
τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων
„ὦ Νέστορ Νηληιάδη, μέγα κῦδος Ἀχαιῶν,
τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;
δείδω μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,

30. *εἰρύατο νῆες* ist zunächst auf die Schiffe der im vorigen Verse genannten Helden zu beziehen; also: waren **ihre** Schiffe gezogen, oder: standen sie an's Ufer gezogen.

31. *τὰς γὰρ πρώτας πεδίονδε κτέ.*, denn diese (*τὰς = ταύτας*) hatten sie als die ersten, vordersten und äussersten, auf die Ebene gezogen, d. h. diese, ihre Schiffe, standen zuäusserst, zunächst am Meere, also am weitesten von der Mauer weg. Vgl. 75.

32. *ἐπὶ πρύμνῃσιν*, *ad puppes*, an den Steuerenden, Spiegeln, näml. des ganzen Halbkreises, vgl. 51. 65. Unmittelbar freilich erreichte die Mauer nur die Hintertheile der auf beiden Seiten am weitesten landeinwärts gezogenen Schiffe.

34–36. *αἰγιαλὸς – ἄκραι.* Vgl. die Einl. S. 33. — *προκρόσσας*, stufenförmig (*κλιμακηδόν*) gereiht, gestuft, eines vor dem andern mit dem Ende wie mit einer *κρόσσα* (*μ*, 258. 444) vorstehend. Die Entfernung beider Vorgebirge wird verschieden, von 60 bis 30 Stadien (1½ bis ¾ deutsche Meilen) angegeben.

37. *ὀψείοντες.* Bei Homer das einzige Beispiel eines Desiderativum auf *σείω*.

38. *ἀθρόοι*, alle mit einander, von bloss dreien, wie Od. *φ*, 230 *ἅμα πάντες*. Der vorhergehende Plural *ἐρειδόμενοι* ist distributive zu fassen: **jeder** auf seine Lanze.

40. *πτῆξε* hier allein transitiv: er (seine Erscheinung) schlug nieder, dämpfte. Dieser Vers wird aber schon von den Alten als müssig und bedeutungslos für unecht gehalten.

41. *καὶ φωνήσας* d. h. sogar von freien Stücken (*ultro, prior*) ihn anredend.

43. *τίπτε λιπών.* Agamemnon weiss nichts davon, dass und warum Nestor mit Machaon die Schlacht verlassen hat, und muss daher glauben, er komme erst jetzt aus derselben; die Frage soll einen leisen Tadel darüber ausdrücken. Doch zur Berichtigung jenes Irrthums, findet Nestor, sei es jetzt nicht Zeit.

44. *μὴ δή*, es möchte **gar** (was das Allerschlimmste wäre). Also drückt *δή* eine Vollendung aus.

ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων, 45
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι, 46
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί
ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς, 50
οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν."
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ
ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν 55
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσιν
νωλεμές. οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
ὣς ἐπιμὶξ κτείνονται, ἀυτὴ δ' οὐρανὸν ἵκει. 60
ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει. πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων

45. *ὥς ποτ' ἐπηπείλησεν.* Vgl. θ, 178–182. 526–541. *ποτέ* geht demnach auf das, was erst gestern geschehen war; s. zu Od. χ, 290. Uebrigens lässt sich aus dieser Hinweisung schliessen, dass der Verfasser unsers Buches das achte Buch schon vollendet vor sich hatte.

49f. *ἦ ῥα καὶ ἄλλοι – χόλον.* Diese Besorgniss schöpft der von einem momentanen Eindruck bald überwältigte Agamemnon daraus, dass nun auch Nestor — vielleicht aus Missmuth und Ueberdruss — die Schlacht verlassen habe.

53. *ταῦτά γ' ἑτοῖμα τετεύχαται*, das ist in Erfüllung gegangen, verwirklicht, zur Wahrheit geworden; vgl. Od. θ, 384 *ἠδ' ἄρ' ἑτοῖμα τέτυκτο. ταῦτα* mit Bezug auf den Hauptpunkt in der Rede Agamemnons, die Erfüllung der 44–48 ausgesprochenen Besorgniss.

55f. *τεῖχος μὲν γὰρ δή.* Nestor will nicht eigentlich erzählen, was er beobachtet hat, sondern stellt in einigen kräftigen Zügen ein Gesammtbild des jetzigen Standes ihrer Sache auf. Das in 57f. Enthaltene namentlich musste Agamemnon (28f.) beinahe besser wissen als Nestor.

62. *εἴ τι – ῥέξει*, ob mit Besonnenheit und Ueberlegung noch etwas auszurichten, gut zu machen sein wird. Durch *ἄμμε* fasst Nestor sich mit den Andern zusammen: ihr und auch ich, womit aber keineswegs gesagt ist, dass auch er verwundet sei; dies (*βεβλημένον*) gilt nur von der Mehrzahl; aber ihn würde das Alter hindern noch viel zu leisten.

64 „Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῇσι μάχονται,
65 τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
οἷς ἔπι πόλλ' ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῷ
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
70 νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ᾔδεα μὲν γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
οἶδα δὲ νῦν, ὅτι τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσιν
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
75 νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰς ὅ κεν ἔλθῃ
νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες. ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
80 οὐ γάρ τις νέμεσις φυγέειν κακόν, οὐδ' ἀνὰ νύκτα.
βέλτερον ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ."

67. οἷς ἔπι geht auf τεῖχος und τάφρος zusammen, dagegen bei εἶλαρ ἔσεσθαι wird nur der Hauptbegriff τεῖχος gedacht.

69. οὕτω – εἶναι = β, 116. ι, 23, in welchen beiden Stellen Agamemnon in ähnlicher Stimmung ebenfalls den Vorschlag zur Flucht macht. Vgl. unten 74–81 mit β, 139. 141. ι, 26–28. Doch kann auch hier, ähnlich wie im 2ten Buch, der Vorschlag vielleicht nur bestimmt sein, die Hauptbelden auf die Probe zu stellen.

71. ᾔδεα – ὅτε. Der Inhalt der Zeitbestimmung ὅτε – ἄμυνεν muss als Object zu ᾔδεα gedacht werden: ich wusste es als u. s. w. Dagegen im folgenden Verse ist νῦν Zeitbestimmung und ὅτι – κυδάνει – ἔδησεν Object zu οἶδα, was einen festern, entschiednern Ausdruck giebt.

73. κυδάνει transitiv, wie οἰδάνει ι, 554. Vgl. ο, 491 ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ.

75. πρῶται hier, wie 31, zu[...] derst, zu äusserst am Meere, [...] die nächsten am Meere (ἄγχι [...]λάσσης).

76. πάσας d. i. ταύτας πά[...] während ἁπάσας 79 wirklich [...] alle Schiffe der achäischen Fl[...] geht.

77. ὕψι – ὁρμίσσομεν, vgl. Od. δ, 785. Apollon. Rhod. 2, 1[...] ὑψόθι νῆ' ἐκέλευσεν ἐπ' εὐνα[...]σιν ἐρύσσαι.

78. ἀβρότη wahrsch. καθ' [...] βροτοὶ οὐ φοιτῶσιν und da[...] auch zur Flucht sich eher eigne[...] — ἢν καὶ τῇ, ob sie doch wen[...]stens in dieser u. s. w.

80 f. ἀνὰ νύκτα = νυκτός, [...] Nachtzeit. Im Folgenden wäre [...] uns klarer die Construction βέλ[...]ρον φεύγοντα προφυγεῖν (fliehe[...] entfliehen, durch die Flucht ent[...]hen) ἠὲ ἁλῶναι. Vgl. den ähnlich[...] Gebrauch von ὅς β, 274 f. τό[...] μέγ' ἄριστον – ὅς – ἔσχ' ἀγ[...]ράων.

τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς 14
„Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων.
οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν οἷσιν ἄρα Ζεύς 85
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ' ὀιζύομεν κακὰ πολλά;
σίγα, μή τίς τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ 90
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
ὅς τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν
σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοί
τοσσοίδ' ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις·
[νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·] 95
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀυτῆς
νῆας ἐυσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης,
ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ. οὐ γὰρ Ἀχαιοί
σχήσουσιν πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων, 100
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν."

85. οἷσιν ἄρα Ζεὺς – ἔδωκε. Damit schildert Odysseus seinen eigenen Charakter als den eines ταλασίφρων, τλήμων, πολύτλας.

87. φθιόμεσθα verkürzter Conj. mit Futurbedeutung, vgl. υ, 173.

90. μή τίς τ' ἄλλος. Vgl. zu Od. τ, 486. Odysseus spricht ohne alle Zurückhaltung, weil kein Untergebener des Agamemnon zugegen ist.

92. ὅς τις ἐπίσταιτο κτἑ. Ergänzung zu ἀνήρ, wie Od. α, 228f. ἀνὴρ – ὅς τις πινυτός γε μετέλθοι.

93. καί οἱ πειθοίατο. Vgl. zu μ, 229.

94. ὅσσοισιν – ἀνάσσεις ist die appositionelle Erklärung der durch τοσσοίδε schon unmittelbar bezeichneten Anschauung.

95. νῦν δέ σευ – ἔειπες ist unnöthig zur Verdeutlichung aus ρ, 173 hierher verpflanzt worden.

96. ὃς κέλεαι hängt mit 90f. zusammen, indem es theils τοῦτον μῦθον erklärt, theils das Urtheil ὃν οὔ κεν – ἄγοιτο begründet.

99f. ἡμῖν – ἐπιρρέπῃ vgl. θ, 72 ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν. — οὐ – σχήσουσιν πόλεμον, sie werden den Kampf nicht aushalten, nicht darin Stand halten.

101. ἀποπαπτανέουσιν, nämlich nach den Schiffen, um sich darein zu retten, *respicient naves*.

102. κε beim Futurum, nicht um einen Zweifel und Ungewissheit, sondern ruhige Zuversicht auszu-

14 τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
105 ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼ ἀέκοντας ἄνωγα
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν.
νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη."
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
110 "ἐγγὺς ἀνήρ — οὐ δηθὰ ματεύσομεν —, αἴ κ' ἐθέλητε
πείθεσθαι καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,
οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν·
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι,
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα καλύπτει.
115 Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
ᾤκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεύς,
πατρὸς ἐμοῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη
120 πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,

drücken, wie sonst *πού*, *οἶμαι*; vgl. *μ*, 226.

104. *μάλα πως*, gar sehr, recht stark. *πώς* beim Adverbium hat ähnliche Kraft, wie *τὶς* beim Adjectiv.

107. *νῦν δ' εἴη κτέ.* eig. möge einer sein, der – sage; vgl. zu *ρ*, 640 *εἴη δ' ὅς τις – ἀπαγγείλειε* und zu Od. *ξ*, 496. Sinn: Jeder bessere Rath soll mir willkommen sein.

110. *ἐγγὺς ἀνήρ*, vgl. zu Od. *β*, 40 *οὐχ ἑκὰς οὗτος ἀνήρ*. Hinzudenken kann man hier *ὃς ἀμείνονα μῆτιν ἐνίψει* (*ἐνίψω*).

112. *οὕνεκα – μεθ' ὑμῖν*. Doch war Diomedes auch schon *ι*, 32–49 nicht nur sehr keck und entschieden, sondern auch mit dem günstigsten Erfolg gegen Agamemnon aufgetreten.

113. *γένος*, der Abstammung nach, wie 126: vgl. zu Od. *ξ*, 199.

114. *Τυδέος – καλύπτει*. Die Erwähnung des Vaters wäre hier vorzeitig, da zuerst der entferntern Vorfahren Erwähnung geschehen muss. Auf den Vater kommt Diomedes in der gehörigen Folge 118–125.

116. *Πλευρῶνι καὶ – Καλυδῶνι* vgl. zu *β*, 639 f.

119. *ὁ μέν* d. i. *Οἰνεύς*, er wanderte nicht aus, sondern blieb in Kalydon, die beiden andern Brüder in Pleuron. *Ἄργεϊ νάσθη* wegen eines Verwandtenmordes, der verschieden erzählt wird.

πολλὰ δέ οἱ πρόβατ᾽ ἔσκε· κέκαστο δὲ πάντας Ἀχαιοὺς 124
ἐγχείῃ. τὰ δὲ μέλλετ᾽ ἀκουέμεν, εἰ ἐτεόν περ. 125
τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κ᾽ εὖ εἴπω.
δεῦτ᾽ ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκῃ.
ἔνθα δ᾽ ἔπειτ᾽ αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτος
ἐκ βελέων, μή πού τις ἐφ᾽ ἕλκεϊ ἕλκος ἄρηται· 130
ἄλλους δ᾽ ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
θυμῷ ἦρα φέροντες ἀφεστᾶσ᾽ οὐδὲ μάχονται."
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἄρα τοῦ μάλα μὲν κλύον ἠδ᾽ ἐπίθοντο.
βὰν δ᾽ ἴμεν, ἦρχε δ᾽ ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
οὐδ᾽ ἀλαοσκοπίην εἶχε κλυτὸς ἐννοσίγαιος, 135
ἀλλὰ μετ᾽ αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς,
δεξιτερὴν δ᾽ ἕλε χεῖρ᾽ Ἀγαμέμνονος Ἀτρεΐδαο,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„Ἀτρεΐδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν 140
δερκομένῳ, ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ᾽ ἠβαιαί.

124. πρόβατα, Schol. πάντα τὰ τετράποδα, διὰ τὸ ἑτέραν βάσιν ἔχειν πρὸ τῆς ὀπισθίας.

125. εἰ ἐτεόν περ elliptisch, während εἰ ἐτεόν γε μ, 217 sein Verbum nach sich hat. Der Sinn ist: das muss euch schon zur Kunde gekommen sein, wenn es in Wahrheit geschehen ist, wie es geschehen ist, nach Aristarch: ταῦτα δὲ ὑμᾶς εἰκὸς εἰδέναι ἀκηκοότας εἰ ἀληθῆ λέγω.

127. μῦθον πεφασμένον, das frei, offen gesprochene Wort, meinen offenen, entschiedenen Rath.

128. οὐτάμενοι schliesst hier auch das βεβλημένοι mit ein; vgl. zu ν, 782.

130. ἐκ βελέων ist genauere Bestimmung zu δηιοτῆτος und auch mit ἐχώμεθα zu verbinden, oder dies als Participium in Gedanken dabei zu wiederholen: wir wollen uns des Kampfes enthalten, (uns) aus den Geschossen (ausserhalb derselben haltend).

131. ἐνήσομεν, erg. δηιοτῆτι, εἰς δηιοτῆτα.

132. θυμῷ ἦρα φέροντες vgl. zu ι, 598 εἴξας ᾧ θυμῷ.

135. οὐδ᾽ ἀλαοσκοπίην κτἑ. vgl. κ, 515. Sinn: Dieser günstige Moment blieb dem Poseidon nicht unbemerkt; er benutzte ihn geflissen. Hier verlieren wir nach 136 die drei verwundeten Helden aus dem Auge und finden sie — doch ohne Nestor — erst nach der Erzählung von der Einschläferung des Zeus 379 wieder, wo sie den 128–132 ausgesprochenen Vorsatz ausführen.

136. παλαιῷ φωτὶ ἐοικώς wie Athene Od. θ, 194 ἀνδρὶ δέμας ἐικυῖα.

139–141. Ἀχιλλῆος – δερκομένῳ. Vgl. zu κ, 187 f. τῶν νήδυμος ὕπνος – φυλασσομένοισι; zu οὔ οἱ – ἠβαιαί Od. φ, 288.

14 ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν·
σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
145 εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτός
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
ὣς εἰπὼν μέγ' ἄυσεν, ἐπεσσύμενος πεδίοιο.
ὅσσον δ' ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι
ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος,
150 τόσσην ἐκ στήθεσφιν ὄπα κρείων ἐνοσίχθων
ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσιν
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
155 τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν,
αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·

142. *ὣς ἀπόλοιτο*, nämlich wie er selbst die Achäer hinmorden sieht und sich darüber noch freut.

142. *σιφλώσειεν* d. i. *ἀφανίσειεν, perdat.* — *σιφλὸς* nach Etymol. M. *ὁ ἐσινωμένος τοὺς ὀφθαλμούς*, überh. *πηρός.* — Anders sprach übrigens Poseidon *ν*, 108.

143. *μάλα πάγχυ* gehört zu *κοτέουσιν*: gar sehr, durchaus; denn einiger Zorn der Götter lässt sich nach dem Gange der Schlacht nicht leugnen. Vgl. Virg. Aen. 1, 387 *haud, credo, invisus coelestibus auras Vitales carpis.*

147. *ἐπεσσύμ. πεδίοιο*, dahinstürmend durch die Ebene. Deutlicher ist die Beziehung von *ἐπὶ* (heran) *χ*, 26.

148. *ὅσσον δ' ἐννεάχιλοι.* Dadurch will Poseidon sich dem Heere zu erkennen geben und dasselbe ermuthigen. — Dieselben zwei Verse von Ares *ε*, 860 f.

153–362. *Ἥρη δ' εἰσεῖδε.* Ursprünglich wohl eine abgesonderte Erzählung, in Beziehung auf Inhalt und Verhältniss zum Ganzen mit der Episode von der Liebe Ares und der Aphrodite Od. 266–369 zu vergleichen. Der sentliche Gedanke des Mythos wohl in die Verse 347–351 gekleidet, aber den ursprüngli Sinn scheint selbst der Verfas der übrigen Erzählung nicht gea zu haben; vgl. Einleit. z. Od. S In ihrem jetzigen Zusammenh soll sie als nachgebrachte Schil rung eines mit den schon beschr benen Kämpfen parallelen Ac (vgl. *ν*, 43 ff.) dazu dienen, die Th nahme des Poseidon an der Schla noch unbeschränkter und umfasse der werden zu lassen und dadu die Katastrophe abermals zurück drängen. *εἰσεῖδε* allgemein: blickte hin auf alles, was unten v ging. Die Präpositionen *ἐξ Οι* und *ἀπὸ ῥίου* stehen in Beziehu auf dieses Verbum: vom Olymp aus, wo sie stand. — *ἀπὸ ῥίου* stimmt den Ort noch genauer, v 225 und zu *σ*, 576.

155 f. *τὸν μέν, Ποσειδάωνα.* *χαῖρε δὲ θυμῷ* macht den Gege satz 158 *στυγερὸς* – *θυμῷ*.

Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης 14
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη
ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο. 160
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἓ αὐτήν,
εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗ χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσιν. 165
βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν
κληῖδι κρυπτῇ· τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος 170
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ
ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
τοῦ καὶ κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀυτμή.
τῷ ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίτας 175
πεξαμένη, χερσὶ πλοκάμους ἔπλεξε φαεινούς
καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο.

157. ἐπ' – Ἴδης vgl. zu ν, 3.

162. ἓ αὐτήν vgl. zu α, 271. Zu dem unverkürzten εὖ vor ἐντύνασαν vgl. π, 191 εὖ ἔτρεφεν und unten 199 δαμνᾷ ἀθανάτους. 240.

164. ᾗ χροιῇ, Umschreibung. Vgl. 170 ἀπὸ χροός. 175. 187.

165. χεύῃ. Veränderte Construction, als ob nicht εἴ πως, sondern ὄφρα vorherginge, da dies (ἐπιχεῦαι ὕπνον) unter Voraussetzung der vorhergehenden Bedingung ihre wirkliche Absicht ist.

167. ἐπῆρσεν, derselbe Hephästos, vgl. unten 339.

168. κληῖδι κρυπτῇ, durch ein geheimes Schloss. Vgl. Od. θ, 447 den δεσμὸν ποικίλον, welchen Odysseus von der Kirke gelernt hatte.

170. ἀμβροσίη hier als feste Substanz gedacht, vgl. zu Od. δ, 445.

172. τό ῥά – ἦεν erklärt und begründet das Epitheton ἑδανῷ (ἥδω).

173. τοῦ καὶ κινυμένοιο, davon, wenn es auch nur bewegt ward. — κατὰ Διὸς – δῶ ist Ortsbestimmung zu κινυμένοιο.

174. ἔμπης, gleichwohl, dennoch, vgl. zu Od. σ, 354. Aus dem Ausdruck ἐς γαῖάν τε καὶ οὐρανὸν ergiebt sich, dass der Olympos, die Wohnung des Zeus, gleichweit von Himmel und Erde entfernt gedacht wird.

14 ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη
ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
180 χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν,
ἐν δ' ἄρα ἕρματα ἧκεν ἐυτρήτοισι λοβοῖσιν
τρίγληνα μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων
185 καλῷ νηγατέῳ· λαμπρὸν δ' ἦν ἠέλιος ὥς·
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ θήκατο κόσμον,
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ' Ἀφροδίτη
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔειπεν.
190 „ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττί κεν εἴπ
ἠέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῷ,
οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;"
τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη
„Ἥρη πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
195 αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν."
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη
„δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
δαμνᾷ ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους.
200 εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,

178. ἑανόν zweisilbig, vgl. zu γ, 385.

179. ἔξυσ' ἀσκήσασα, künstlich, sorgsam geglättet. Die Leinwand wurde nämlich von den Alten zuerst im Faden und im Gewebe so gestampft, dass sie an Zottigkeit wollenem Tuche glich, dann aber für Könige und Vornehme **glatt geschoren**. — τίθει δ' ἐνί, Nebenbestimmung = ἐντιθεῖσα, daran anbringend.

180. κατὰ στῆθος nach älterer Sitte. Später wurde das Kleid am Schlüsselbein neben der Schulter zusammengeheftet.

182f. ἕρματα – μορόεντα vgl. zu Od. σ, 297f.; zu τρίγληνα ω, 192 γλήνεα. So werden schon Genes. 24, 22 ἐνώτια χ als Brautgeschenk erwähnt.

184. κρηδέμνῳ δ' ἐφύπερθ zu Od. ε, 232 κεφαλῇ δ' ἐφύπ καλύπτρην.

190. ἦ ῥά – πίθοιο, wünscl Frage wie δ, 93.

196. τετελεσμένον, vgl. zu 90, wo dieser und der vorhergel Vers unverändert vorkommen.

198. ᾧ τε, ἱμέρῳ, worunte λότης auch begriffen ist.

199. δαμνᾷ, dieselbe Forn πειρᾷ ω, 390.

200. πείρατα γαίης als Au

Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν, 201
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ' ἀτίταλλον,
δεξάμενοι Ῥείας, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω· 205
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.“ 210
τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη
„οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.“
ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
ποικίλον, ἔνθα τέ οἱ θελκτήρια πάντα τέτυκτο· 215
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς
πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.

halt des Okeanos und seiner Gemahlin.

201. *Ὠκεανόν — Τηθύν.* Die Lehre, dass Okeanos der Allvater, Tethys die Allmutter (*μήτηρ*) sei, hängt ohne Zweifel zusammen mit dem Philosophem der ionischen Schule, dass das Wasser der Urstoff aller Dinge sei. *γένεσις* steht also in concretem Sinne, wenn auch nicht gerade persönlich.

203. *δεξάμενοι Ῥείας.* Dieselbe Construction wie *α*, 596 *παιδὸς ἐδέξατο.* Rhea, die Mutter der Kroniden, flüchtet bei der Empörung des Zeus ihre Tochter Hera zu den Grossältern und lässt sie bei ihnen in Verwahrung.

205. *ἄκριτα*, ungeschlichtet, daher auch: nicht schlichtbar, schwer zu schlichten, also = *δύσκριτα*: unentwirrbaren, endlosen Hader.

206. *ἤδη γὰρ δηρὸν χρ. — ἀπέχονται* hiess wohl im Sinne des Urhebers des Mythos: Die Schöpfung ist schon längst vollendet.

209. *εἰς εὐνὴν ἀνέσαιμι* eigentl. wieder in ihr Lager hinaufbringen, d. h. dasselbe zu besteigen bewegen könnte, *ἐπιβήσαιμι* (von *ἀν — εἷσα*), vgl. *θ*, 291 *ἢ κεν — ὁμὸν λέχος εἰσαναβαίνοι.* — *ὁμωθῆναι = ὁμόσε ἐλθεῖν.*

212. *οὐκ ἔστ' — ἀρνήσασθαι* = Od. *θ*, 358. An das sonstige Verhältniss der Aphrodite zu den Troern denkt der Dichter hier gar nicht.

214. *κεστὸν ἱμάντα* vgl. *γ*, 371 *πολύκεστος ἱμάς.* Das folg. *ποικίλος* bezeichnet die Wirkung von *κεστός, ἀπὸ τοῦ διὰ τὰς ῥαφὰς κεκεντῆσθαι.*

216f. *ὀαριστὺς πάρφασις.* Das zweite Nomen ist Apposition zum ersten, im Werth einer adjectivischen Bestimmung. Vgl. Od. *μ*, 168f. *γαλήνη νηνεμίη* und Il. *λ*, 105 *μόσχοισι λύγοισιν.*

τόν ῥά οἱ ἔμβαλε χερσίν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
„τῇ νῦν, τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ,
220 ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς."
ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
225 Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινήν
σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
230 Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ θανάτοιο,
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
„Ὕπνε ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
235 πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί,

218. ἔκ τ' ὀνόμαζεν vgl. zu Od. β, 302.

219. τῇ = Od. ε, 346. κόλπος = τὸ κατὰ τὸ στῆθος κόλπωμα τοῦ πέπλου. So Virg. Aen. 1, 320 *nodoque sinus collecta fluentes.*

220. πάντα, alles was du (Hera 198) verlangt hast.

221. ἄπρηκτον Adjectiv mit activer Bedeutung.

224. πρὸς δῶμα, nach dem Gemache, aus dem sie 188 f. herausgerufen worden war.

226 f. Πιερίην δ' ἐπιβᾶσα κτἑ. vgl. zu Od. ε, 50 f. Auch über Pieria und Emathia scheint die Göttin, sie kaum berührend, hingeschwebt zu sein, wie 228 οὐδὲ – ποδοῖιν zeigt. σεύατο bezeichnet einen neuen Act, nach Vollendung des ἐπιβῆναι Π. κ. Ἠ.

229. ἐξ Ἀθόω d. h. dem äussersten der thrakischen Berge.

230. Θόαντος. Einen Lemnier Thoas erwähnt aus der Sage auch Herodotus 6, 138 αἱ γυναῖκες τοὺς ἅμα Θόαντι ἄνδρας σφετέρους ἀποκτείνασαι. Warum aber der Schlafgott sich gerade in Lemnos aufhielt, deutet der Dichter durch nichts an. Zu πόλιν von der ganzen Insel vgl. Od. ζ, 177.

234. ἠμὲν δή ποτ' – ἠδ' ἔτι κ. ν. vgl. zu α, 453.

235. ἰδέω. Dieselbe Verkürzung der Stammsylbe wie in ἰδυῖα; vgl. zu Od. π, 236.

238. ἄφθιτον als Geschenk und Werk eines Gottes.

χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς παῖς ἀμφιγυήεις 14
τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει, 240
τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων."
τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος ὕπνος
„Ἥρη πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα 245
Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἄσσον ἱκοίμην
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή,
ἤματι τῷ ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱός 250
ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ,
ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,
καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας, 255
νόσφι φίλων πάντων. ὁ δ' ἐπεγρόμενος χαλέπαινεν,
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ζήτει· καί κέ μ' ἄιστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,

245. καὶ ἄν, und wohl auch, selbst auch.

246. πάντεσσι Neutrum. Denn weil Okeanos nach 201 der Ursprung der Götter ist, ist er auch der Ursprung aller Dinge.

247. οὐκ ἂν – ἄσσον ἱκοίμην prägnant: ich möchte mich nicht an ihn wagen, nämlich in Beziehung auf das κατευνῆσαι.

249. καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή. Begründung des im Vorhergehenden liegenden Gedankens, dass Hypnos überhaupt nicht geneigt ist, dem Wunsche der Hera zu entsprechen. ἄλλο ἐπίνυσσέν με, hat mir eine andere (schmerzliche) Belehrung, Witzigung beigebracht, d. h. mich schon einmal in Schaden gebracht und dadurch klug gemacht. Den Gegensatz macht 262 αὖ – μ' ἄνωγας – ἄλλο τελέσσαι.

250. κεῖνος – υἱός d. i. Herakles, wie sich aus 266 vgl. ο, 25–30 ergiebt.

251. Τρώων – ἐξαλαπάξας vgl. ε, 640–642.

252. ἔλεξα = ἐκοίμησα, wobei nach 249 hinzuzudenken ist σῇ ἐφετμῇ, σοῦ κελευσάσης.

255. Κόωνδε vgl. zu β, 677.

257. ῥιπτάζων – θεούς. Vgl. die Behandlung des Hephästos α, 590 f. und ο, 22 f. 137.

258. ζήτει. Dieses Verbum findet sich, ausser den Hymnen, bei Homer nur hier (sonst δίζημαι). — ἄιστον proleptisch, von der nicht wirklich eingetretenen Folge des Verbi ἔμβαλε.

14 εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.
260 τὴν ἱκόμην φεύγων, ὁ δ' ἐπαύσατο χωόμενός περ·
ἅζετο γὰρ μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι."
τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη
„ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
265 ἦ φῂς ὣς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν
ὡς Ἡρακλῆος περιχώσατο, παιδὸς ἑοῖο;
ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι χαρίτων μίαν ὁπλοτεράων
δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν.
[Πασιθέην, ἧς αἰὲν ἐέλδεαι ἤματα πάντα.]
270 ὣς φάτο, χήρατο δ' ὕπνος, ἀμειβόμενος δὲ προσηύδα
„ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ,
χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶιν ἅπαντες
μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες,
275 ἦ μὲν ἐμοὶ δώσειν χαρίτων μίαν ὁπλοτεράων,
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,

260. ἱκόμην = ἱκέτευσα, ich kam als ἱκέτης. Die Nacht übt also eine noch grössere Macht über Götter und Menschen, als der Schlaf (233. vgl. 259).

265. ἦ φῂς ironisch: meinst du, du meinst gewiss; vgl. Od. α, 391.

266. Ἡρακλῆος περιχώσατο d. i. Ἡρακλῆι χωσάμενος ἤρκεσεν.

267. ὁπλοτεράων. Ein ehrendes Beiwort, das den Chariten immer zukommt; denn anders als „jugendlich" kann man sich dieselben nicht denken; vgl. zu Od. γ, 465.

268. δώσω – ἄκοιτιν vgl. Virg. Aen. I, 73 *Connubio iungam stabili propriamque dicabo*. Der folgende Vers wird schicklicher nach den besten Zeugnissen weggelassen; im Munde des Hypnos 276 ist er an seinem Platze.

270. χήρατο. Eine ebenso vereinzelte Form wie ἤσατο Od. ι, 353.

271. ἀάατον vgl. zu Od. φ, 91.

272 f. χειρὶ δὲ τῇ ἑτέρῃ κτέ. Damit die im Tartaros weilenden Titanen Zeugen von der Hera Schwur seien, soll sie symbolisch Erde und Meer (an deren Enden der Tartaros ist, vgl. θ, 478–481) berühren, was auf einer Insel, wie Lemnos, ganz natürlich und leicht sich bewerkstelligen lässt. Vgl. ψ, 584 f., wo Antilochos unter Berührung seiner Rosse bei Poseidon, dessen Symbol das Ross ist, schwört.

274. οἱ ἔνερθε θεοί = 279 ὑποταρτάριοι. Die Strafe des Meineids würde nämlich auch sie in die Unterwelt führen (vgl. zu Od. ε, 185 f.), wie die Titanen dort eingekerkert sind. — Ueber die Form ὦσι (sonst ἔωσι) vgl. zu Od. ω, 491 mit Il. τ, 202.

ὤμνυε δ' ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας 14
τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον, 280
τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
ἠέρα ἑσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον.
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη. 285
ἔνθ' ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ἰδέσθαι,
εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσιν 290
χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι, 295
εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας.
στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.

279. *τοὺς ὑποταρταρίους*, die im Tartaros unten; vgl. Virg. Aen. 4, 243 *sub Tartara tristia mittit* und 387 *Manes sub imos*. Ueber den Namen *Τιτῆνες* vgl. Hesiod. Theogon. 207–210.

281. *τὼ βήτην*, näml. Hera und Hypnos. Bemerkenswerth ist, dass Imbros als die nächste (120 Stadien = 3 deutsche Meilen entfernte) Insel mit Lemnos zusammengefasst und als Ein *ἄστυ* bezeichnet wird, vielleicht wegen des gemeinschaftlichen Kabeirendienstes.

284. *Λεκτόν*, beschränkende Apposition zu *Ἴδην*, wie 228 *ἀκροτάτας κορυφάς* zu *ὄρεα*. *θ*, 47 f. *Ἴδην δ' ἵκανεν – Γάργαρον*. Der Name des Vorgebirges *Λεκτόν* (Lager) scheint in Beziehung auf die zu erzählende Sage zu stehen.

285. *ἀκροτάτη*, zu oberst, nur in den Spitzen des den Boden bedeckenden Gesträuches: wegen der leichten, flugartigen Berührung der Götter, vgl. 228.

286. *πάρος – ἰδέσθαι*, ehe die Augen des Zeus ihn erblickten, vgl. 345 *εἰσοράασθαι*.

290. *ὄρνιθι – ἐναλίγκιος*, natürlich in wirklicher Verwandlung; vgl. zu Od. *χ*, 240. — *ἐν ὄρεσσιν* ergänze *διατρίβουσαν, διάγουσαν, οὖσαν*, vgl. 236 *ὑπ' ὀφρύσιν ὄσσε φαεινώ*.

292. *Γάργαρον* scheint Adjectiv zu *ἄκρον*, wie 352 *Γαργάρῳ ἄκρῳ*.

294. *ὡς δ' ἴδεν, ὥς* d. h. ganz gleichzeitig, es war das Werk Eines Augenblicks, wie *υ*, 424 *ὡς εἶδ', ὣς ἀνέπαλτο* und *τ*, 242 *ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον*.

14 „Ἥρη, πῇ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης."
300 τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη
„ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐὺ τρέφον ἠδ' ἀτίταλλον.
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
305 ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
310 μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς
„Ἥρη, κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
νῶι δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
315 οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικός
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
[οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον θεόφιν μήστωρ' ἀτάλαντον·

298. τόδ' ἱκάνεις = 309; vgl. zu Od. α, 409. ρ, 444.

307 f. ἵπποι δ' - ἑστᾶσι: Antwort auf 299. In den Adjectiven τραφερήν τε καὶ ὑγρήν liegt der gemeinsame Substantivbegriff von γῆν, vgl. zu Od. α, 97.

310 f. αἴ κε - οἴχωμαι, wann ich fort sein, d. h. gegangen sein werde.

314. ἐν φιλότητι τραπείομεν (vgl. zu Od. θ, 292 λέκτρονδε τραπείομεν εὐνηθέντες und Il. γ, 441) lass uns zum Liebesgenuss uns wenden. ἔν τινι τρέπεσθαι = τρέπεσθαι εἴς τι, wie πίπτειν ἔν τινι (ν, 289). Dieser Ausdruck scheint der Decenz der homerischen Muse angemessener, als wenn τραπείομεν durch Metathesis von τέρπω hergeleitet wird.

315. μ' ὧδε - θυμόν κτἑ. Die Accusative (καθ' ὅλον καὶ μέρος) sind mit ἐδάμασσεν zu construiren.

317-327. οὐδ' ὁπότ' ... σεῦ αὐτῆς. Die Aufzählung so vieler — und doch nicht aller — Liebschaften des Zeus, wodurch nur der in den zwei vorbergehenden Versen schon enthaltene Gedanke ausgeführt wird, scheint hier jedenfalls nicht am Platze und von einem hinzugefügt, der seine genaue Kenntniss dieses Gebietes der Mythologie zu erkennen geben wollte. — Ἰξιονίης ἀλόχοιο, der Dia, die nachher Ixions Gemahlin wurde.

14 χρύσεον. οὐδ᾽ ἂν νῶι διαδράκοι ἠέλιός περ,
345 οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι."
ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παρά
τοῖσι δ᾽ ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ᾽ ἑρσήεντα ἰδὲ κρόκον ἠδ᾽ ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ᾽ ἔεργεν
350 τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
καλὴν χρυσείην· στιλπναὶ δ᾽ ἀπέπιπτον ἔερσαι.
ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄ
ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ᾽ ἀγκὰς ἄκοιτιν·
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος ὕπνος,
355 ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοσιγαίῳ.
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.
„πρόφρων νῦν Δαναοῖσι, Ποσείδαον, ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ᾽ ἔτι εὕδε
Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμ᾽ ἐκάλυψα
360 Ἥρη δ᾽ ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι."
ὣς εἰπὼν ὁ μὲν ᾤχετ᾽ ἐπὶ κλυτὰ φῦλ᾽ ἀνθρώπ
τὸν δ᾽ ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
αὐτίκα δ᾽ ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν.
„Ἀργεῖοι, καὶ δ᾽ αὖτε μεθίεμεν Ἕκτορι νίκην

345. εἰσοράασθαι vgl. zu 286 ἰδέσθαι.
347. φύεν – ποίην, gleichsam als Freundlichkeit und Dank der Natur gegen die schaffenden Götter. Vgl. ν, 27–29.
349. ὃς – ἔεργεν, der sie (die Gelagerten) hoch vom Boden (eig. vom Boden in die Höhe) empor hob, durch seine elastische Weichheit. Uebrigens versteht es sich, dass aus diesem dem alten Mythos entnommenen Zuge, der die jährliche Befruchtung der Erde durch den Himmel zur Zeit des gedeihlichen Saatregens als eine Vermählung von Zeus und Hera (ἱερὸς γάμος) darstellt, nicht etwa auf die Jahreszeit der Ereignisse d. h. den Frühling geschlossen werden darf.

353. ὕπνῳ–δαμείς. De gott war unterdessen aus Verstecke 286–291 in d und über Zeus gekommen nachher 354 f. zeigt sich s schweigendes Einverständ der Hera.
357. πρόφρων, nach de deines Herzens, ihm freien I send, vgl. zu α, 77.
359. μαλακὸν – ἐκάλυψ σ, 201, wo indessen κῶμα ist.
361 f. ὁ μέν, ὕπνος, τὸν σειδῶνα.
364. καὶ δ᾽ αὖτε (δὴ α, 340) μεθίεμεν = überlas denn wieder, auch diesmal den Sieg, vgl. ο, 553. In Rede des Poseidon liegt ei

Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται; 14
ἀλλ' ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς 366
νηυσὶν ἔπι γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες. 370
ἀσπίδες ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,
ἑσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσιν
κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημί
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα. 375
ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ,
χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ,
Τυδείδης Ὀδυσεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων· 380
οἰχόμενοι δ' ἐπὶ πάντας ἀρήια τεύχε' ἄμειβον.

nichts, das ihn als wirklichen leibhaften Gott kenntlich machte, denn er stellt sich (368f.) nur den Andern gleich; doch ergiebt sich jenes Verhältniss aus der Angabe des Dichters über das Schwert desselben 386f.

371–377. ἀσπίδες ὅσσαι κτἑ. Der Rath, der hier ertheilt wird, geht wohl dahin: die Tapfersten des Heeres sollen sich in den stärksten Waffen zu einer festgeschlossenen Phalanx (dergleichen die spätere dorische Hoplitenphalanx, vgl. ν, 126–135) zusammenreihen, die langen Speere vorstrecken und so das Anstürmen der von Hektor angeführten Feinde wie mit einer Mauer (πυργηδόν) aufhalten oder als Colonne in sie eindringen; vgl. ο, 566f. 617–622. Diese Schlachtordnung ist dem Dichter selbst noch eine neue und ungewohnte; darum lässt er die passenden Waffen erst zusammensuchen und nöthigenfalls eintauschen.

372f. ἑσσάμενοι erg. ταύτας. — ἔγχε' ἑλόντες erg. καὶ ἀνασχόμενοι nach ο, 298.

376. ὅς δέ κ' ἀ. μενέχαρμος erg. ἔῃ wie ε, 481, d. h. wer zwar zum stehenden Kampfe (der ὑσμίνη ο, 303. 328) in der Phalanx geeignet ist, aber dazu zu schlechte Waffen (einen zu kleinen Schild) hat, der gebe s e i n e Waffen einem geringern Manne (den man dann im Hintertreffen oder zur Vertheidigung der Schiffe, vgl. ο, 295, brauchen kann), verschaffe aber sich selbst (ὁ δὲ = αὐτὸς δέ) grössere und bessere Waffen.

379. αὐτοὶ βασιλῆες, weil die Sache noch neu und den Meisten unbekannt war. Vgl. 128. 132. Der greise Nestor (vgl. 27 mit 62f. und zu 135) war, wie es scheint, hinter der Wahlstatt zurückgeblieben.

381. οἰχόμενοι δ' ἐπὶ πάντας κτἑ. d. i. πάντας ἐποιχόμενοι, ἐπιπωλοῦντες, durch die Reihen Aller hingehend, leiteten sie (wo es

14 ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρηα δὲ χείρονι δόσκεν.
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
385 δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
390 κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ,
ἤτοι ὁ μὲν Τρώεσσιν ὁ δ' Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
395 ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
οὔτε πυρὸς τόσσος γε πέλει βρόμος αἰθομένοιο
οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν
ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,
400 ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή
δεινὸν ἀυσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ

nöthig war) den Tausch der Waffen oder ordneten ihn an.

382. *ἐσθλός*, vgl. ο, 303 *ἀριστῆας* von den zum Kampf als Schwerbewaffnete Tauglichen.

384. *ἦρχε δ' ἄρα σφι.* Poseidon schreitet ihnen nur als Führer voran, befleckt aber sein Schwert nicht selbst mit dem Blute von Sterblichen, wie sich auch keiner an ihn wagt.

386. *τῷ δὲ* ist auf *ἄορ* zu beziehen (= dieses zu berühren, ihm zu nahen); denn wie *θέμις ἐστί* zeigt, soll hier eine bleibende Eigenschaft des Schwertes bezeichnet werden.

389. *τάνυσσαν* zur Bezeichnung der weiten Ausdehnung und der langen Dauer.

392. *ἐκλύσθη δὲ θάλασσα.* Ein brausender Sturm des Meeres b gleitete fördernd die Kriegsarb des Meergottes, und vielleicht ve anlasste ein unerwartetes und d Troern nachtheiliges Austreten d Meerfluth die ganze Sage v dem thätlichen Beistande Poseido Durch die Erwähnung des Meer wird auch gerade die **erste** der fo genden prachtvollen Vergleichung (394 f.) herbeigeführt.

395. *Βορέω.* Nach Analogie v ι, 5 *Βορέης* ist *Βορέω* wohl hi auch zweisylbig zu lesen (= *Βο ρέω* von *Βορρᾶς*). Im vorigen Ver ist *βοάᾳ* eine treffliche Schallnacl ahmung wie ρ, 265 *ἠιόνες βοόωσι*

402. *Αἴαντος δέ.* Der Name d Aias steht voraus, weil ein Kam mit diesem schon längst erwart

ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ᾽ ἀφάμαρτεν, 14
τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου· 405
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ᾽ Ἕκτωρ
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
ἂψ δ᾽ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ᾽ ἀλεείνων.
τὸν μὲν ἔπειτ᾽ ἀπιόντα μέγας Τελαμώνιος Αἴας
χερμαδίῳ, τά ῥα πολλά, θοάων ἔχματα νηῶν, 410
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο· τῶν ἓν ἀείρας
στῆθος βεβλήκειν ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς,
στρόμβον δ᾽ ὣς ἔσσευε βαλών, περὶ δ᾽ ἔδραμε πάντῃ.
ὡς δ᾽ ὅθ᾽ ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
πρόρριζος, δεινὴ δὲ θεείου γίγνεται ὀδμή 415
ἐξ αὐτῆς· τὸν δ᾽ οὔ περ ἔχει θράσος ὅς κεν ἴδηται
ἐγγὺς ἐών, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
ὣς ἔπεσ᾽ Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσιν.
χειρὸς δ᾽ ἔκβαλεν ἔγχος, ἐπ᾽ αὐτῷ δ᾽ ἀσπὶς ἑάφθη
καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ. 420
οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,

und namentlich durch den Schluss des vorigen Buches (809–832) vorbereitet ist.

403. *τέτραπτο*, *Αἴας*, er stand ihm gerade entgegen. Vgl. *ν*, 542 *ἐπὶ οἷ τετραμμένον*.

404. *τῇ ῥα – τετάσθην* ist die Ortsbestimmung zu dem in *οὐδ᾽ ἀφάμαρτεν* liegenden positiven *ἔτυχεν*, er traf ihn.

410. *τά* geht auf den in *χερμαδίῳ* liegenden Gattungsbegriff, d e r g l e i c h e n, *οἷα*, vgl. Od. *μ*, 97 mit *α*, 313. Uebrigens sind Steine zu verstehen, welche den auf's Land gezogenen Schiffen zur festen Unterlage gegeben werden, vgl. Hesiod. opp. et d. 624 *πυκάσαι* (*νῆα*) *λίθοισι πάντοθεν κτέ.*

411. *τῶν ἓν ἀείρας* dient zur Wiederaufnahme des bei *χερμαδίῳ* abgebrochenen Satzes.

413. *στρόμβον δ᾽ ὣς ἔσσευε*, erg. *Ἕκτορα*, vgl. *λ*, 147 *ὅλμον δ᾽ ὣς ἔσσευε*. — *περὶ δ᾽ ἔδραμε* mit verändertem Subject: er drehte sich, taumelte ringsum; vgl. *λ*, 354 *ἀνέδραμε*. Zu dem Bilde vom Kreisel vgl. Virg. Aen. 7, 378 *Ceu quondam torto volitans sub verbere turbo* cet.

415. *δεινὴ – γίγνεται ὀδμή*, vgl. zu *α*, 49. Dieses zweite Gleichniss soll aber nicht dieselbe Anschauung darstellen wie das vom Kreisel, sondern in der Beschreibung fortschreitend das endliche Niederstürzen des Hektor nach dem Herumtaumeln anschaulich machen.

419. *ἐπ᾽ – ἑάφθη*, vgl. zu *ν*, 543. *αὐτῷ* scheint auf *ἔγχος* zu gehen, während *οἷ* 420 sich auf die Person selbst bezieht.

ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειάς
αἰχμάς. ἀλλ' οὔ τις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
425 Πουλυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ
Σαρπηδών τ' ἀρχὸς Λυκίων καὶ Γλαῦκος ἀμύμων·
τῶν δ' ἄλλων οὔ τίς εὖ ἀκήδεσεν, ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
430 ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο,
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
435 ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονί, κὰδ δέ οἱ ὕδωρ
χεῦαν· ὁ δ' ἀμπνύνθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν,
ἑζόμενος δ' ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεσσεν.
αὖτις δ' ἐξοπίσω πλῆτο χθονί, τὼ δέ οἱ ὄσσε
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα
440 Ἀργεῖοι δ' ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα,
μαλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας

422. ἐρύεσθαι, ihn an sich, auf ihre Seite zu ziehen.
426. Γλαῦκος ἀμύμων, obgleich beim Mauerkampfe nach μ, 387 f. verwundet. Dennoch weilt er auf dem Schlachtfelde wie auch π, 508 ff., wo er sich doch durch die schmerzliche Wunde sehr gehemmt fühlt.
427. τῶν δ' ἄλλων = καὶ τῶν ἄλλων δέ, aber auch von den andern (gewöhnlichen Kriegern).
429–432. ὄφρ' ἵκεθ' – στενάχοντα = ν, 535–538, wo diese Verse im Zusammenhange besser zu passen, also ursprünglicher zu sein scheinen. Beachte namentlich ἵκετο hier von dem Getragenen und βαρέα στενάχοντα 432 von dem, der erst 436 wieder aufathmet.
433. πόρον, an die Furth, [illegible] Ort der Ueberfahrt.
434. Ξάνθου im Munde des Di[chters] ohne Andeutung des den M[en]schen gewöhnlichen Namens; ebe[nso] ζ, 4. φ, 2. (υ, 74). — ὃν – Ζ[εύς] gleichsam eine Umschreibung [des] Beiwortes διιπετής, vgl. φ, 2[68] 268. 326.
437. ἑζόμενος ἐπὶ γοῦνα, s[ich] auf die Kniee oder vielmehr üb[er] die Kniee hin setzend, d. h. so d[aß] diese ausgestreckt waren und [die] ebenfalls gestreckten Beine auf d[em] Boden auflagen.
439. βέλος, vgl. Od. ι, 495 v[on] einem Felsblock: das Geworf[ene] und der Wurf.



Σάτνιον οὔτασε δουρὶ μετάλμενος ὀξυόεντι 14
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηὶς ἀμύμων
Ἤνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος. 445
τὸν μὲν Ὀιλιάδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
οὖτα κατὰ λαπάρην· ὁ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῷ δ' ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοίδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον, 450
υἱὸν Ἀρηιλύκοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν, ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας.
„οὐ μὰν αὖτ' ὀίω μεγαθύμου Πανθοίδαο
χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα, 455
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀίω
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄιδος εἴσω.“
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο.
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν,
τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα. 460
καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
λικριφὶς ἀίξας, κόμισεν δ' Ἀντήνορος υἱός
Ἀρχέλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.
τόν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ, 465
νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε·
τοῦ δὲ πολὺ πρότερον κεφαλὴ στόμα τε ῥῖνές τε

443 f. *Σάτνιος*, ein bisher noch nie erwähnter Troianer; doch der Fluss *Σατνιόεις* 445 (in der Nähe des Vorgebirges Lekton vom Ida kommend) kam *ζ*, 34 schon vor. Zu *νηὶς ἀμύμων* vgl. *ζ*, 22.

449. *ἐπὶ* mit *ἦλθεν* verbunden regiert den Dativ *τῷ*.

450. *Προθοήνωρ*, ein böotischer Anführer nach *β*, 495; vgl. 476. 487.

454. *αὖτε*, auch diesmal wieder, wie sonst schon: Ausdruck stolzen Selbstgefühles.

458. *εὐξαμένοιο* = *ἐπευξαμένοιο*, in Bezug auf 453, vgl. *ε*, 106 mit 119.

460. *τῷ* hat die Kraft eines ehrenden Beiwortes.

463. *λικριφὶς ἀίξας* = Od. *τ*, 451. — *κομίσεν* = 456 *κόμισε χροΐ*, er trug ihn davon, bekam ihn (näml. *δόρυ φαεινόν*).

467 f. *τοῦ δὲ — πεσόντος* soll die ausserordentliche Schnelligkeit des Falles bezeichnen.

14 οὔδει πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.
Αἴας δ' αὖτ' ἐγέγωνεν ἀμύμονι Πουλυδάμαντι
470 „φράζεο, Πουλυδάμα, καί μοι νημερτὲς ἐνίσπες·
ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντὶ πεφάσθαι
αξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο
ἢ παῖς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει.“
475 ἦ ῥ' εὖ γιγνώσκων, Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.
ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρί,
ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ' ὕφελκε ποδοῖιν.
τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀύσας.
„Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
480 οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀιζύς
ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτανέεσθε καὶ ὔμμες.
φράζεσθ' ὡς ὔμιν Πρόμαχος δεδμημένος εὕδει
ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
δηρὸν ἄτιτος ἔῃ. τῷ καί κέ τις εὔχεται ἀνὴρ
485 γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι.“
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·

471 f. ἦ ῥ' οὐχ – ἄξιος, vgl. zu ν, 446. Nur ist hier ἄξιος personal construirt.

474. αὐτῷ, ihm selbst, dem Antenor. — γενεήν, an Geschlecht (nach dem Geschlechtstypus). Vgl. den deutschen Ausdruck: in ein Geschlecht sehen. — ἐῴκει, nicht ἔοικεν, weil er nun todt ist.

475. ἦ ῥ' εὖ γιγνώσκων, d. i. ὣς ἔφατο, καί περ εὖ γιγνώσκων. Vgl. φ, 361 φῆ πυρὶ καιόμενος.

477. ὁ δέ, nämlich Πρόμαχος, ὕφελκε ποδοῖιν Ἀρχέλοχον, κασίγνητον Ἀκάμαντος, er traf den Promachos, als er gerade den Todten bei den Füssen fortziehen wollte.

478. τῷ δ' – ἐπεύξατο μ. ἀ., über ihn hin (den Promachos als Gefallenen) rief prahlend, vgl. λ, 431 und zu ε, 101 τῷ δ' ἐπὶ μακρὸν ἄυσε.

479. Ἀργεῖοι ἰόμωροι, vgl. zu δ, 242. Zu ἀπειλάων vgl. Θ, 150 ἀπειλήσει. Denn auch Aias hatte so eben 471–474 gross gesprochen.

483. ποινὴ hier wohl in der eigentlichen Bedeutung: Blutrache, Sühne durch Blut, wie π, 398. φ, 28.

484 f. τῷ καί κέ τις εὔχεται, drum wünscht sich wohl auch Mancher. Hier scheint κε beim Präs. Indicativ εὔχεται zu stehen und kann wohl wieder = πού, οἶμαι gefasst werden, wie beim Futurum 102; vgl. zu Od. δ, 546 ἤ κεν Ὀρέστης κτεῖνεν. Anders Od. ρ, 418. — Zu der lang gebrauchten Mittelsylbe in ἄτιτος vgl. πολύπτιτος in einem Orakel bei Herodot. 5, 92, 2, und über ἀρῆς ἀλκτῆρα zu β, 100 (= 213).

Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν. 14
ὡρμήθη δ' Ἀκάμαντος· ὁ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέωο ἄνακτος. ὁ δ' οὔτασεν Ἰλιονῆα
υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα 490
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσεν·
τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα.
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διαπρό
καὶ διὰ ἰνίου ἦλθεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας 495
ἄμφω. Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε
αὐτῇ σὺν πήληκι κάρη· ἔτι δ' ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῷ. ὁ δὲ φὴ κώδειαν ἀνασχὼν
πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα. 500
„εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν·
οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.“ 505
ὣς φάτο, τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,
πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
ἔσπετε νῦν μοι, μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅς τις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν

491. *κτῆσιν ὄπασσεν*, vgl. zu Od. *ξ*, 435. Pausan. 2, 3, 4 *Ἑρμῆς μάλιστα δοκεῖ θεῶν ἐφορᾶν καὶ αὔξειν ποίμνας.*
493. *ὑπ' ὀφρύος*, vgl. zu *ν*, 671. *θέμεθλα* = Od. *ι*, 390 *ῥίζαι.*
497. *ἔλασσεν* muss hier nach der Wirkung ein Hauen, nicht ein Stossen oder Stechen bezeichnen; vgl. *ν*, 614.
499. *φή*, vgl. zu *β*, 144. Der rohe Peneleos hielt das an den Speer gespiesste Haupt des Ilioneus zur Schau empor wie ein Mohnhaupt auf seinem dünnen Stengel.
500. *πέφραδέ τε – ηὔδα.* Die Grosssprecherei soll auch recht pretiös eröffnet, kund gethan werden; er verkündigte, gab (den Troern) zu erkennen; das ganze Heer soll von seiner That wissen.
502. *γοήμεναι* von *εἰπέμεναι* (= *εἴπατε*) abhängig: saget – dass sie (ihn) beklagen.
504. *ἀνδρὶ – γανύσσεται* vgl. zu Od. *β*, 250.
508–522. *ἔσπετε νῦν μοι κτέ.* Zusammenfassender Schluss des ganzen Kampfes, durch Aufzählung derjenigen Achäer, welche Rüstungen (*ἀνδράγρια* = *σκῦλα ἠγρευμένα παρὰ ἀνδρῶν*) von den Troern erbeuteten. Die Anrufung der Musen ist an dieser Stelle etwas auf-

14 ἧρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς ἐννοσίγαιος.
511 Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξεν·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα,
515 Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην.
Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσεν
δηώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσε κάλυψεν.
520 πλείστους δ' Αἴας εἷλεν Ὀιλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.

O.

15 αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,

fallend, da nur noch sechs Achäer genannt werden.

511 f. *οὖτα Γυρτιάδην.* Als natürliche Folge ist hinzuzudenken: *καὶ ἀνδράγρια ἤρατο* (*ἐξενάριξεν*).

514. *Μόρυν καὶ Ἱπποτίωνα* vgl. *ν*, 792 *Μόρυν υἷ' Ἱπποτίωνος*, wo vorher auch ein Phalkes genannt ist.

516. *Ἀτρείδης – Ὑπερήνορα.* Mit speciellern Beziehungen wird dieser Kampf erwähnt *ρ*, 24–27.

518. *κατ' οὐταμένην ὠτειλήν*, vgl. zu *ρ*, 86.

520. *Αἴας Ὀιλῆος* muss die Reihe der Einzelkämpfe schliessen, wie er sie 442 eröffnete.

522. *ἀνδρῶν τρεσσάντων* ist, wie auch *ὅτε – ὄρσῃ* zeigt, allgemeine Zeitbestimmung zur Fixirung des Momentes, worin die Verfolgung der Feinde zu beginnen pflegt: nachdem (jedesmal) die Männer sich zur Flucht gewandt haben. — Zu *ὅτε τε – ὄρσῃ* vgl. Apoll. Rhod. I, 76 *ἐπαΐξαι μετόπισθεν – δηίοισιν ὅτε κλίνωσι φάλαγγας* und das zu Od. *χ*, 19 *ἡνίκ' ἀγινεῖς* (vgl. mit Virg. Aen. 4, 522–524 *Nox erat – quum – volvuntur* cet.) Bemerkte. Auf den speciellen Fall haben die Bestimmungen dieses Verses, und so auch die Erwähnung des Zeus, keinerlei Beziehung.

Die Ueberschrift dieses Buches *παλίωξις παρὰ τῶν νεῶν*, bezieht sich nicht auf den eigentlichen Inhalt desselben, sondern den Zustand der in Folge des im vorigen Buche erzählten Schlafes des Zeus bei den Troern eingetreten ist und dessen Wirkungen sich nun weiterhin entwickeln. Denn

1. *ἐπεὶ – ἔβησαν* bezeichnet die Vollendung der Flucht, deren Anfang *ξ*, 506 f. angegeben ist. Ueberhaupt schliesst sich das Buch genau an das vorige an. Im ersten Theile

οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες, 15
χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι, ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης. 5
στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα.
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
εἵαθ'· ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι κῆρ ἀπινύσσων, 10
αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν.
„ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς. 15
οὐ μὰν οἶδ' εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
πρώτη ἐπαύρηαι καί σε πληγῇσιν ἱμάσσω.
ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν

ist Apollon (von Zeus gesandt) der Beistand der Troer (220–366), im zweiten Zeus selbst, vgl. zu 461.

3. οἱ μὲν d. i. οἱ φεύγοντες, die fliehenden Troer. Sie wollten sich hier wieder sammeln und wenigstens ihre Wagen nicht zurücklassen; weiter fliehen sie nicht, weil Zeus nun erwacht uud den Hektor wieder zum Kampfe kräftigt. (269. 306). Uebrigens sind 1–3 mit zwei Abweichungen = θ, 343–345.

8. Ἀργείους ist zur Verdeutlichung von τοὺς δὲ beigefügt; auf dieselben bezieht sich das nachfolgende σφί.

10. εἵαθ' = ω, 84 (ἧντο): sie sassen, den bewusstlos daliegenden rings beobachtend.

11. αἷμ' ἐμέων = ξ, 437 αἷμ' ἀπέμεσσεν. — Zu οὔ – ἀφαυρότατος vgl. Od. ρ, 415 οὐ μέν μοι δοκέεις ὁ κάκιστος Ἀχαιῶν ἔμμεναι ἀλλ' ὤριστος.

14. κακότεχνος gehört zu δόλος. Ueber die Seltenheit von τέχνη und seinen Ableitungen in der Iliade vgl. Einleitung zur Odyss. S. 18. — ἀμήχανε passiv, wie κ, 167.

16. οὐ μὰν οἶδ' erinnert ganz an den Gebrauch des lateinischen *haud scio an*, d. h. es könnte sehr leicht geschehen. In der Drohung sagt Zeus etwas mehr, als er wirklich thun will. — Derselbe Hiatus wie in εἰ αὖτε findet sich Od. ξ, 67 εἰ αὐτόθ' ἐγήρα.

17. πρώτη, zuerst d. h. vor allem aus, vor deinen andern Mitschuldigen und ehe ich eine andere Massregel zur Vereitelung deiner Anschläge treffe. Das ironische ἐπαύρηαι wird durch die folgenden Worte erklärt.

18. ἦ οὐ μέμνῃ κτέ. Zeus erinnert die Hera an eine frühere häusliche Scene derselben Art, wobei sie (von einer Säule) herabhangend und an den Füssen mit Gewichten beschwert wie ein Sclave mit Peitschenhieben gezüchtigt wurde. Die Vorstellung kann daher entstanden sein, dass in der bildlichen Sprache der Mythen Ἥρα die Atmosphäre,

19 ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
20 χρύσεον ἄρρηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
ἐκρέμω. ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,
λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
γῆν ὀλιγηπελέων. ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει
25 ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας
πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.
τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις
30 Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων,
ὄφρα ἴδῃ ἥν τοι χραίσμῃ φιλότης τε καὶ εὐνή,
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ' ἀπάτησας."
ὣς φάτο, ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
35 καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
„ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν,

d. h. die untere Luftschicht zwischen Himmel (Aether) und Erde, bezeichnete. Uebrigens soll wohl der etwas unsichere Gang des 18. Verses die ebenfalls unsichere Lage der Göttin andeuten.

20. *χρύσεον* als Göttergeräthe, vgl. *ν*, 36 f.

22. *παρασταδόν*, aus Theilnahme herbeitretend, weil sie gern geholfen hätten.

23. *ῥίπτασκον τεταγὼν ἀ. β.* vgl. *α*, 590–594. Im Folgenden lässt sich der sehr unerwartete Conjunctiv *ἵκηται* (für den Optativ *ἵκοιτο*) nur durch die Annahme vertheidigen, dass der Sprechende sich in die Zeit der noch dauernden Handlung zurückversetze. Vgl. zu *μ*, 59.

24. *θυμὸν* ist nähere (beschränkende) Bestimmung zu *ἐμέ*.

25. *ὀδύνη Ἡρακλῆος*. Ueber d Veranlassung vgl. *ξ*, 250–266, w die weniger klaren Ausdrücke u serer Stelle ihre Erklärung finde

26. *ξὺν Βορέῃ ἀνέμῳ*, mit Hül des stürmischen Boreas, gehört z *πεπιθοῦσα θ.*

30. *καὶ – ἀθλήσαντα*, inde ihn die feindseligen Einwohner nic wollten das Land betreten lasse bis er sie besiegte.

32. *ὄφρα ἴδῃ κτέ.* d. h. damit d erkennest, dass dir alle Hinterli gegen mich nichts nützt. Die Wi dererwähnung der *ἀπάτη* in 33 (κα *μ' ἀπάτησας* = *ἀπατήσασά μ*) ist bei der Stimmung des Zeus be nahe nothwendig.

36–38. *ἴστω – θεοῖσιν* vgl. z Od. *ε*, 184 f. Das demonstrative *τό*

σή θ' ἱερὴ κεφαλὴ καὶ νωίτερον λέχος αὐτῶν 15
κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι· 40
μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει,
ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
αὐτάρ τοι καὶ κείνῳ ἐγὼ παραμυθησαίμην 45
τῇ ἴμεν ᾗ κεν δὴ σύ, κελαινεφές, ἡγεμονεύῃς."
ὣς φάτο, μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
„εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις, 50
τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον, 55
ὄφρ' ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων,

weist mit Nachdruck auf das Entfernte.

39. *καὶ νωίτερον λέχος*. So auch Dido bei Virg. Aen. 4, 316 *Per connubia nostra, per inceptos hymenaeos.*

41. *μὴ δι' ἐμὴν ἰότητα*. Asyndetische Anfügung dessen, was geschworen wird, wie in bejahender Rede Od. *ξ*, 160. Einzig *μὴ* deutet die Abhängigkeit von der Schwurformel an; sonst müsste *οὐ* stehen; vgl. zu *κ*, 330. Uebrigens liegt in dem Schwur der Hera wenigstens für die Zukunft das Versprechen, auch für ihre Person die Achäer nicht mehr gegen Zeus' Willen zu unterstützen.

49. *ἔπειτα* hat wie *δὴ* folgernde Kraft: also, demnach; vgl. *ι*, 441 und zu Od. *ρ*, 185.

54. *μετὰ φῦλα θεῶν* d. h. in ihre Versammlung.

56. *ὄφρ' ἣ μὲν κτέ.* In der günstigen Stimmung, in welcher Zeus sich jetzt befindet, bricht er nicht sogleich die Unterredung mit der Hera ab, sondern öffnet ihr einen Blick auch in den fernern Gang und die endliche Entwickelung der Begebenheiten, freilich in unbestimmten Umrissen, und nicht in genauer Uebereinstimmung mit der Darstellung der folgenden Gesänge.

58. *τὰ ἃ πρὸς δώμαθ'* allgemein, wie 161 zeigt *μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν*.

59. *Ἕκτορα – Ἀπόλλων*. Nach 56 erwartete man *Ἀπόλλων δὲ – Ἕκτορα – ὀτρύνῃσι*, vgl. zu *α*, 20.

15 αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων
61 αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς
αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ' ἐν νηυσὶ πολυκλήισι πέσωσιν
Πηλείδεω Ἀχιλῆος. ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
65 Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολέας ὀλέσαντ' αἰζηοὺς
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
70 αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοὶ
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτε τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,

62. αὖτις ἀποστρέψῃσιν κτέ. vgl. ι, 650–655, wo Achilleus eine solche Erwartung ausspricht, und π, 62 f.

63. ἐν νηυσὶ – πέσωσιν. Gewöhnlich steht dieses ἐν νηυσὶ – πεσεῖν vom stürmischen Eindringen der Troer; vgl. μ, 107; doch auch λ, 311 καί νύ κεν ἐν νήεσσι πέσον φεύγοντες Ἀχαιοί mit 824.

64. Πηλείδεω Ἀχιλῆος κτέ. In der Verwirklichung gestaltet sich dies etwas anders, indem die Achäer auf ihrer Flucht nicht zu den Schiffen des Achilleus kommen, sondern vielmehr auf die entgegengesetzte Seite, wo die Schiffe des Aias standen (λ, 7–9). Auch erfolgte die Aussendung des Patroklos zum Kampfe nicht aus eignem Antrieb des Achilleus, sondern auf die dringenden Bitten des Patroklos selbst (390–404. π, 38–45. 64 f.).

66. Ἰλίου vgl. zu α, 205.

67. τοὺς ἄλλους, μετὰ δέ s. v. a. ἄλλους τε καί, andere sowohl als vorzüglich, und darunter namentlich. Zu Σαρπηδόνα vgl. π, 419–503.

69. ἐκ τοῦ, von da an, dann, nachdem Achilleus sich wieder (zuerst mittelbar, dann persönlich) an die Spitze der Kämpfenden gestellt haben wird, nicht gerade nach der Erlegung des Hektor. — παλίωξι[ν] mit Beziehung auf den Gang des Krieges im Allgemeinen seit dem Auftreten des Patroklos, mit welchem sich das bisherige Glück der Troer wandte.

71. Ἴλιον αἰπύ. Der neutrale Gebrauch von Ἴλιον deutet auf späteren Ursprung dieses Abschnittes. Doch liesse sich auch lesen Ἴ. αἰπὺν ἕλοιεν, wie τ, 97 Ἥρη θῆλυς ἐοῦσα. — Ἀθηναίης δ. βουλάς vermittelst des hölzernen Rosses; vgl. Od. θ, 493 τὸν (ἵππον δουράτεον) Ἐπειὸς ἐποίησεν σὺν Ἀθήνῃ.

72. τὸ πρίν geht nicht sowohl auf die einzelnen vorher genannten Ereignisse, als im Allgemeinen (wie 74 zeigt) auf den Zeitpunct der dem Achilleus gewordenen Genugthuung durch Zeus. παύω im Präsens, weil dies auch schon von der Gegenwart gilt, Zeus jetzt schon und fortwährend den Achäern zürnt.

73. ἐνθάδε, hier, weil Zeus sich



πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ, 15
ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι, 75
ἤματι τῷ ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.«
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
βῆ δ' ἐξ Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
ὡς δ' ὅτ' ἂν ἀίξῃ νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλήν 80
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσῃ
„ἔνθ' ἤην ἢ ἔνθα,« μενοινήῃσί τε πολλά,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη.
ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες 85
πάντες ἀνήιξαν, καὶ δεικανόωντο δέπασσιν.
ἡ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήῳ
δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
„Ἥρη, τίπτε βέβηκας, ἀτυζομένῃ δὲ ἔοικας; 90
ἦ μάλα δή σ' ἐφόβησε Κρόνου παῖς, ὅς τοι ἀκοίτης.«
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη
„μή με, θεὰ Θέμι, ταῦτα διείρεο· οἶσθα καὶ αὐτή
οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐίσης· 95
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν,

auf dem Ida nahe bei Troia befindet.

77. *Ἀχ. πτολίπορθον* vgl. zu *β*, 278 = *φ*, 550. *ω*, 108.

79. *βῆ δ' ἐξ Ἰδαίων ὀρέων κτέ.* = *θ*, 410. Um vom Ida auf den Olympos zu fliegen, braucht die Göttin nicht zuerst hinabzusteigen.

80f. *ὡς δ' ὅτ' ἂν ἀίξῃ*, vgl. Einl. z. Od. S. 18. Das folgende *ἐληλουθώς* zeigt, dass hier von dem schnellen Erinnerungsvermögen eines vielgereisten Mannes die Rede ist; jeden Augenblick kann er sich an die entferntesten und entgegengesetztesten Puncte wieder versetzen (*ἔνθ' ἤην* [*ἦν*] *ἢ ἔνθα*). — *μενοινήῃσι* (sich durch den Sinn gehen lässt, auch als Plan für die Zukunft) vgl. *ν*, 79 *μενοινάω*.

86f. *πάντες ἀνήιξαν*, vgl. *α*, 533f. *θεοὶ δ' ἅμα πάντες ἀνέσταν* – *σφοῦ πατρὸς ἐναντίον*. — Zu *Θέμιστι δέκτο* vgl. *β*, 186.

88. *θέουσα* mit Beziehung auf das *ἀναΐξαι* der übrigen (86).

91. *ἦ μάλα* drückt die zuversichtliche Muthmassung aus. Die Wirkung von Zeus' scharfen Drohungen dauerte fort, obgleich er nachher wieder besänftigt war.

93. *οἶσθα καὶ αὐτή*, vgl. *α*, 365 *οἶσθα* und *λ*, 653.

15 οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται. οὐδέ τί φημι
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν
οὔτε θεοῖς, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων."
100 ἡ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη,
ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί. ἡ δ' ἐγέλασσεν
χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα.
„νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες.
105 ἦ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἄσσον ἰόντες
ἢ ἔπει ἠὲ βίῃ· ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει
οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσιν
κάρτεϊ τε σθένεϊ τε διακριδὸν εἶναι ἄριστος.
τῷ ἔχεθ' ὅ ττί κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ.
110 ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τόν φησιν ὃν ἔμμεναι ὄβριμος Ἄρης."
ὣς ἔφατ'· αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα.
115 „μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες,
τίσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,

97. *πιφαύσκεται*, offenbart, zu Tage fördert. — *οὐδέ τι*, und gar nicht. Die Negation gehört zu *κεχαρησέμεν*, nicht etwa zu *πᾶσιν*: alle werden darüber nichterfreut, bestürzt sein, gesetzt auch, dass sie jetzt noch vergnügt am Mahle Theil nehmen.

101. *ἐγέλασσεν χείλεσιν*, d. h. sie lächelte (schadenfroh) nur mit den Lippen, nicht von Herzen, also auch nicht so, dass sie selbst dadurch erheitert wurde (*οὐδὲ – ἰάνθη*). Vgl. Od. *σ*, 163 *ἀχρεῖον δ' ἐγέλασσεν*.

103. *πᾶσιν δέ* (vgl. 96) hängt von *μετηύδα* ab. Ihr Unwille aber bezieht sich nicht auf die andern Götter, sondern auf Zeus, gegen den sie jene aufzuwiegeln sucht. Denn ihre Ermahnung zur Unterwerfung und Ergebung ist Spott ı ihr nur abgezwungen.

104. *μενεαίνομεν*, vgl. *α*, 1 *μένεος – πίμπλαντο*.

107. *φησίν*, objectiv dassel was mit subjectiver Färbung *εὔ ται*, vgl. Od. *σ*, 132 *οὐ μὲν γ ποτέ φησι κακὸν πείσεσθαι ὀπί σω*.

109. *ἔχετε*, habet und behalt fügt euch in das.

110. *ἤδη γὰρ νῦν ἔλπομ'* (ὀι *κτέ*. Wieder der Ausdruck eiı gewissen Schadenfreude. Die Saı ist *ν*, 518 erzählt; doch weiss Aı noch nichts davon, weil sein Wiss für den Fortgang des Gedichtes w niger dienlich wäre.

116. *ἰόντα*, in Beziehung auf d bei *τίσασθαι* zu ergänzende *μ* vgl. *β*, 112 f. — So würde sich Ar

εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ 118
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν."
ὣς φάτο, καί ῥ' ἵππους κέλετο δεῖμόν τε φόβον τε
ζευγνύμεν, αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα. 120
ἔνθα κ' ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶσι περιδδείσασα θεοῖσιν
ὦρτο διὲκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάασσεν,
τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο καὶ σάκος ὤμων, 125
ἔγχος δ' ἔστησε στιβαρῆς ἀπὸ χειρὸς ἑλοῦσα
χάλκεον· ἣ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα.
„μαινόμενε, φρένας ἠλέ, διέφθορας. ἦ νύ τοι αὔτως
οὔατ' ἀκουέμεν ἐστι, νόος δ' ἀπόλωλε καὶ αἰδώς.
οὐκ ἀίεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη, 130
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλά
ἂψ ἴμεν Οὔλυμπόνδε, καὶ ἀχνύμενός περ, ἀνάγκῃ,
αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς 135
λείψει, ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
μάρψει δ' ἑξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.
τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων

als ein eig. ἀλλοπρόσαλλος (ε, 831) zu erkennen geben.

118. κεῖσθαι ὁμοῦ νεκύεσσι, vgl. ε, 886 πήματ' ἔπασχον ἐν αἰνῇσιν νεκάδεσσιν.

119. δεῖμόν τε φόβον τε von κέλετο abhängig. Ueber das Verhältniss dieser Wesen zu Ares vgl. zu δ, 440. Bei Hesiod. Scut. Herc. 195 stehen sie neben Ares auf dem Streitwagen.

122. χόλος καὶ μῆνις als Synonyma ohne Unterschied verbunden, wie auch bei Apollon. Rhod. 3, 337 Διὸς θυμαλγέα μῆνιν καὶ χόλον.

124. διὲκ προθύρου, weil nach 119f. auch Ares schon zum Thor hinaus sein musste. — λίπε δέ = λιποῦσα.

127. ἡ δὲ in Beziehung auf das vorherige Subject, also ohne Gegensatz, vgl. ε, 736; unten 136 ὁ δέ.

130. ἅ τέ φησι, Objectsatz zu οὐκ ἀίεις, vgl. Od. φ, 155 ἁμαρτεῖν οὔ θ' ἕνεκ' αἰεὶ ἐνθάδ' ὁμιλέομεν.

134. τοῖς ἄλλοισι – πᾶσι geht natürlich auf die Götter, von denen überhaupt allein die Rede ist; vgl. 136.

137. μάρψει, vgl. ξ, 257 ῥιπτάζων κατὰ δῶμα θεούς.

138. υἷος ἑῆος, vgl. zu α, 393.

139. ἤδη steht nur in Beziehung

15 η πέφατ' ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
141 πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε."
ὣς εἰποῦσ' ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτός
Ἶρίν θ', ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισιν·
145 καί σφεας φωνήσασ' ἔπεα πτερόεντα προσηύδα.
„Ζεὺς σφὼ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·
αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ' εἰς ὦπα ἴδησθε,
ἔρδειν ὅ ττί κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ."
ἡ μὲν ἄρ' ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη,
150 ἕζετο δ' εἰνὶ θρόνῳ· τὼ δ' ἀίξαντε πετέσθην.
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν,
εὗρον δ' εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.
τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο
155 στήτην· οὐδέ σφωιν ἰδὼν ἐχολώσατο θυμῷ,
ὅττι οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα.
„βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
160 παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται ἀλλ' ἀλογήσει,

auf das erste und dem Dichter hier noch allein vorschwebende Verbum *πέφαται*, welchem *ἤ* nur nachträglich im Gegensatz des folgenden *ἤ* *πεφήσεται* vorgesetzt ist.

141. *γενεήν τε τόκον τε* sprichwörtlich zur Bezeichnung aller Angehörigen, in auf- und absteigender Linie, vgl. zu *η*, 128.

143. *καλέσσατο*, vgl. 54f.

144. *μετάγγελος* nach Analogie von *ἐπιβουκόλος*, vgl. zu Od. *γ*, 422.

147f. *αὐτὰρ ἐπὴν – ἀνώγῃ.* Ohne diesen Zusatz wäre die Anrede der Hera im Verhältniss zu ihren Umgebungen (143–145 und 149f.) zu kurz und abgebrochen.

152. *εὗρον – Κρονίδην* = 498. *ω*, 98.

155. *οὐδέ σφ. ἐχολώσατο*, d. er war ganz befriedigt und erfre liess sie daher den Unwillen üb Poseidon nicht entgelten.

158f. *βάσκ' ἴθι – ἀγγεῖλαι*, v zu Od. *ε*, 346 *τῇ δέ – τανύσσ* und Il. *β*, 8–10. Zuerst muss P seidon als Mitkämpfer beseitigt we den, ehe die Wiederherstellung d Hektor von Nutzen sein kann.

162. *ἀλογήσει* nur hier und 17 Auch das Nomen *λόγος* kommt au ser unten 393 und Od. *α*, 56 in be den Gedichten nicht vor.



'σθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμόν, 15
οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ
ι, ἐπεί εὖ φημι βίῃ πολὺ φέρτερος εἶναι 165
ενεῇ πρότερος. τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
; ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
ὅτ' ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα 170
ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
αιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις.
δ' ἱσταμένη προσέφη κλυτὸν ἐννοσίγαιον
λίην τινά τοι, γαιήοχε κυανοχαῖτα,
δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο. 175
ίμενόν σ' ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο
θαι μετὰ φῦλα θεῶν ἢ εἰς ἅλα δῖαν.
οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι ἀλλ' ἀλογήσεις,
ει καὶ κεῖνος ἐναντίβιον πολεμίζων
' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει 180
;, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι
ενεῇ πρότερος. σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
οἶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
ν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς ἐννοσίγαιος
όποι, ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν, 185
ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
καὶ ἐγώ, τρίτατος δ' Ἀίδης ἐνέροισιν ἀνάσσων.
ὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·

μή μ' οὐδὲ κτέ., d. i. μή, ιτερός περ ἐών, οὐ ταλάσσῃ nth nicht habe) μεῖναί με α.
ἐπεί εὖ φημι, vgl. ω, 293 κράτος ἐστὶ μέγιστον. ξ, 464.
καὶ ἄλλοι, die ihm an Macht ng wenigstens gleich sind.
ψυχρὴ ist mit χάλαζα zu len, ὑπὸ ῥιπῆς mit πτῆται. Ueber αἰθρηγενὴς vgl. zu Od. ε, 296.

179. καὶ κεῖνος, wie nämlich du am Kriege Theil nimmst.

186. εἴ με – καθέξει, d. i. εἴ φησί με καθέξειν. — ὁμότιμον, gleichberechtigt als Bruder.

187. Ῥέα hier einsylbig zu lesen, wie das Adverbium ῥέα zuweilen (μ, 381. ν, 144).

189. πάντα, nämlich mit Aus-

185 ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ
191 παλλομένων, Ἀίδης δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος.
τῷ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος,
195 καὶ κρατερός περ ἐών, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι βέλτερον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός,
οἵ ἕθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ."
200 τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις
„οὕτω γὰρ δή τοι, γαιήοχε κυανοχαῖτα,
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
οἶσθ' ὡς πρεσβυτέροισιν ἐρινύες αἰὲν ἕπονται."
205 τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων
„Ἶρι θεά, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·

nahme der Erde und des Berges Olympos nach 193. — Zu ἕκαστος - τιμῆς vgl. Od. λ, 338 und Il. α, 278.

191. παλλομένων erg. ἡμῶν, als wir das Loos warfen: Zeitbestimmung zu ἐγὼν ἔλαχον, vgl. ω, 400 und Herodot. 3, 128 παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος. — ζόφος metonymisch das Gebiet der Unterwelt selbst, eig. nur das westliche Dunkel.

193. πάντων, ἡμῶν, τῶν Κρονιδῶν. — Ὄλυμπος, als Theil der Erde und verschieden vom Οὐρανός, vgl. Einleit. zur Odyss. S. 17.

194. τῷ ῥα καὶ οὔ τι. Eine ähnliche Verbindung wie Od. ν, 331 τῷ σε καὶ οὐ δύναμαι προλιπεῖν. Das Verbum βέομαι kommt nur in der zweiten Hälfte der Iliade vor, eigentl. wohl ein Futur von βιόω nach Analogie von πίομαι, vgl. Hymn. auf Apoll. 528 βιόμεσθα.

196. χερσὶ ist mit δειδισσέσθω zu verbinden: indem er mir mit Gewalt droht (164f. und besonders 180f.).

197. θυγατέρεσσιν - καὶ υἱάσι. Spöttischer Seitenblick auf Athene und Ares, die doch auch am Kriege Theil nehmen.

199. οἵ ἕθεν, vgl. zu γ, 128. Das Pronomen scheint auch hier betont werden zu müssen.

201f. οὕτω γὰρ δή - φέρω (Conjunctiv), soll ich denn also - überbringen? Vgl. zu α, 123. — μεταστρέψεις wie verschieden im Gebrauch von κ, 107?

204. πρεσβυτέροισιν. Um den Poseidon nicht noch mehr zu reizen, beruft sie sich für Zeus nur auf den Vorzug des Alters, nicht auf den der Kraft (165. 181). Vgl. ψ, 787f. Die Erinyen bestrafen jede Versündigung gegen die Natur, also auch jede Abweichung von der natürlichen Weltordnung; dazu gehört aber wie Ehrfurcht vor den Aeltern, so auch Achtung vor dem Familienoberhaupte (dem ältesten Bruder).

ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ. 15
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ' ἂν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν. 210
ἀλλ' ἤτοι νῦν μέν γε νεμεσσηθεὶς ὑποείξω·
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῷ.
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει 215
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
ἴστω τοῦθ', ὅτι νῶιν ἀνήκεστος χόλος ἔσται."
ὣς εἰπὼν λίπε λαὸν Ἀχαιικὸν ἐννοσίγαιος,
δῦνε δὲ πόντον ἰών, πόθεσαν δ' ἥρωες Ἀχαιοί.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς 220
„ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
οἵ περ ἐνέρτεροί εἰσι θεοὶ Κρόνον ἀμφὶς ἐόντες. 225
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῷ

210. *νεικείειν ἐθέλῃσι*, nämlich Zeus als der Aeltere.

211. *νεμεσσηθείς*, aus Scheu (mir das Gegentheil verübelnd) vgl. 227.

212. *ἄλλο δέ τοι ἐρέω*. Vgl. zu Od. *λ*, 454 (*π*, 281). Durch die folgende Drohung, worin die Aufzählung der Troia feindseligen Götter schon auf *υ*, 33–36 hinweist (da Hermes und Hephästos bisher noch nie als Feinde von Troia erschienen), scheint Poseidon die bewiesene Nachgiebigkeit wieder decken und gleichsam seinen Rückzug beschönigen zu wollen.

219. *δῦνε δὲ πόντον ἰών*. Dass hier des Wagens, auf welchem Poseidon gekommen war (vgl. *ν*, 23–38), keine Erwähnung geschieht, rechtfertigt sich bei den veränderten Umständen von selbst. — Zu *δῦνε πόντον* vgl. Od. *δ*, 508. 510.

220. *καὶ τότ' Ἀπόλλωνα*. Erst jetzt, nachdem auch die Vollziehung von Zeus' erstem Befehle berichtet ist, wird zur Eröffnung des zweiten gleichzeitig zu denkenden Auftrages fortgeschritten; vgl. 54f. und 154–157.

224. *ἡμέτερον* d. i. *ἐμόν*, vgl. Od *τ*, 344. Doch liegt hier im Plural wirklich ein Ausdruck angenommener Würde. — *μάλα γάρ κε – ἐπύθοντο*, näml. wenn durch Poseidon's Verharren mein Einschreiten nothwendig geworden wäre. Zur Erläuterung vgl. *υ*, 61–66; über die Bezeichnung der unterirdischen Götter zu *ε*, 898. *ξ*, 279.

15 ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξεν
χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσσανόεσσαν,
230 τὴν μάλ' ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς.
σοὶ δ' αὐτῷ μελέτω, ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοί
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
235 ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο."
ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικώς
ὠκέι φασσοφόνῳ, ὅς τ' ὤκιστος πετεηνῶν.
εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
240 ἥμενον, οὐδ' ἔτι κεῖτο, νέον δ' ἐσαγείρετο θυμόν,
ἀμφὶ ἓ γιγνώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρώς
παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
ἀγχοῦ δ' ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων
„Ἕκτορ υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
245 ἧσ' ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;"
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ
„τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην;
οὐκ ἀίεις ὅ με νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν,

227f. ὑπόειξεν χεῖρας ἐμάς ist zu verbinden wie 180f. ὑπεξαλέασθαι — χεῖρας: er wich vor meinen Armen zurück, wich ihnen aus.

229. αἰγίδα vgl. zu ε, 738.

231. σοὶ δ' αὐτῷ, Gegensatz von αὐτὸς ἐγὼ 234. Jenes darf dem Apollon selbst überlassen werden, weil er ohnehin auf Seite der Troianer steht.

232. τόφρα γὰρ οὖν οἱ ἔγ. giebt die Erklärung des vorhergehenden σοὶ δ' αὐτῷ μελέτω.

233. νῆας scheint nach der Verbindung mit Ἑλλήσποντον wieder auf die Schiffe des Achilleus zu gehen, wie 63f.

234. κεῖθεν δ' αὐτὸς ἐγώ, vgl. 69 ἐκ τοῦ δ' ἂν — ἐγὼ τεύχοιμι.

236. οὐδ' — ἀνηκούστησεν = π, 676, drückt denselben Gedanken aus wie in der Odyssee ρ, 57 τῇ δ' ἄπτερος ἔπλετο μῦθος.

240. νέον (Adv.) — θυμόν, eben kam er wieder zu sich und sammelte seine Lebenskraft.

241. γιγνώσκων = ἀναγνωρίζων, *agnoscens* oder *noscitans*.

242. ἔγειρε Διὸς νόος hier offenbar von einer Wirkung aus der Ferne, ohne leibliche Berührung, vgl. unten 461. 567 und Od. ω, 164 ἀλλ' ὅτε δή μιν ἔγειρε κτέ.

244. τίη δὲ σύ = ξ, 264; vgl. auch 247 τίς δὲ σύ ἐσσι;

248. οὐκ ἀίεις. Auch ein Prä-

οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας **15**
χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς; **250**
καὶ δὴ ἔγωγ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀίδαο
ἤματι τῷδ' ἵξεσθαι, ἐπεὶ φίλον ἄιον ἦτορ."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων
„θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν, **255**
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσιν
νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον **260**
πᾶσαν λειανέω, τρέψω δ' ἥρωας Ἀχαιούς."
ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων,
εἰωθὼς λούεσθαι ἐυρρεῖος ποταμοῖο, **265**
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀίσσονται· ὁ δ' ἀγλαΐηφι πεποιθώς,
ῥίμφα ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων·
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα

sens mit Perfectbedeutung, wie ἀκούω.

252. ἐπεὶ φίλον ἄιον ἦτορ, *nam flabam* (*efflabam, exspirabam, agebam*) *caram animam*, ich hauchte, war aushauchend das theure Leben, rang schon mit dem Tode. ἀίω hier wie sonst die Intensivform ἀίσθω, vgl. π, 468. υ, 403 und χ, 467 ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν. Apoll. Rhod. 4, 472 θυμὸν ἀναπνείων.

254. τοῖον, näml. dass du gutes Muthes sein darfst. Zur Verbindung der Sätze vgl. Od. β, 286 f.

256 f. πάρος περ ῥύομαι, vgl. zu Od. δ, 810 f.

258. ἱππεῦσιν, während früher die Wagen nach μ, 81–85 mit Ausnahme des Asios (ebend. 110–112) ausserhalb des Grabens geblieben waren; jetzt unter Apollon's Anführung sollen auch sie eindringen.

259. νηυσὶν ἔπι – ἐλαυνέμεν = λ, (274) 400, vgl. zu β, 89 πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν.

263–268. ὡς δ' ὅτε – ἵππων = ζ, 506–511. Aber hier auf den besonnenen und gereiften Hektor angewandt, der sich eben von seiner Ohnmacht erholt (vgl. ξ, 433–439), scheint das Gleichniss viel weniger am Platze als dort von Paris, der wohl mit einem jungen, erst kürzlich von der Weide geholten und in den Stall gestellten, aber seiner Freiheit noch nicht entwöhnten Pferde verglichen werden kann.

269. λαιψηρὰ = χ, 24 gehört zwar zu πόδας καὶ γούνατα, ist

15 ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
271 οἱ δ', ὥς τ' ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα
ἐσσεύαντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
275 τῶν δέ θ' ὑπὸ ἰαχῆς ἐφάνη λὶς ἠυγένειος
εἰς ὁδόν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
ὣς Δαναοὶ εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον στίχας ἀνδρῶν,
280 τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός.
τοῖσι δ' ἔπειτ' ἀγόρευε Θόας Ἀνδραίμονος υἱός,
Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
ἐσθλὸς δ' ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων.
285 ὅ σφιν ἐυφρονέων ἀγορήσατο καὶ μετέειπεν
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
οἷον δ' αὖτ' ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,

aber nach dem zweiten, als dem Hauptbegriffe, gerichtet.

271 f. ἢ ἔλαφον – αἶγα = γ, 24. — ἐσσεύαντο – ἀγροιῶται = λ, 549. οἱ δὲ geht auf die bekannten Feinde des Hektor und wird 277 durch Δαναοὶ erklärt.

273. τὸν μέν τ', erg. ἔλαφον ἢ αἶγα, denen die Jäger immer nachsetzen, ohne ihnen beikommen zu können. — Ueber ἠλίβατος vgl. zu Od. ι, 243.

274. οὐδ' ἄρα – αἴσιμον ἦεν = φ, 495 οὐδ' ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν, vgl. ε, 674 οὐδ' ἄρα – μόρσιμον ἦεν. Es war ihnen (den Jägern) nicht vom Schicksal bestimmt, das Wild zu treffen, näml. schon vor der Jagd und von jeher; daher das Imperfectum.

275. τῶν – ὑπὸ ἰαχῆς, vgl. zu δ, 456 τῶν γένετο ἰαχή. — Ueber ἠυγένειος vgl. zu Od. δ, 456.

277. εἵως μέν, eig. so lange zwar (sie den Hektor 279 nicht sahen, Hektor noch entfernt war); vgl. zu ν, 143. Die Danaer waren nämlich wieder bis über die Mauern hinaus vorgedrungen, vgl. 1 f. und dagegen unten 344 f.

280. παραὶ ποσὶ κάππεσε Ausmalung des deutschen: der Muth entfiel, entsank ihnen.

281. τοῖσι δέ, zu den erschrockenen Achäern. Θόας, dessen Gestalt und Stimme Poseidon ν, 215–220 angenommen hatte. Auch er giebt seinen Landsleuten einen ähnlichen Rath, wie Poseidon ξ, 371–377, wo die Anmerkung zu vergleichen ist.

282. ἐπιστάμενος μὲν ἄκοντι. Brachylogisch, da in σταδίῃ (μάχῃ) auch der Begriff μάχεσθαι enthalten ist. Vgl. Od. ι, 49 ἐπιστάμενοι μὲν ἀφ' ἵππων ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.

287. οἷον δ' αὖτ' ἐξαῦτις = οἷον δὴ αὖτε ἐ., wie er nun wie-

Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου **15**
χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο.
ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν **290**
Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν,
ὡς καὶ νῦν ἔσσεσθαι ὀίομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι· 295
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι,
στείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι. τὸν δ' οἴω καὶ μεμαῶτα
θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο. 300
οἱ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ' ἀτάλαντον Ἄρηι,
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο. 305
Τρῶες δὲ προύτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
μακρὰ βιβάς. πρόσθεν δὲ κί' αὐτοῦ Φοῖβος Ἀπόλλων
εἱμένος ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν

der von Neuem u. s. w. Directer Ausruf.

288. ἦ θήν, wahrlich doch, — λ, 365 ἦ θήν σ' ἐξανύω γε.

290. ἐρρύσατο καὶ ἐσάωσεν, vgl. Od. χ, 372 ἐπεὶ δή σ' οὗτος ἐρύσσατο καὶ ἐσάωσεν.

292. ὡς καὶ νῦν — ὀίομαι erg. πολλῶν Δαναῶν ὑπὸ γούνατα λύσειν Ἕκτορα.

293. ὧδε μενοινῶν, so sehr des Kampfes begehrend, vgl. ν, 214 und π, 491.

295. πληθύν, die Menge, die geringere und weniger gut bewaffnete Masse, die im Vordertreffen wenig nützen oder gar schaden könnte.

297. εἴ κε — ἐρύξομεν, ob wir vielleicht ihn (Hektor) aufhalten können. πρῶτον, zuerst, weil in diesem Fall die Hintenstehenden gar nicht zum Kämpfen kommen.

298. καὶ μεμαῶτα = 276. Damit verbinde θυμῷ.

301 ff. οἱ μὲν ἀμφ' Αἴαντα — Τεῦκρον κτέ. vgl. zu γ, 146. Mehrere von diesen waren auch ξ, 511—515 nach einander aufgeführt.

303. ὑσμίνην ἤρτυνον, vgl. ν, 152 καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες (auch von den Achäern). ὑσμίνη, die Feldschlacht, in der man Stand hält, *pugna stataria.*

305. ἡ πληθύς d. i. τῶν ἄλλων ἡ πληθύς, der übrige Haufe, die Andern, welche die Menge ausmachten.

306. Τρῶες — Ἕκτωρ = ν, 136.

15 δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεύς
310 Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν.
τὴν ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, ὦρτο δ' ἀυτή
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀιστοί
θρῷσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν
315 ἄλλα μὲν ἐν χροῒ πήγνυντ' ἀρηιθόων αἰζηῶν,
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός·
320 αὐτὰρ ἐπεὶ κατένωπα ἰδὼν Δαναῶν ταχυπώλων
σεῖσ', ἐπὶ δ' αὐτὸς ἄυσε μάλα μέγα, τοῖσι δὲ θυμόν
ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
οἱ δ', ὥς τ' ἠὲ βοῶν ἀγέλην ἢ πῶυ μέγ' οἰῶν
θῆρε δύω κλονέωσι μελαίνης νυκτὸς ἀμολγῷ,
325 ἐλθόντ' ἐξαπίνης σημάντορος οὐ παρεόντος,
ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.

309. ἀμφιδάσειαν wahrsch. = ἀμφίμαλλον, vgl. Herod. 4, 189. Xenoph. Anab. 4, 7, 22 γέρρα δασειῶν βοῶν ὠμοβόεια.

312. Ἀργεῖοι, versteht sich die 301–303 erwähnten ἀριστῆες in der von ihnen gebildeten Phalanx (ἀολλέες in Reih und Glied).

314–317. δοῦρα – ἆσαι, ganz ähnlich wie λ, 571–574. μεσσηγύ, dazwischen, in der Mitte des Weges, bevor sie die Feinde erreicht hatten. Zu ἵσταντο vgl. Virg. Aen. 2, 52 *stetit illa* (*hasta*) *tremens* (*in latere equi*).

318f. ὄφρα μὲν αἰγίδα κτἑ., d. h. so lange Apollo noch weiter von den Achäern entfernt war, und seine Einwirkung sich nicht so unmittelbar zu erkennen gab; denn das Schütteln der Aegis (321) begann wohl erst in unmittelbarer Nähe des Feindes. — τόφρα – λαός = θ, 67. λ, 85.

320. κατένωπα – Δαναῶν ταχ., den Danaern ins Angesicht schauend. κατένωπα wahrsch. = κατ' ἐνῶπα, vom veralteten ἐνὼψ = ἐνωπή, so dass der Genitiv Δαναῶν richtig vom Nomen ἐνῶπα abhängt. Der Nachsatz beginnt mit τοῖσι δὲ θυμὸν ἔθελξε.

324. θῆρε δύω mit Rücksicht auf Apollon und Hektor. — Ueber νυκτὸς ἀμολγῷ vgl. zu Od. δ, 841.

325. ἐλθόντε – παρεόντος, vgl. κ, 485 λέων μήλοισιν ἀσημάντοισιν ἐπελθών.

326. ἀνάλκιδες (τότε γενόμενοι), die Folge von ἐφόβηθεν. Vgl. zu δ, 124 κυκλοτερὲς μέγα τόξον ἔτεινεν.

ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης. 15
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνεν,
τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων, 330
τὸν δὲ Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον·
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν.
ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀιλῆος θείοιο
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς, 335
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀιλεύς·
Ἴασος αὖτ' ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆ δ' ἕλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης
πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ. 340
Δηίοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθεν
φεύγοντ' ἐν προμάχοισι, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.
ὄφρ' οἱ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοί
τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ
ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ. 345
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας

328–342. ἔνθα δ' ἀνὴρ κτἑ. Es folgen die einzelnen Siege der Troer, nachdem durch das Einstürmen des Apollon die Glieder der Achäer in zerstreute Flucht aufgelöst sind (320–327). Die Aufzählung der unter Apollon's Beistand siegreichen Troianer bildet ein genaues Gegenstück zu ξ, 508–522, wo nach dem unter Poseidon's Anführung gewonnenen Hauptkampfe ebenfalls Einzelsiege achäischer Helden zusammengestellt waren. — κεδασθείσης ὑσμίνης im Gegensatze zu 312 ὑπέμειναν ἀολλέες.

329. Στιχίον, vgl. ν, 195 f. Ἀρκεσίλαον β, 495.

332. Μέδοντα, vgl. zu β, 727. — ἐξενάριξεν = 343 ἐνάριζον ἀπ' ἔντεα, vgl. μ, 187.

333–336. ἤτοι – Ὀιλεύς. Dieselben vier Verse schon ν, 694–697.

339. Μηκιστῆ (wie Τυδῆ δ, 384), vgl. θ, 333 = ν, 422, wo Mekisteus ein Sohn des Echios heisst, während sie hier als Kriegsgefährten erscheinen.

340. πρώτῃ ἐν ὑσμίνῃ d. i. ἐν τοῖς πρωταγωνισταῖς, in den vordersten Reihen. — Κλονίον, auch Anführer der Böoter nach β, 495.

341. νείατον gehört zu ὦμον, wie νείατον ἀνθερεῶνα u. ä. Die geringe Ehre eines solchen Sieges wird aber dem Paris zu Theil.

343. ὄφρ' οἱ – ἀπ' ἔντεα = μ, 195.

344. ὀρυκτῇ nachträgliche Bestimmung zu dem entfernteren Nomen τάφρῳ, die durch den Begriff von ἐνιπλήξωσιν veranlasst wurde, vgl. zu μ, 72. — σκολόπεσσιν ist nur ein Attribut zu τάφρῳ (in den

15 „νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα.
ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε
350 γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο."
ὣς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσι κατὰ στίχας. οἱ δὲ σὺν αὐτῷ
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους
355 ἠχῇ θεσπεσίῃ. προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε, γεφύρωσεν δὲ κέλευθον
μακρὴν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωή
γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἧσιν.
360 τῇ ῥ' οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ' Ἀπόλλων
αἰγίδ' ἔχων ἐρίτιμον. ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης,

Graben mit Pfählen, den umpfählten Graben).

347. ἐᾶν δ' ἔναρα. Denselben Befehl giebt Nestor ζ, 68–70.

348. ὃν – νοήσω, vgl. θ, 10 ὃν – ἀπ. θεῶν ἐθέλοντα νοήσω.

350f. πυρὸς λελάχωσι θανόντα, vgl. η, 79f., zu ἐρύουσι λ, 454.

352. μάστιγι – ἵππους. Erst hier scheint Hektor (vgl. 269. 307) wieder seinen Wagen bestiegen zu haben, um den Fliehenden nachzusetzen. — Für den Begriff von κατωμαδόν vgl. ψ, 431 δίσκου κατωμαδίοιο.

354. ὁμοκλήσαντες erg. ἵπποις, die Pferde durch Zuruf ermunternd. Die metaplastische Form ἐρυσάρματας (vgl. π, 370 ἐρυσάρματες) lässt den zweiten Theil der Zusammensetzung (ἅρματα) in seiner Flexion deutlicher erkennen, als es bei der regelmässigen Biegung der Fall wäre.

356f. ὄχθας καπέτοιο – κατέβαλλε. Auch hier ist nur an einen Theil des Grabens (hier κάπετος, sonst τάφρος z. B. 344) zu denken, wie schon die beigefügte Bestimmung ποσσὶν ἐρείπων und der 358 folgende Satz ὅσον τ' ἐπὶ – γίγνεται erkennen lässt. Nach Massgabe dieser Stellen ist aber auch 361 ἔρειπε δὲ τεῖχος zu erklären. Also findet hier kein Widerspruch mit μ, 12 vgl. η, 459–463 Statt.

357. ἐς μέσσον, mitten (in den Graben) hinein, wodurch er eben aufgefüllt wird.

358. ὅσιν τ' ἐπὶ (vgl. zu κ, 351f.) – γίγνεται soll die Breite des Dammes (für die vielen Streitwagen 353ff. vgl. 384ff.) bezeichnen.

359. ὁππότ' – ἧσιν erg. τὸ δόρυ. Vgl. ψ, 432 ὅν τ' (δίσκον) αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης. Ein solcher Wurf aber ist verhältnissmässig der stärkste.

360. πρὸ δ' Ἀπόλλων erg. κίε aus προχέοντο nach 307 (Zeugma).

361. ἔρειπε δὲ τεῖχος, nachdem sie den Graben hinter sich hatten.

362f. ὡς ὅτε τις κτέ. Statt das

ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν, 15
ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.
ὥς ῥα σύ, ἤιε Φοῖβε, πολὺν κάματον καὶ ὀιζύν 365
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.
ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσιν
χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν, 370
εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα.
„Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεϊ περ πολυπύρῳ
ἢ βοὸς ἢ ὄιος κατὰ πίονα μηρία καίων
εὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
τῶν μνῆσαι, καὶ ἄμυνον Ὀλύμπιε νηλεὲς ἦμαρ, 375
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.“
ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητίετα Ζεύς,
ἀράων ἀίων Νηληιάδαο γέροντος.
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
μᾶλλον ἐπ' Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης. 380
οἱ δ', ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο

Verbum συγχέῃ oder συγχεύῃ als Synonymum von ἐρείπῃ gleich an ὡς ὅτε anzuhängen, kommt noch ein besonderer Relativsatz mit dem Verbum συνέχευε. Vgl. zu ν, 471.

364. ποσὶν καὶ χερσίν, indem er mit dem ganzen Leibe darein springt.

365. σύ, ἤιε Φοῖβε, vgl. υ, 152 ἀμφὶ σέ, ἤιε Φοῖβε. ἤιος, als Beiwort des Phöbos, scheint Eins mit dem bei Spätern vorkommenden ἰήιος, der mit dem Hülferuf ἰή Angerufene, also helfende. Nach Andern von ἵημι (ἀφίημι), also = ἀφήτωρ ι, 404. Die Apostrophe ist ein Ausdruck der ehrfurchtsvollen und vertrauenden Bewunderung.

367–369. ὣς οἱ μὲν – ἕκαστος. Vgl. zu θ, 345–347. ὣς scheint eine Rückweisung auf 344 f. zu enthalten, besonders auf die Worte δύοντο δὲ τεῖχος: weil sie sich vor dem Graben und der Mauer nicht mehr halten konnten, versuchten sie es nun — und mit besserem Erfolg — innerhalb der Mauer und bei den Schiffen.

372. πὲρ ist mit dem entfernten εἰ zu verbinden: wenn doch, wenn auch nur.

375. τῶν μνῆσαι, vgl. Od. δ, 331 τῶν νῦν μοι μνῆσαι, ebenfalls nach einem Bedingungssatze.

378. ἀράων ἀίων. Also sollte der Donner für die Achäer ein günstiges Zeichen sein. Aber die Troer beziehen das zweideutige Zeichen auf sich 379 f., und daher wird der Entscheid des Kampfes momentan aufgehalten, indem beide Theile auf jenes vertrauend ausserordentliche Anstrengungen machen (405–414). Vgl. zu ν, 821.

381 f. ὥς τε – καταβήσεται Aor. Conj. (vgl. κ, 183), obgleich sonst

15 *νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ' ἐπείγῃ*
ἲς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον,
385 *ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχοντο*
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἱ μὲν ἀφ' ἵππων,
οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῷ.
390 *Πάτροκλος δ', εἷως μὲν Ἀχαιοί τε Τρῶές τε*
τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ' ὅ γ' ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῷ
φάρμακ' ἀκέσματ' ἔπασσε μελαινάων ὀδυνάων.

dieser Conjunctiv nicht vorkommt; desto häufiger der Indicativ. — *νηὸς* hängt von *ὑπὲρ τοίχων* ab. — Zu *ἡ γὰρ – ὀφέλλει* vgl. *γ*, 62.

384. *ὣς Τρῶες.* Die Vergleichung bezieht sich auf das nach dem Falle der Mauer (361) durch nichts mehr aufgehaltene, Alles überfluthende Eindringen der Troer in das Schiffslager der Achäer. — *κατὰ τεῖχος ἔβαινον* = *ν*, 737 *κατὰ τεῖχος ἔβησαν*, vgl. Od. *α*, 330.

386 f. *οἱ μὲν ἀφ' ἵππων, οἱ δ' ἀπὸ νηῶν.* Erweiternde Apposition zu *μάχοντο*, das zunächst nur auf die (von den Wagen herab kämpfenden) Troer ging. Uebrigens war die seltsame Kampfart unter den gegebenen Umständeu nicht nur natürlich, sondern beinahe nothwendig.

387. *ἐπιβάντες* zur Erklärung beigefügt, = die sie jetzt, auf der Flucht, bestiegen hatten, so dass sie nun vom Hinterdeck herab kämpften (vgl. 435. 676).

388. *μακροῖσι ξυστοῖσι*, vgl. 677 *ξυστὸν μέγα – δυωκαιεικοσίπηχυ.* Da Homer sonst von eigentlichem Seegefecht nichts weiss, so deutet auch dieser Ausdruck und namentlich das Epitheton *ναύμαχα* (Herodot. 7, 89 *δόρατα ναύμαχα*) auf spätern Ursprung.

389. *κολλήεντα*, vgl. 678 *κολλητὸν βλήτροισι*, wahrsch. aus mehrern Stücken zusammengefügt und an den Fugen mit metallenen Reifen oder Klammern eingefasst, und ebenso am obern (äussern) Ende (*κατὰ στόμα*).

390–404. *Πάτροκλος.* Seit dem Ende des eilften Buches (vgl. *λ*, 806–848 mit ebend. 648) weilt dieser im Zelte des verwundeten Eurypylos; diese Stelle soll uns wieder an ihn erinnern, um uns auf sein baldiges Auftreten vor Achilleus (*π*, 2 ff.) vorzubereiten.

390 f. *εἷως τείχεος ἀμφεμάχοντο*, so lange sie (in diesem zweiten Gange des Kampfes) um die Mauer kämpften. Zur Construction von *ἀμφιμάχομαι* vgl. *π*, 496. 533. *σ*, 20 mit *π*, 825. An die erste Erstürmung der Mauer im zwölften Buch wird hier nicht gedacht; ebensowenig nimmt 393 *ἧστό τε κτἑ.* auf *λ*, 648. 653 f. Rücksicht. Zu *ἔτερπε λ.* vgl. *τ*, 312.

394. *ἀκέσματ' – ὀδυνάων* ist Prädicat zum Object *φάρμακα*, vgl. *λ*, 846 ff.

αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησεν 15 395
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε, 396
ᾤμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μηρώ
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα.
„Εὐρύπυλ', οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπης
ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν· 400
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἔγωγε
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίς δ' οἶδ' εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου."
τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοί 405
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδ' ἐδύναντο
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν.
οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
ῥηξάμενοι κλισίῃσι μιγήμεναι ἠδὲ νέεσσιν.
ἀλλ' ὥς τε στάθμη δόρυ νήιον ἐξιθύνει 410
τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
εὖ εἰδῇ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε·

395 f. ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους κτἑ. = μ, 143 f. Das folgende Glied ἀτὰρ Δαν. – φόβος τε ist unmittelbar und als Ergänzung mit dem ersten Object τεῖχος ἐπεσσυμένους zu verbinden, so dass unter diesem Ausdruck nicht nur das Andringen, sondern auch das Hindurchdringen der Troer durch die Mauer — als Veranlassung der Flucht der Achäer — verstanden wird.

397 f. ᾤμωξέν – ηὔδα = Od. ν, 198 f.

400. δὴ γάρ, vgl. zu Od. α, 194 δὴ γάρ μιν ἔφαντ' ἐπιδήμιον εἶναι.

401. θεράπων ist auch λ, 843 erwähnt.

402. ἵν' ὀτρύνω πολεμίζειν, nach dem Rathe oder Wunsche des Nestor λ, 790 f., wo auch die zwei folgenden Verse mit einer einzigen Verschiedenheit vorkommen.

406. Τρῶας ἐπερχομένους, vgl. 380. 385. — μένον ἔμπεδον = 367 ἐρητύοντο μένοντες. — οὐδ' ἐδύναντο = ἀλλ' ὅμως οὐκ ἐδύναντο. Während Patroklos sich auf dem Wege befindet, wird die Beschreibung der Schlacht fortgesetzt.

409. κλισίῃσι μιγήμεναι ἠ. ν., ganz bis in das Schiffslager hindurchdringen.

410. ὥς τε στάθμη. Ein neues Gleichniss zur Bezeichnung des unentschieden inne stehenden Kampfes; andere s. μ, 421–424 und 433–436. Zu στάθμη vgl. Od. ε, 245 ἐπὶ στάθμην ἴθυνεν.

412. σοφίης. Das einzige Beispiel dieses Stammes in beiden homerischen Gedichten.

15 ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν.
415 Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο.
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδ' ἐδύναντο
οὔθ' ὁ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας,
οὔθ' ὁ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
420 πῦρ ἐς νῆα φέροντα, κατὰ στῆθος βάλε δουρί·
δούπησεν δὲ πεσών, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
ἐν κονίῃσι πεσόντα νεὸς προπάροιθε μελαίνης,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας
425 „Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοί
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.“
ὣς εἰπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
430 τοῦ μὲν ἅμαρθ', ὁ δ' ἔπειτα Λυκόφρονα Μάστορος υἱόν,
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν,
τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέι χαλκῷ,
ἑσταότ' ἄγχ' Αἴαντος· ὁ δ' ὕπτιος ἐν κονίῃσιν
435 νηὸς ἄπο πρύμνης χαμάδις πέσε, λύντο δὲ γυῖα.
Αἴας δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα

415. ἐείσατο von εἶμι, wie Od. χ, 89, unten 544. Vgl. zu λ, 358 καταείσατο.

416–418. τὼ δὲ μιῆς περὶ νηός. Dieselbe Erscheinung, wie beim Kampf beider Heere, zeigt sich nun auch im Einzelkampfe des Hektor und Aias. Keiner der beiden Helden kann den andern besiegen; dagegen erlegen theils sie selbst, theils ihre Freunde manchen andern zweiten Ranges.

417. νῆας absichtlich allgemein, weil Hektor nicht gerade nur das Eine Schiff anzünden wollte, sondern am liebsten alle angezündet hätte.

418. δαίμων fasst beide hier handelnden Götter, Zeus und Apollon, zusammen.

419. Κλυτίοιο, eines Bruders des Priamos nach υ, 238, daher Kaletor 422 ἀνεψιὸς (Ἕκτορος) genannt wird.

420. ἐς νῆα, worauf sich Aias befand.

426. μὴ δή πω, doch ja nicht, ja nicht etwa. στείνεϊ eigentlich oder bildlich? vgl. zu θ, 476.

428. νεῶν ἐν ἀγῶνι s. v. a. ω, 141 ἐν νηῶν ἀγύρει = ἐν τῷ ναυστάθμῳ.

435. νηὸς ἄπο πρύμνης, vgl. zu 387 ἀπὸ νηῶν – ἐπιβάντες.

„Τεῦκρε πέπον, δὴ νῶιν ἀπέκτατο πιστὸς ἑταῖρος 15
Μαστορίδης, ὃν νῶι Κυθηρόθεν ἔνδον ἐόντα
ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισιν·
τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοί 440
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;“
ὣς φάθ', ὁ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέστη,
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον· μάλα δ' ὦκα βέλεα Τρώεσσιν ἐφίει.
καί ῥ' ἔβαλε Κλεῖτον Πεισήνορος ἀγλαὸν υἱόν, 445
Πουλυδάμαντος ἑταῖρον ἀγανοῦ Πανθοίδαο,
ἡνία χερσὶν ἔχοντα. ὁ μὲν πεπόνητο καθ' ἵππους·
τῇ γὰρ ἔχ' ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ. 450
αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
κείν' ὄχεα κροτέοντες. ἄναξ δ' ἐνόησε τάχιστα
Πουλυδάμας, καὶ πρῶτος ἐναντίος ἤλυθεν ἵππων.
τοὺς μὲν ὅ γ' Ἀστυνόῳ Προτιάονος υἱέι δῶκεν, 455
πολλὰ δ' ἐπώτρυνε σχεδὸν ἴσχειν εἰσορόωντα
ἵππους· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
Τεῦκρος δ' ἄλλον ὀιστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῇ

438. *Κυθ. ἔνδον ἐόντα* = *παρ' ἡμῖν ἐπιδημοῦντα*, vgl. *ν*, 363.
440. *ποῦ νύ τοι ἰοί*, vgl. *ε*, 171.
441. *ὅ τοι πόρε Φοῖβος Ἀ.* Dies konnte von allen ausgezeichneten Bogenschützen gesagt werden; so von Pandaros *β*, 827, vgl. mit *δ*, 106–111.
443. *παλίντονον*, vgl. zu *θ*, 266. Bei *φαρέτρην* erg. *φορῶν* aus *ἔχων ἐν χειρί*.
446. *ἑταῖρον*, also nach dem Folgenden wohl auch *θεράποντα* und *ἡνίοχον*.
448. *τῇ γὰρ ἔχε*, erg. *τοὺς ἵππους*, und darum machte ihm die Lenkung der Rosse besondere Mühe (*πεπόνητο*).
449. *Ἕκτορι – χαριζόμενος*, da er wahrscheinlich ein Dardanier war, wie des Polydamas Bruder, Euphorbos, *π*, 807 *Δάρδανος ἀνήρ* genannt wird. Die zwei Verse *Ἕκτορι – ἱεμένων περ* kommen *ρ*, 291 f. wieder vor.

451. *ὄπισθε*, von hinten, indem er, mit den unruhigen Pferden beschäftigt, wohl in den Fall kommen konnte, dem Feinde den Rücken zu kehren. Auf die Unruhe der Pferde deutet auch 456 *εἰσορόωντα ἵππους*.

456. *σχεδόν*, wahrscheinlich in seiner Nähe, während er zu Fuss kämpfte.

15 αἴνυτο, καί κεν ἔπαυσε μάχην ἐπὶ νηυσὶν Ἀχαιῶν,
460 εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν.
ἀλλ' οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
465 ἰὸς χαλκοβαρής, τόξον δέ οἱ ἔκπεσε χειρός.
Τεῦκρος δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα
„ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
470 πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊστούς."
τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας
„ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμῳ
475 μάρναό τε Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς.
μὴ μὰν ἀσπουδί γε, δαμασσάμενοί περ, ἕλοιεν
νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης."
ὣς φάθ'· ὁ δὲ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,

459. *καί κεν ἔπαυσε μάχην* (vgl. *η*, 29), und er hätte dem ganzen Kampfe – ein Ende gemacht, wenn er ihn (den Hektor), der eben seine tapfersten Thaten vollbrachte, getroffen und getödtet hätte.

461. *Διὸς – νόον.* Von hier an tritt Zeus selbst an die Stelle des Apollon; vgl. 567. 594. 603. 637.

464. *ἐπὶ τῷ ἐρύοντι*, als er (Teukros) auf jenen (den Hektor) zielte, die Sehne anzog. Uebrigens ist auch hier nicht an eine persönliche Einmischung des Zeus zu denken: vgl. zu 242 und 490.

467. *ἐπὶ – κείρει*, eig. darüber hin schneiden, abmähen, d. h. etwas in seiner ganzen Ausdehnung, durchaus, vereiteln, wie *π*, 120.

468. *ὅ τε*, erklärendes Relativum, welcher, als welcher = da er, *ut qui*.

470. *πρώϊον*, am (heutigen) Morgen, in Folge des Unfalles, der ihn nach *θ*, 328 am vorigen Tage betroffen hatte.

473. *συνέχευε. συγχέω* oft verschütten, daher unnütz machen, verderben. Vgl. 484. 489 *βλαφθέντα βέλ.*

476. *ἀσπουδί* wie 228 *ἀνιδρωτί* = *ἄνευ σπουδῆς.* Vgl. zu *β*, 99 *σπουδῇ.* Den Gegensatz macht *ἀλλὰ μνησώμεθα χάρμης.*

478. *ὁ δὲ τόξον.* Ungewöhnliche Verlängerung von *δὲ* vor einfacher Muta. Vgl. *φ*, 352 *τὰ περί.* — Die Lagerhütte des Teukros muss ganz in der Nähe gewesen sein.

κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν, 480
[ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·]
εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέι χαλκῷ,
βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀύσας 485
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή, 490
ἠμὲν ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ' ὅτινας μινύθῃ τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν,
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.
ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες. ὃς δέ κεν ὔμεων
βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ, 495
τεθνάτω. οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοί
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. 500
Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν
„αἰδώς, Ἀργεῖοι. νῦν ἄρκιον ἢ ἀπολέσθαι

480. κρατὶ δ' – ἔθηκεν = γ, 336, woher auch der folgende Vers = λ, 42 mitgeflossen zu sein scheint. Aber solche ruhige Ausmalung ist hier dem Zusammenhange zuwider. — Die Bogenschützen trugen keine Helme nach ν, 714.

490. ῥεῖα δ' ἀρίγνωτος. Zur Rechtfertigung des Ausdrucks Διόθεν βλαφθέντα.

491 f. ἐγγυαλίξῃ im einzelnen Falle, μινύθῃ καὶ οὐκ ἐθέλῃσιν anhaltend und dauernd.

498. ἀκήρατος, Prädicat, parallel mit dem vorhergehenden σόη. Diese Verse enthalten die positiven Vortheile und Trostgründe für die im Kampf für das Vaterland Fallenden. Daher die Verbindung durch ἀλλά, gleichsam: aber noch mehr.

502. αἰδώς, Ἀργεῖοι. Vgl. zu ε, 787. Eine Schande, Schmach ist es, nämlich, wie sich aus der ganzen Situation ergiebt, dass wir uns immer weiter zurückschlagen lassen. — νῦν ἄρκιον, vgl. zu β, 393 und Odyss. χ, 65 νῦν ὑμῖν παράκειται, vgl. mit Herod. 7, 11 ἀλλὰ ποιέειν ἢ παθέειν προκέεται ἀγών. Sinn: Jetzt bleibt uns keine andere Wahl übrig als ...; wollen wir also nicht zu Grunde gehen und

15 ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ἔλπεσθ', ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
505 ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;
οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
ἡμῖν δ' οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
510 ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε.
βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηιοτῆτι
ὧδ' αὔτως παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισιν."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
515 ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον Περιμήδεος υἱόν,
ἀρχὸν Φωκήων, Αἴας δ' ἕλε Λαοδάμαντα
ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξεν,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
520 τῷ δὲ Μέγης ἐπόρουσεν ἰδών· ὁ δ' ὕπαιθα λιάσθη
Πουλυδάμας. καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων

uns zugleich in ewige Schande stürzen, so müssen wir die Feinde zurückschlagen.

505. *ἐμβαδόν*, d. i. *πεζῇ διὰ θαλάσσης πορευόμενοι.*

508. *οὐ μὰν – κέλεται κτέ.*, d. h. spielend und scherzend lässt sich die Gefahr nicht beseitigen, sondern nur in entscheidendem Kampfe.

509. *τοῦδε – ἀμείνων ἤ*, vgl. zu Od. ζ, 182 *οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον ἢ ὅθ' – ἔχητον.*

511. *ἢ ἀπολέσθαι – ἠὲ βιῶναι.* Diese beiden Glieder bilden zusammen Ein Hauptglied als Gegensatz des folgenden *ἤ* (als) *δηθὰ στρεύγεσθαι*, indem sie gemeinschaftlich den Begriff ausdrücken: auf Ein Mal entscheiden, Ein für alle Mal wählen zwischen Tod und Leben. Einen ähnlichen Gedanken spricht Odysseus Od. μ, 350 f. aus, wo *ἅπαξ* unserm *ἕνα χρόνον* entspricht. Ueber *στρεύγεσθαι* vgl. das dort zu 351 Bemerkte.

513. *ὧδ' αὔτως*, so sonst, d. h. ganz umsonst (ohne Zweck und Erfolg).

515 ff. *ἔνθ' Ἕκτωρ.* Eine neue Reihe von Einzelkämpfen, worin aber immer noch Hektor und Aias den Mittelpunkt bilden; vgl. 552. 560. Auch einen Schedios, der aber Sohn des Iphitos ist, führt der Katalogos β, 517 als Anführer der Phoker an, und der wird ρ, 306 von Hektor erlegt; vgl. Einleit. S. 3.

518. *Κυλλήνιον*, d. h. aus dem Hafenort Kyllene im Lande der Eleer (Epeier). Daher ist auch Otos ein Gefährte des Phyleiden Meges.

520. *ὕπαιθα*, Verlängerung von *ὑπό* (*ὑπαί*), die aber nur in einigen der spätern Bücher der Iliade vorkommt: wahrsch. seitwärts.

εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι· 15
αὐτὰρ ὅ γε Κροίσμου στῆθος μέσον οὔτασε δουρί.
δούπησεν δὲ πεσών, ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ αἰχμῆς εὖ εἰδώς, 525
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο φέρτατος ἀνδρῶν,
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς,
ὃς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρί
ἐγγύθεν ὁρμηθείς. πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
τὸν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς 530
ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος·
ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης
ἐς πόλεμον φορέειν, δηίων ἀνδρῶν ἀλεωρήν·
ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης 535
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.
ἕως ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἔλπετο νίκην,
τόφρα δέ οἱ Μενέλαος ἀρήιος ἦλθεν ἀμύντωρ, 540
στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών, βάλε δ' ὦμον ὄπισθεν·
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,
πρόσσω ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων

526. *Λαμπετίδης*. Bemerkenswerthe Freiheit in der Bildung der Patronymica, da der Stammname *Λάμπος*, nicht *Λαμπετός* ist. Zu *Λάμπος* – *Λαομεδοντιάδης* vgl. *υ*, 237 f. und *γ*, 147.

530. *γυάλοισιν ἀρηρότα*, vgl. zu *ε*, 99 *θώρηκος γύαλον*.

531. *ἐξ Ἐφύρης*, vgl. zu *β*, 659. Andere verstehen das in Elis, wo es auch einen Selleeis giebt.

534. *ὅς*, näml. *θώρηξ*. Der ganze Vers ist Wiederaufnahme von 529.

535. *τοῦ δὲ* (d. i. *Δόλοπος*) ist von *κόρυθος* abhängig und dies von *κύμβαχον*.

537. *ῥῆξε δ' ἀφ' ἵ. λ. αὐτοῦ*. *αὐτοῦ* geht auf den Dolops selbst und hängt von *ἀπέρρηξε* ab. *πᾶς* erg. *λόφος*.

539. *ὁ* – *πολέμιζε* - *ἔλπετο* geht beides auf Dolops, dagegen *τῷ* wie im folgenden Vers *οἱ* auf Meges.

541. *στῆ δ' εὐράξ*, vgl. zu *λ*, 251. — *εὐράξ*, seitwärts, doch mehr von hinten, nicht gerade n e b e n den Kämpfenden.

542. *μαιμώωσα*, wie wenn von einem beseelten Wesen die Rede wäre. Die folgenden Worte sind erklärend.

544. *ἐεισάσθην*, *ἐφώρμησαν*, vgl. 415 *ἐείσατο*.

15 συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσεν
546 πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπεν
ἴφθιμον Μελάνιππον. ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
βόσκ' ἐν Περκώτῃ, δηίων ἀπονόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
550 ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν,
ναῖε δὲ πὰρ Πριάμῳ, ὁ δέ μιν τίεν ἶσα τέκεσσιν.
τόν ῥ' Ἕκτωρ ἐνένιπεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
„οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο;
555 οὐχ ὁράᾳς οἷον Δόλοπος περὶ τεύχε' ἕπουσιν;
ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἔστιν ἀποσταδὸν Ἀργείοισιν
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρης
Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαι τε πολίτας."
ὣς εἰπὼν ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
560 Ἀργείους δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας.
„ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας.
αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται οὔτε τις ἀλκή."
565 ὣς ἔφαθ', οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον,
ἐν θυμῷ δ' ἐβάλοντο ἔπος, φράξαντο δὲ νῆας

545. *κασιγνήτοισι*, den Vettern (Geschwisterkindern). Ein solcher war auch Melanippos als Sohn des Hiketaon nach *υ*, 238.

547. *ὄφρα μέν*, wie sonst *ἕως μέν* (oben 277), eig. aus dem Gegensatz 549 zu ergänzen. Hier wird es aber auch durch den Zusatz *δηίων ἀπονόσφιν ἐόντων* erklärt.

548. *ἐν Περκώτῃ*, vgl. zu *β*, 835. *λ*, 229.

553. *οὕτω δή, – μεθήσομεν;* Vgl. *ξ*, 364 *καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην; — οὐδέ νυ – ἦτορ* = Od. *α*, 59.

555. *οἷον – περὶ – ἕπουσιν*, wie sie geschäftig, eifrig darauf aus sind, sich bemühen. Vgl. zu *λ*, 776 *ἀμφὶ βοὸς ἕπετον κρέα.*

557 f. *ἠὲ κατακτάμεν* (*ἡμᾶς ἐκείνους*) *ἠὲ – ἑλέειν* (*ἐκείνους*) ähnlich wie 502 *ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι κτἑ.* Zu *κατ' ἄκρης* vgl. Od. *ε*, 313.

561–564. *ὦ φίλοι – ἀλκή*, beinahe wie *ε*, 529–532; über die Formel *αἰδῶ θέσθ' ἐνὶ θυμῷ* zu *ν*, 121.

566 f. *φράξαντο δὲ νῆας ἕ. χ.*, sie bildeten wieder einen *πύργος* (vgl. zu *ξ*, 371–377) vor den Schiffen. Vgl. 571 *ἐξάλμενος* und 615–622.

ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν. 15
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος.
„Ἀντίλοχ', οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
οὔτε ποσὶν θάσσων οὔτ' ἄλκιμος ὡς σὺ μάχεσθαι· 570
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα."
ὣς εἰπὼν ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν.
ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ
ἀμφὶ ἓ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο
ἀνδρὸς ἀκοντίσσαντος. ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν, 575
ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον,
νισσόμενον πόλεμόνδε, βάλε στῆθος παρὰ μαζόν.
δούπησεν δὲ πεσών, τὸν δὲ σκότος ὄσσε κάλυψεν.
Ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῷ
βλημένῳ ἀίξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα 580
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα.
ὣς ἐπὶ σοί, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης
τεύχεα συλήσων. ἀλλ' οὐ λάθεν Ἕκτορα δῖον,
ὅς ῥά οἱ ἀντίος ἦλθε θέων ἀνὰ δηιοτῆτα.
Ἀντίλοχος δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής, 585
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς,
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσιν
φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν.
ὣς τρέσε Νεστορίδης, ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ

567. *ἐπὶ δέ*, gegen sie und das *ἕρκος χάλκειον*.
568. *Ἀντίλοχον*. Der jugendliche Held Antilochos, ein Liebling des Dichters, soll abermals Gelegenheit erhalten, etwas Ungewöhnliches zu vollbringen, vgl. zu *δ*, 457. Auf ein innigeres Verhältniss zwischen ihm und Menelaos deutet auch *ε*, 561–575.
570. *οὔτε ποσὶν – μάχεσθαι*, vgl. Od. *γ*, 112.
571. *εἴ τινα – βάλοισθα*. Ein wünschender Bedingungssatz; vgl. zu Od. *δ*, 388.
573 ff. *καὶ ἀκόντισε – ἧκεν* = *δ*, 496–498.
577. *νισσόμενον πόλεμόνδε*, vgl. zu *ν*, 186 und oben 559.
579. *κύων ὥς, – νεβρῷ*, also seinem Gegner an Tapferkeit überlegen.
581. *ἐτύχησε βαλών*, vgl. *μ*, 189 *βάλε – τυχήσας* und *δ*, 106–108.
585. *οὐ μεῖνε – πολεμιστής* = *ε*, 571.
586. *θηρὶ – ἐοικώς*. Eine Andeutung, dass auch Antilochos den nächsten Zweck seines Ausfalls erreicht habe. Eine Ausführung dieser kurzen Vergleichung giebt Virgil. Aen. 11, 809–815.

15 ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο.
591 στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
Τρῶες δὲ λείουσιν ἐοικότες ὠμοφάγοισιν
νηυσὶν ἐπεσσεύοντο, Διὸς δ' ἐτέλειον ἐφετμάς,
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμόν
595 Ἀργείων καὶ κῦδος ἀπαίνυτο, τοὺς δ' ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ἐμβάλοι ἀκάματον, Θέτιδος δ' ἐξαίσιον ἀρήν
πᾶσαν ἐπικρήνειε· τὸ γὰρ μένε μητίετα Ζεύς,
600 νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι·
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξαι.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῇσιν ἔγειρεν
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
605 μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ
οὔρεσι μαίνηται, βαθέης ἐν τάρφεσιν ὕλης·
ἀφλοισμὸς δὲ περὶ στόμα γίγνετο, τὼ δέ οἱ ὄσσε

591. *στῆ δὲ – ἑταίρων* = λ, 595.

592. *Τρῶες δὲ λείουσιν.* Die Wirkung von Hektor's Ermunterungen 545 ff. und seinem Beispiel.

593. *Διὸς δ' ἐτέλειον ἐφετμάς.* Vgl. α, 5 und oben 232–235. Die entscheidende Wendung bei Achilleus und Patroklos rückt immer näher.

594. *θέλγε δὲ θυμόν*, vgl. μ, 255, er bannte den Muth (Nitzsch).

596. *Ἕκτορι*, nicht um seiner selbst willen, sondern nur als Werkzeug für den Willen des Zeus.

598. *ἐξαίσιον*, unheilbringend (eigentlich über Gebühr und Mass hinausgehend). Auch durch diesen Ausdruck stellt sich der Dichter ganz auf die Seite der Achäer und ebenso durch 601 f.

599. *τὸ γὰρ μένε*, denn darauf wartete. Thetis hatte freilich nicht speciell die Verbrennung eines oder mehrerer achäischer Schiffe gewünscht; aber die von ihr gewünschte Zurückdrängung und Niederlage der Achäer (α, 409 f.) wurde am sichersten in dieser Form erreicht.

601. *παλίωξιν παρὰ νηῶν.* Diese wird π, 652–655 von Zeus dem Patroklos zugewiesen.

602. *Δαναοῖσι κῦδος ὀρέξαι*, vgl. oben 234 f.

603. *νήεσσιν ἔπι – ἔγειρεν*, vgl. oben 567.

605. *ὡς ὅτ' Ἄρης.* Hier drängt sich wieder Gleichniss auf Gleichniss, vgl. 618. 624. 630, um auf den wichtigen Moment vorzubereiten; vgl. zu 629.

607. *ἀφλοισμός*, das Schäumen, vielleicht verwandt mit *ἀφρός, ἀφρέω, ἀφρίζω.* Vgl. φ, 361 *ἀνὰ δ' ἔφλυε.*

λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν, ἀμφὶ δὲ πήληξ 15
σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο.
[Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ 610
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε. μινυνθάδιος γὰρ ἔμελλεν
ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλείδαο βίηφιν.]
καί ῥ' ἔθελεν ῥῆξαι στίχας ἀνδρῶν, πειρητίζων 615
ᾗ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα.
ἀλλ' οὐδ' ὧς δύνατο ῥῆξαι, μάλα περ μενεαίνων·
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠύτε πέτρη
ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα 620
κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδ' ἐφέβοντο.
αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ,
ἐν δ' ἔπεσ' ὡς ὅτε κῦμα θοῇ ἐν νηὶ πέσῃσιν
λάβρον ὑπὸ νεφέων ἀνεμοτρεφές· ἡ δέ τε πᾶσα 625
ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὑπὲκ θανάτοιο φέρονται·

608. *ἀμφὶ* wohl Adverbium, wie 647, wo *περὶ κροτάφοισι* nachfolgt.

610–614. *Ἕκτορος – βίηφιν.* Diese fünf Verse passen nicht in den jetzigen Zusammenhang, hauptsächlich weil es nach 596 und 603 f. ganz überflüssig ist zu sagen, dass Zeus dem Hektor beigestanden habe. Ebenso war die Hinzufügung von *Ἕκτορος* zu *μαρναμένοιο* unnöthig, die Erwähnung der kurzen Lebenszeit Hektor's nicht am Platze. Ueberhaupt verrathen sie ein gewisses persönliches Interesse für Hektor, das dem Zusammenhang nach dem zu 596 Bemerkten fremd ist. — In *ἐπώρνυε μόρσιμον ἦμαρ κτἑ.* erscheint Pallas als die freiwillige Dienerin des Geschickes (*μοῖρα*).

615. *ῥῆξαι στίχας ἀνδρῶν*, vgl. zu 566 f.

618. *ἴσχον*, sie hielten ihn auf oder sie hielten Stand.

623. *πάντοθεν* gehört zu *λαμπόμενος πυρί*, vgl. 607 f. — *ἔνθορ' ὁμίλῳ*, er sprang auf die feindliche Schaar ein, um ihre Linie zu beugen.

625. *ἀνεμοτρεφές*, vgl. zu *λ*, 256; zu *λάβρον ὑπὸ νεφέων* (unter den Wolken hin) *π*, 375 *σκίδναθ' ὑπὸ νεφέων*. — *ἡ δέ τε πᾶσα*, *ἡ ναῦς*, das ganze Schiff.

628. *τυτθὸν – φέρονται*, denn nur um ein Kleines entziehen sie sich, entgehen sie dem Tode. Virg. Aen. 9, 143 *leti discrimina parva* (vom Wall und den Gräben eines Walles).

15 ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
630 αὐτὰρ ὅ γ' ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔ πω σάφα εἰδώς
θηρὶ μαχήσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
635 αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας
βοῦν ἔδει, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' Ἀχαιοί
θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρί
πάντες, ὁ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱόν, ὃς Εὐρυσθῆος ἄνακτος
640 ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ.
τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξεν.
645 στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο,

629. *ὣς ἐδαΐζετο – Ἀχαιῶν*, so wurde – fortwährend getheilt, d. h. wogte ängstlich hin und her. Diese Anwendung des Gleichnisses ist durch den letzten Theil der vorhergehenden Ausmalung *τρομέουσι – ναῦται δειδιότες* veranlasst. So zeigt sich in den Versen 622. 629. 636f. ein planmässiger Fortschritt.

630. *αὐτὰρ ὅ γ' ὥς τε λέων*. Dieser Satz bleibt unvollendet; die Anwendung des Gleichnisses aber folgt mit Veränderung des Subjectes 636f. *ὣς τότ' Ἀχαιοὶ – ὑφ' Ἕκτορι κτέ.*

631. *ἐν εἱαμενῇ*, vgl. zu *δ*, 483.

632. *οὔ πω σάφα εἰδώς*, d. h. unerfahren, ungeübt; sonst würde er Hunde und Feuerbrände gegen den Löwen gebrauchen.

633. *βοὸς ἀμφὶ φονῇσιν*, d. i. *ὑπὲρ τοῦ μὴ ἀναιρεθῆναι βοῦν.*

634. *πρώτῃσι καὶ ὑστατίῃσι*, d. i. *ποτὲ μὲν πρώταις, ποτὲ δὲ ὑστάταις.* Aber der ganze Beistand des Hirten erstreckt sich nur auf die ersten und letzten.

637. *ἐφόβηθεν = ὑπέτρεσαν.* Die allgemeine Flucht hatte auch bei ihnen den Vortheil, dass nur Einer umkam.

640. *ἀγγελίης οἴχνεσκε*, vgl. zu *δ*, 384. Eurystheus fürchtete sich nämlich, den Herakles selbst zu sich kommen zu lassen.

641. *τοῦ γένετ' ἐκ πατρός*. Vgl. Od. *α*, 220 *τοῦ μ' ἔκ φασι γενέσθαι.* Durch *πολὺ χείρονος* soll nur angedeutet werden, dass der Vater in keiner Beziehung vorzüglich war.

644. *Ἕκτορι κῦδος – ἐγγυάλιξεν*, indem er ihm Gelegenheit darbot, ihn zu besiegen.

645. *στρεφθεὶς μετόπισθεν*, *ἐπιστραφεὶς εἰς τοὐπίσω*, da er auch fliehen wollte. — *ἐν ἄντυγι – πάλτο*, er stiess an am Schildrande; vgl. zu *ζ*, 118.

τὴν αὐτὸς φορέεσκε ποδηνεκέ', ἕρκος ἀκόντων· 15
τῇ ὅ γ' ἐνὶ βλαφθεὶς πέσεν ὕπτιος, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
Ἕκτωρ δ' ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων 650
κτεῖν'. οἱ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
χραισμεῖν· αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον.
εἰσωποὶ δ' ἐγένοντο νεῶν, περὶ δ' ἔσχεθον ἄκραι
νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ 655
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμειναν
ἀθρόοι, οὐδ' ἐκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδώς
καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισιν.
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
λίσσεθ' ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον. 660
„ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
παίδων ἠδ' ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
ἠμὲν ὅτεῳ ζώουσι καὶ ᾧ κατατεθνήκασιν.

646. τὴν – ποδηνεκέα, dieselbe Construction wie ν, 340 ἃς εἶχον ταμεσίχροας, vgl. ebend. 406f.

653. εἰσωποὶ δ' ἐγένοντο νεῶν, ohne Zweifel die Troer, d. h. die Angehörigen des Hektor, von welchem zuletzt die Rede war. Den Gegensatz machen 655 Ἀργεῖοι. Uebrigens heisst εἰσωποὶ ἐγένοντο nicht nur: sie wurden ansichtig, sondern: sie hatten unmittelbar vor sich, gerade gegenüber (vis-à-vis), so dass sie, wie das Folgende sagt, ganz vom Halbkreis der Schiffe umschlossen waren, die Argiver aber aus diesem Ringe heraus und hinter die Schiffe zurückweichen mussten. So wird bei Apollon. Rhod. 2, 751 εἰσωποί vom Scholiasten erklärt: ἐναντίοι, ἐσώτεροι γενόμενοι. — ἄκραι νῆες κτέ. die äussersten und zugleich vordersten Schiffe.

654. τοὶ δ' ἐπέχυντο, während sie (die Troer) immer noch zuströmten = περιέσχεθον – ἐπιχεομένους. Bekanntlich steht ὁ δὲ oft auch, wo das Subject dasselbe bleibt.

656. αὐτοῦ παρὰ κλισίῃσιν, wohl gleich hinter den Schiffen (bei den Schiffsschnäbeln); dort hielten sie wieder Stand und sammelten sich.

657. αἰδὼς καὶ δέος, vgl. γ, 172 αἰδοῖος – δεινός. ω, 435 δείδοικα καὶ αἰδέομαι. — ὁμόκλεον, ermunterten sich gegenseitig.

660. ὑπὲρ τοκέων = Od. ο, 261 ὑπὲρ θυέων, wie sonst πρὸς τοκέων u. dgl. Vgl. zu Od. β, 68.

662. ἐπὶ – μνήσασθε gehört unmittelbar zusammen. Uebrigens vgl. Virg. Aen. 10, 280 *Nunc coniugis esto Quisque suae tectique memor.*

15 τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
666 ἑστάμεναι κρατερῶς· μηδὲ τρωπᾶσθε φόβονδε."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
670 ἠμὲν πρὸς νηῶν καὶ ὁμοιίου πολέμοιο.
Ἕκτορα δὲ φράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδ' ἐμάχοντο,
ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν.
οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ
675 ἑστάμεν ἔνθα περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν·
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπῴχετο μακρὰ βιβάσθων,
νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσιν,
κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς,
680 ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται

668. *νέφος ἀχλύος*, die Wolke der Dunkelheit, die verfinsternde Wolke, vgl. ε, 127. Von einer solchen war aber bisher keine Rede, wenn man nicht vielleicht — freilich mit geringer Wahrscheinlichkeit — 594f. *θέλγε δὲ θυμὸν Ἀργείων* (Zeus), vgl. mit 321 f., darauf beziehen will. So auch ν, 435 *θέλξας ὄσσε φαεινά* (Poseidon). Athene konnte diese Wirkung auch abwesend hervorbringen, vgl. ϑ, 218.

670. *ἠμὲν – καὶ* für *ἠμὲν – ἠδέ*. *πόλεμος* ist, wie der Gegensatz zeigt, örtlich zu fassen.

673. *μάχην ἐμάχοντα* wie Od. η, 50 *δαίτην δαινυμένους* (ohne ein Adjectiv).

674. *οὐδ' ἄρ' ἔτ' Αἴαντι*. Auch Aias war, wie es scheint, seit 560 bei der allgemeinen Flucht 636f. bis in das Hintertreffen zurückgedrängt worden.

676. *νηῶν ἴκρι' ἐπῴχετο*, d. h. er sprang von einem Schiff auf das andere. *ἴκρια*, die Bordbrüstung (vgl. zu Od. γ, 353. μ, 230), das durch die Rippen und Planken gebildete Bord.

677f. *ξυστὸν – ναύμαχον κτέ.*, vgl. zu 388f.

679. *ὡς δ' ὅτ' ἀνήρ*. Das eig. hierzu gehörende Verbum kommt als Zwischensatz 683f. *ὁ δ' – ἀμείβεται*. — Ueber *κελητίζειν* vgl. zu Od. ε, 371 *κέληθ' ὡς ἵππον ἐλαύνων* und zu Il. κ, 513 *ἵππων ἐπεβήσετο*. Hier ist an einen stehenden Kunstreiter zu denken (683f.). — Zu *ὅς τ' ἐπεὶ* vgl. γ, 4.

680. *συναείρεται* = *συναείρηται*. Vgl. zu κ, 499 *σὺν δ' ἤειρεν ἱμᾶσι*. — Der Zusatz *ἐκ πολέων* zeigt an, dass es ausgesuchte, namentlich hinsichtlich der Schnelligkeit zu einander passende Pferde sein müssen.

681. *ἐκ πεδίοιο*. Der Dichter denkt sich wahrscheinlich die Zuschauer auf der Stadtmauer oder auf einer Erhöhung in der Nähe des Thores. — *μέγα προτὶ ἄστυ*. In

λαοφόρον καθ᾽ ὁδόν· πολέες τέ ἑ θηήσαντο **15**
ἀνέρες ἠδὲ γυναῖκες· ὁ δ᾽ ἔμπεδον ἀσφαλὲς αἰεὶ
θρώσκων ἄλλοτ᾽ ἐπ᾽ ἄλλον ἀμείβεται, οἱ δὲ πέτονται·
ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν 685
φοίτα μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ᾽ ἵκανεν,
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
ἀλλ᾽ ὥς τ᾽ ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων 690
ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βοσκομενάων,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρῴροιο
ἀντίος ἀΐξας. τὸν δὲ Ζεὺς ὦσεν ὄπισθεν
χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ᾽ αὐτῷ. 695
αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη.
φαίης κ᾽ ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
ἄντεσθ᾽ ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισιν ὅδ᾽ ἦν νόος· ἤτοι Ἀχαιοὶ
οὐκ ἔφασαν φεύξεσθαι ὑπὲκ κακοῦ ἀλλ᾽ ὀλέεσθαι, 700
Τρωσὶν δ᾽ ἔλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου
νῆας ἐνιπρήσειν κτενέειν θ᾽ ἥρωας Ἀχαιούς.
οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν·
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν 705
ἐς Τροίην, οὐδ᾽ αὖτις ἀπήγαγε πατρίδα γαῖαν.

kleinen Orten bekommt man ein solches Schauspiel nicht zu sehen.

684. *θρώσκων – ἀμείβεται* s. v. a. *ἀμειβόμενος θρώσκει*. Hierin liegt der Vergleichungspunct.

690. *ὀρνίθων πετεηνῶν* hängt von *ἔθνος* ab.

692. *χηνῶν – δουλιχοδείρων* = *β*, 460.

694. *ὦσεν*, er stiess, drängte ihn von hinten, trieb ihn mit Gewalt vorwärts.

697. *φαίης κε*, vgl. Od. *ψ*, 135 *ὥς κέν τις φαίη*.

699. *τοῖσι δέ* geht auf beide kämpfenden Theile; *μαρναμένοισιν* aber verbinde mit dem Verbum *ἦν ὅδε νόος*.

700. *οὐκ ἔφασαν*, d. h. sie waren entschlossen, eher zu sterben als zu fliehen.

701. *Τρωσὶν – ἑκάστου*. Vermischung zweier Constructionen.

705. *ἣ Πρωτεσίλαον ἔνεικεν*. Bei diesem Schiffe kämpft auch Patroklos nach *π*, 286–786.

706. *οὐδ᾽ αὖτις ἀπήγαγε*, vgl. *β*, 701 f. und *ν*, 681.

15 τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
δῄουν ἀλλήλους αὐτοσχεδόν, οὐδ' ἄρα τοί γε
τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδέ τ' ἀκόντων,
710 ἀλλ' οἵ γ' ἐγγύθεν ἱστάμενοι, ἕνα θυμὸν ἔχοντες,
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισιν.
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων
715 ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δὲ κέλευεν.
„οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀυτήν.
νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκεν,
720 νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν
αὐτόν τ' ἰσχανάασκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεύς
725 ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει."
ὣς ἔφαθ', οἱ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν·

707. τοῦ περ δὴ περὶ νηός, vgl. 416 τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον.

709. ἀμφὶς μένον, d. i. χωρὶς ἀλλήλων ἔμενον (im Gegensatz von ἐγγύθεν ἱστάμενοι), sie warteten getrennt aus einander stehend.

711. πελέκεσσι καὶ ἀξίνῃσι, vgl. zu ν, 612.

713. μελάνδετα, d. i. σιδηρόδετα. Vgl. Hesiod. Opera et D. 151 μέλας δ' οὐκ ἔσκε σίδηρος.

714. ἐκ χειρῶν – ἀπ' ὤμων, indem die jene haltenden Hände und Arme (bei den Schultern) abgehauen wurden; also fielen die Schwerter von den Schultern an, d. h. mit denselben.

716. πρύμνηθεν ἐπεὶ λάβεν erg. τὴν νῆα, nach 704 πρύμνης νεὸς ἥψατο,

717. ἄφλαστον, vgl. zu ι, 241 νηῶν ἄκρα κόρυμβα.

719f. πάντων ἄξιον ἦμαρ, einen Alles aufwiegenden, für alles Erduldete Ersatz gewährenden Tag. νῆας ἑλεῖν giebt dazu die Erklärung. — θεῶν ἀέκητι darf Hektor sagen, da er sich des besondern Beistandes von Zeus bewusst ist.

721. κακότητι γερόντων κτέ. ist auf die ganze bisherige Dauer des Krieges, nicht speciell auf die letzten Tage zu beziehen. Anderswo heisst es freilich, Hektor habe sich aus Furcht vor Achilleus nicht zu den Schiffen hinausgewagt.

727. Αἴας δ' οὐκέτ' ἔμιμνε. Aias bleibt auch hier seinem in dem Gleichniss λ, 558–562 geschilder-

ἀλλ᾽ ἀνεχάζετο τυτθόν, ὀιόμενος θανέεσθαι, 15
θρῆνυν ἐφ᾽ ἑπταπόδην, λίπε δ᾽ ἴκρια νηὸς ἐίσης.
ἔνθ᾽ ἄρ᾽ ὅ γ᾽ ἑστήκει δεδοκημένος, ἔγχεϊ δ᾽ αἰεὶ 730
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ.
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν.
„ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
ἦέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω, 735
ἦέ τι τεῖχος ἄρειον, ὅ κ᾽ ἀνδράσι λοιγὸν ἀμύναι;
οὐ μέν τι σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα,
ᾗ κ᾽ ἀπαμυναίμεσθ᾽ ἑτεραλκέα δῆμον ἔχοντες·
ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων,
πόντῳ κεκλιμένοι, ἑκὰς ἥμεθα πατρίδος αἴης· 740
τῷ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο."
ἦ, καὶ μαιμώων ἔφεπ᾽ ἔγχεϊ ὀξυόεντι.
ὅς τις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο
σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος,
τὸν δ᾽ Αἴας οὔτασκε δεδεγμένος ἔγχεϊ μακρῷ. 745
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.

ten Charakter treu; er weicht der Gewalt, aber thut selbst weichend dem Feinde noch grössern Schaden; vgl. zu λ, 548 ff. und unten 742–746. Uebrigens konnten die Troer bisher gegen Aias nur βέλεα gebrauchen, da die ungeheure Stange, die er nach 677 f. führte, ihnen nicht gestattete, ihm näher zu kommen.

729. θρῆνυν ἐφ᾽ ἑπταπόδην, auf die sieben Fuss lange Fussbank — mehr im Innern des Schiffes und etwas tiefer als die Bordbrüstung, wahrscheinlich in die Quere gehend — worauf der Steuermann die Füsse zu setzen pflegte. Nach Andern die oberste Ruderbank.

736. τεῖχος ἄρειον erg. ebenfalls εἶναι ὀπίσσω, so dass natürlich an die Grabenmauer vor dem Schiffslager nicht zu denken ist. Vgl. Virg. Aen. 9, 781 *Quo deinde fugam, quo tenditis? inquit. Quos alios muros, quae iam ultra moenia habetis?* — τεῖχος ἄρειον wie δ, 407: eine kriegerische Mauer, ein schirmender Wall.

738. ἑτεραλκής, dem andern (bisher unterliegenden) Theile Kraft und Sieg verleihend.

739. ἀλλ᾽ ἐν γὰρ κτέ. Eig. sollte 741 als Hauptsatz mit ἀλλά in Verbindung gesetzt sein. Vgl. zu η, 73 ὑμῖν δ᾽ ἐν γὰρ ἔασιν.

741. τῷ ἐν χερσὶ φόως κτέ. Schol. διὸ ἐν ταῖς χερσὶν ἡμῶν καὶ ἐν τῷ μάχεσθαί ἐστιν ἡ σωτηρία, οὐκ ἐν προσηνείᾳ οὐδ᾽ ἐν ἀργίᾳ.

Π.

16 ὣς οἱ μὲν περὶ νηὸς ἐυσσέλμοιο μάχοντο·
Πάτροκλος δ' Ἀχιλῆι παρίστατο, ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων ὥς τε κρήνη μελάνυδρος,
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
5 τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠύτε κούρη
νηπίη, ἥ θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,
εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
10 δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται·
τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.

Dieses Buch und das sich unmittelbar daran schliessende siebzehnte machen die s. g. *Πατρόκλεια* aus, d. h. die *ἀριστεία Πατρόκλου*, so dass dieser Name auch den Kampf über seinen Leichnam unter sich begreift. In loserer Verbindung damit steht das dreiundzwanzigste Buch, das die ihm zu Ehren veranstalteten Leichenspiele beschreibt. Die erste Scene — das Auftreten des Patroklos vor Achilleus — wurde schon seit dem Ende des eilften Buches erwartet; die Zwischenzeit brachte jener mit der Verpflegung des Eurypylos zu, welche er erst *ο*, 390–404 einem Diener desselben übertragen hat. Auf die dazwischen liegenden vier Bücher *μ–ο* enthält dieses und das folgende nur wenige Beziehungen, namentlich *π*, 1. 293. 301. Auch zeigt die Ausführlichkeit des Einganges, so wie die detaillirte Umständlichkeit in der Beschreibung der Rüstung des Patroklos und der Anordnung der Myrmidonen 130–220, dass dieser Theil des Gedichtes ursprünglich als ein für sich bestehendes Ganzes angelegt war; daher man sich auch nicht wundern darf, dass die hier hervortretende Gemüthsstimmung des Patroklos so wenig durch die vorher von ihm gezeigte motivirt erscheint.

1. *περὶ νηός*, vgl. *ο*, 704–708. Der Kampf um das E i n e Schiff ist auch ein Kampf um das ganze S c h i f f s l a g e r (*ο*, 743).

2. *παρίστατο*, er s t a n d neben und vor ihm, konnte aber vor Erschütterung und Wehmuth nicht zu Worte kommen. Der Moment des ersten Zusammentreffens ist also schon vorüber.

3f. *ὥς τε κρήνη – ὕδωρ* = *ι*, 14 f.

7. *τίπτε δεδάκρυσαι*. Die ausserordentliche Erregtheit des Patroklos lässt es wohl begreifen, dass Achilleus der eigentlichen Veranlassung seiner Aussendung (*λ*, 611 –615) nicht mehr nachfragt; zudem hätte der Bericht jetzt für den Zuhörer nicht das mindeste Interesse mehr.

9. *εἱανοῦ ἁπτομένη*. Die Endsylbe des ersten Wortes bildet mit dem Anfang des zweiten eine Synizese; im Uebrigen vgl. zu *γ*, 385 und *χ*, 493 *χλαίνης ἐρύων – χιτῶνος*.

ἦέ τι Μυρμιδόνεσσι πιφαύσκεαι; ἦ ἐμοὶ αὐτῷ; 16
ἦέ τιν᾽ ἀγγελίην Φθίης ἐξ ἔκλυες οἶος;
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον Ἄκτορος υἱόν,
ζώει δ᾽ Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσιν, 15
τῶν κε μάλ᾽ ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων.
ἦε σύ γ᾽ Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῇσιν ὑπερβασίης ἕνεκα σφῆς;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.“
τὸν δὲ βαρὺ στενάχων προσέφης, Πατρόκλεις ἱππεῦ, 20
„ὦ Ἀχιλεῦ Πηλέος υἱέ, μέγα φέρτατ᾽ Ἀχαιῶν,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης, 25
οὔτασται δ᾽ Ὀδυσεὺς δουρικλυτὸς ἠδ᾽ Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀιστῷ.
τοὺς μέν τ᾽ ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,

12 f. *ἦέ τι – πιφαύσκεαι; — ἦέ τιν᾽ ἀγγελίην κτὲ.* Jede dieser — durch Einwirkung des Affectes asyndetischen — Fragen, so wie auch die Vers 17 enthaltene ist für sich bestehend; vgl. zu Od. *α*, 175. Der erste Vers ist mit Lehrs lateinisch so auszudrücken: „*an Myrmidonibus aliquid affers? an mihi ipsi?*“ — Obgleich Achilleus früher sich selbst schon zum Mitleid mit seinen Landsleuten geneigt hatte, bereiten jetzt, da es sich um einen entscheidenden Act der Selbstverleugnung handelt, doch Stolz und beleidigtes Selbstgefühl wenigstens momentan ihm einen schweren Kampf, so dass er sich absichtlich stellt, als ahnete er die Ursache von Patroklos' Thränen nicht. Erst zuletzt 17 f. kommt er auf die wahre Ursache davon, vergisst aber nicht beizufügen, dass die Argeier um ihrer eigenen Schuld willen leiden.

19. *ἐξαύδα – ἄμφω* = *α*, 363. Vgl. Einleit. S. 5.

20. *προσέφης, Πατρόκλεις*, vgl. zu Od. *ξ*, 55. Es ist natürlich, dass der jetzt so tief bekümmerte und bald so unverdient unterliegende Patroklos die besondere Theilnahme des Dichters in Anspruch nimmt.

23 f. *οἱ μὲν γὰρ – οὐτάμενοί τε* = *λ*, 825 f., vgl. ebend. 658 f., wo auch die drei nächsten Verse folgen. Dass unter den Verwundeten Machaon nicht erscheint, erklärt sich aus dem zu *λ*, 642 Bemerkten; auch gehörte derselbe in keinem Falle zu den bedeutendsten Helden, so dass seine Verwundung als eine wesentliche Ursache der bedrängten Lage der Achäer betrachtet werden könnte.

25–27. *Διομήδης – Εὐρύπυλος.* Beachte die wohl überlegte Reihenfolge, in der die Verwundeten genannt werden.

28. *ἰητροί*, dergleichen wohl jede Abtheilung des Heeres bei sich hatte, vgl. *ν*, 213.

29 ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.
30 μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις,
αἰναρέτη· τί σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
νηλεές, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς,
οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα
35 πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι.
40 δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ' ἐμὲ σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ
45 ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
ὣς φάτο λισσόμενος μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
οἷ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς

29. ἔπλευ, vgl. zu α, 418 (506).

31. αἰναρέτη. Die ἀρετή des Achilleus wird hier in die unbeugsame Festigkeit seines Einmal gefassten Entschlusses gesetzt. In diesen Vorwürfen aber (29–35), namentlich im Gegensatze zu 36–45, liegt zugleich eine starke, wenn auch indirecte Aufforderung an Achilleus, selbst wieder am Kampfe für sein Volk Theil zu nehmen. — Zu τί σευ ἄλλος ὀνήσεται vgl λ, 762f. αὐτὰρ Ἀχιλλεὺς οἶος τῆς ἀρετῆς ἀπονήσεται.

33–35. οὐκ ἄρα σοί γε. Vgl. die Nachahmung Virgil's Aen. 4, 365ff. *Nec tibi diva parens generis nec Dardanus auctor, Perfide, sed duris genuit te cautibus horrens Caucasus Hyrcanaeque admorunt ubera tigres.* γλαυκή als Beiwort des Meeres in dieser einzigen homerischen Stelle, nach Göbel: **blank** (weil glatt und bewegungslos), als Bild der Gefühl- und Theilnahmlosigkeit. — Zu dem brachylogischen ὅτι τοι νόος κτέ. vgl. das bei Od. ε, 340 = χ, 36 Bemerkte.

36–45. εἰ δέ τινα – κλισιάων. Vgl. zu λ, 794–803, wo Nestor diesen Rath giebt.

46f. μέγα νήπιος. Den Grund dieser Bezeichnung giebt der folgende Satz an, ἦ γὰρ ἔμελλεν (es war vom Schicksal bestimmt, dass seine Bitte ihm unbewusst seinen Tod zur Folge habe), wozu vgl. λ, 604 κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή. — οἷ αὐτῷ, vgl. zu ι, 306 οἷ ἔμεναι.

„ὤ μοι, διογενὲς Πατρόκλεις, οἷον ἔειπες. 16
οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα οἶδα, 50
οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησιν ἀμέρσαι
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκῃ·
αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ. 55
κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
δουρὶ δ' ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν 60
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν. ἦτοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δή

50. ἥν τινα οἶδα. Damit wird auch die Kenntniss einer solchen Weissagung geleugnet. Vgl. Od. β, 43 ἥν χ' ὑμῖν σάφα εἴπω; zu οὔτε – ἐμπάζ. Od. β, 201.

52. τόδε weist auf den folgenden Satz ὁππότε – ἀνὴρ ἐθέλῃσιν κτέ. = ἐκ τοῦδε.

53f. τὸν ομοῖον, den ihm an Geburt und innerer Würde Gleichstehenden. — ὅ τε (ὅς τε) – προβεβήκῃ ist Ergänzung oder Vervollständigung des unbestimmten Subjectes ἀνήρ (vgl. zu ξ, 92) und deutet auf Agamemnon als πλεόνεσσιν ἀνάσσων (α, 281) und βασιλεύτερος (ι, 160).

55. ἐπεὶ πάθον ἄλγεα θυμῷ geht auf die von ihm erduldeten Beschwerden und Gefahren des Krieges, wie Od. ι, 120 von Jägern: οἵ τε καθ' ὕλην ἄλγεα πάσχουσιν. Vgl. 57 πόλιν εὐτ. πέρσας und α, 162–168.

57. εὐτείχεα. Ueberlieferter unregelmässiger Accent, da sonst immer εὐτειχής geschrieben wird. Die Stadt ist Lyrnessos nach β, 690.

59. Ἀτρείδης – μετανάστην, vgl. zu ι, 648. Der Accusativ steht, als ob ἀφείλετό (με) vorhergegangen wäre.

60. ἀλλὰ τὰ μὲν – ἐάσομεν = σ, 112. τ, 65 = ἀλλὰ τὰ μὲν προτετυγμένα τετύχθαι ἐάσωμεν, doch das schon Geschehene wollen wir geschehen sein (und nun ruhen) lassen. οὐδ' ἄρα πως ἦν κτέ., und man darf ja nicht (durfte von jeher nicht) leidenschaftlich, unbeugsam und unversöhnlich grollen im Gemüthe. — Zu ἄρα ἦν vgl. das bei γ, 183 ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο Bemerkte, und für den Gedanken τ, 67 οὐδέ τί με χρὴ ἀσκελέως αἰεὶ μενεαινέμεν.

61. ἦτοι ἔφην γε κτέ. (vgl. Od. λ, 430). Gegensatz zu τὰ μὲν – ἐάσομεν, wodurch Achilleus zu erkennen giebt, dass er seines frühern Vorsatzes wegen wenigstens persönlich noch nicht wieder für sein Volk kämpfen könne: doch ich gedachte, hatte beschlossen, καίτοι ἐλογισάμην u. s. w. Darum sendet er jetzt nur den Patroklos, aber mit seinen Waffen.

62. οὐ πρὶν – ἀλλ' ὁπότ' ἄν. Veränderte Construction für οὐ – πρὶν ἄν. Ungefähr derselbe Vor-

16 νῆας ἐμὰς ἀφίκηται ἀυτή τε πτόλεμός τε.
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
65 ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν
νηυσὶν ἐπικρατέως, οἱ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκεν
70 θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης. τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσιν
75 μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι·
οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἱ δ' ἀλαλητῷ
πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
80 ἀλλὰ καὶ ὥς, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
πείθεο δ' ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,

satz wie hier findet sich von Achilleus ausgesprochen an die Gesandtschaft ι, 650–653.

65. ἄρχε – μάχεσθαι, führe zum Kampfe an.

66. εἰ δή, wenn denn (vgl. zu α, 61), hier s. v. a. da ja, da nun einmal, nur etwas bescheidener ausgedrückt. Selbst das im Vorigen gemachte Zugeständniss fällt dem Achilleus schwer: darum knüpft er es noch an eine zwar schon eingetretene, aber doch ziemlich beschränkende Bedingung (66–70), die ihn dann wieder auf seine eigenen Vorzüge führt.

72f. εἴ μοι – εἰδείη, wenn er billig gegen mich wäre, d. h. wenn er mich nicht beleidigt und dadurch meinen Groll hervorgerufen hätte. Der stolze Achilleus will noch immer nicht eingestehen, dass die Hauptursache des eingetretenen Unglücks in ihm liegt, und namentlich sich nicht erinnern, dass Agamemnon im neunten Buche alles Mögliche zur Aussöhnung anerboten hat, er will nicht im Unrecht sein. — στρατὸν entspricht dem obigen νηυσίν (67).

77. ἐκ κεφαλῆς, vgl. λ, 462 ὅσον κεφαλὴ χάδε φωτός. — Ἕκτορος ἀνδροφόνοιο ist von ὄψ abhängig.

81. μὴ δὴ πυρὸς κτέ. Demnach waren noch keine Schiffe der Achäer wirklich angezündet; vgl. 113. 124.

83. ὥς τοι – θείω, wie ich dir des Wortes Vollendung — das vollgültige, Alles umfassende Wort (meine feste Willensmei-

ὥς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι 16
πρὸς πάντων Δαναῶν, ἀτὰρ οἱ περικαλλέα κούρην 85
ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις. 90
μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηιοτῆτι,
Τρῶας ἐναιρόμενος, προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσιν 95
θήῃς, τοὺς δέ τ' ἐᾶν πεδίον κάτα δηριάασθαι."
[αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
μήτε τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν,
μήτε τις Ἀργείων, νῶιν δ' ἐκδῦμεν ὄλεθρον,
ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν.] 100

nung nach Nitzsch) — an's Herz legen will. — θείω (θῶ) der Conjunctiv ungefähr was das Futurum. Die wirkliche Vorschrift folgt dann 87 ἐκ νηῶν – πάλιν.

84. ὡς ἄν μοι – ἄρηαι, sofern durch Befolgung dieses Rathes dem Achilleus Gelegenheit gegeben werden soll, selbst die höchste Tapferkeit zu beweisen. Je näher Achilleus dem Momente rückt, wo er wirklich seinen Groll ablegen will, desto werthvoller erscheinen ihm auch wieder die dadurch zu erlangenden Vortheile.

87. ἐκ νηῶν – πάλιν. Die Erklärung dieser Worte giebt der Schluss von Achilleus' Gebet 246–248.

90. Τρωσὶ φιλοπτολέμ., also auch nicht mit Hektor nach σ, 14. — θήσεις = θείης ἄν, vgl. κ, 41. Od. ε, 416.

94. ἐμβήῃ, ἐμποδὼν στῇ, ἐναντιώσηται. Eine Hinweisung auf das 700 ff. Geschehende.

95. ἀλλὰ πάλιν τρωπᾶσθαι, im Gegensatz des obigen μὴ σύ γε .. λιλαίεσθαι – μηδ' . . . ἡγεμονεύειν.

96. τοὺς δέ, die anderen, Achäer und Troer.

97–100. αἲ γάρ, – λύωμεν. Diese vier in Form und Inhalt gleich wunderlichen Verse, die schon von Zenodotos und Aristarch verworfen werden, sollten wohl den noch immer unbesiegten und unbefriedigten Ehrgeiz des Achilleus anschaulich machen, vermöge dessen er, um den Ruhm des eroberten Troia nur mit Patroklos theilen zu müssen, selbst allen Argeiern den Tod wünscht, ganz anders als unten 246–248. In der Verbindung der zwei ersten Verse hat οὖν nach αἲ γάρ etwas Auffallendes und Anakoluthisches. — Ueber νῶιν ἐκδῦμεν (verkürzter Optativ = ἐκδυίημεν oder ἐκδύημεν, vgl. zu Od. ι, 377) s. zu Od. ψ, 52 σφῶιν – ἐπιβῆτον. — In der stehenden Wunschformel αἲ

ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν.
δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοί
βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινή
105 πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ' αἰεί
κὰπ φάλαρ' εὐποίηθ'. ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν
ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδ' ἐδύναντο
ἀμφ' αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεσσιν.
αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κὰδ δέ οἱ ἱδρώς
110 πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν
ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.
ἔσπετε νῦν μοι, μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστάς
115 πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθεν,
ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
πῆλ' αὔτως ἐν χειρὶ κόλον δόρυ, τῆλε δ' ἀπ' αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα, ῥίγησέν τε,

γάρ – Ἄπολλον ist auf keinen der Götternamen ein besonderes Gewicht zu legen.

102. *Αἴας – βελέεσσιν.* Dieselbe Anknüpfungsform wie oben ο, 727.

104f. *δεινὴν – καναχὴν ἔχε* (794) = *δεινὸν ἐκανάχιζε.* — *βάλλετο*, weil die Feinde noch in einiger Entfernung von ihm waren, bis Hektor 114 ganz nahe zu ihm hintrat. Die Situation wie auch die Bewaffnung des Aias ist offenbar eine andere als oben ο, 716–732 vgl. 676–686.

106. *κὰπ φάλαρα*, vgl. λ, 350f. *καὶ βάλεν – ἄκρην κὰκ κόρυθα.*

107. *ἔμπεδον αἰέν* = ο, 683 *ἔμπεδον ἀσφαλὲς αἰεί.* Niemand konnte ihm jetzt den Schild abnehmen wie ν, 710. — *οὐδ' ἐδύναντο – πελεμίξαι* erg. *τὸ σάκος*, und doch vermochten sie nicht ihn an ihm zu erschüttern, herunterzuschlagen, obgleich sie mit Geschossen schwer darauf trafen.

111. *κακὸν – ἐστήρικτο*, vgl. 215 *ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε κτέ.*

112. *ἔσπετε νῦν μοι.* Die Musen werden wieder angerufen, weil etwas längst Erwartetes und von entscheidender Wichtigkeit geschehen soll.

115. *αἰχμῆς* hängt von *ὄπισθεν* ab.

116. *ἀντικρὺ δ' ἀπάραξε*, er schlug ihn ihm ganz entzwei, wahrscheinlich während Aias den Speer zum Wurfe schon geschwungen emporhielt, so dass die Spitze nach 117 noch im Schwunge hinausfuhr und erst in einer gewissen Entfernung niederfiel. — *τὸ μέν*, das eine Stück, wird nachher erklärt durch *κόλον δόρυ*; vgl. Od. δ, 508.

119f. *ῥίγησέν τε* ist zwischen die Theile des Satzes *γνῶ – ἔργα*

ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κεῖρεν 16
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην· 121
χάζετο δ' ἐκ βελέων. τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
νηὶ θοῇ· τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυτο φλόξ.
ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεύς
μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν 125
„ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε.
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηίοιο ἰωήν.
μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται.
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω."
ὣς φάτο, Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῷ. 130
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
ποικίλον ἀστερόεντα ποδώκεος Αἰακίδαο.
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον 135
χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε.
κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
εἵλετο δ' ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει.

θεῶν eingeschoben, soll aber die Folge davon oder den begleitenden Umstand mit Nachdruck hervorheben: er erkannte mit Schrecken. Er sah nämlich, dass er jetzt, zwar nicht durch eigene Schuld, aber nach dem Willen der auch den Zufall lenkenden Götter unterliegen müsse. Die Verbindung des eingeschobenen Satzes durch δὲ statt durch τε wäre gerade dem Zusammenhange zuwider. — ὅ ῥα (ὅτι ἄρα), Erklärung von ἔργα θεῶν. — μάχης μήδεα, τὰ βουλεύματα τῶν Ἀχαιῶν, vgl. ο, 467.

122. χάζετο δ' ἐκ βελέων sagt mehr als ο, 728 ἀλλ' ἀνεχάζετο τυτθόν.

123. τῆς δέ abhängig von κατὰ — κέχυτο (κατεκέχυτο).

124. τὴν μὲν (zurückweisend) πρύμνην (eig. adjectivisch) = τῆς μὲν τὴν πρύμνην, jenes (Schiff) am Hintertheile, das Hinterverdeck desselben.

127. ἰωήν wird erklärt durch ὁρμήν, ist aber doch dasselbe mit dem λ, 308 vorkommenden ἰωὴ = ἰά, vielleicht eig. der Hauch, Athem und der damit verbundene Laut.

128. μὴ δὴ νῆας ἕλωσι. Unabhängiger Satz zum Ausdruck der Besorgniss = wenn nur nicht u. s. w.; vgl. zu Od. ρ, 24f. Die ganze Rede ist gemäss der angsthaften Aufregung des Sprechenden asyndetisch. οὐκέτι — πέλωνται, vgl. zu Od. θ, 299 ὅτ' οὐκέτι φυκτὰ πέλοντο.

131—139. κνημῖδας — ἀρήρει. Mit wenigen Abweichungen gleichlautend mit γ, 330—338; vgl. Ein-

16 ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο,
141 βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
145 ἵππους δ' Αὐτομέδοντα θοῶς ζευγνῦμεν ἄνωγεν,
τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα,
πιστότατος δέ οἱ ἔσκε μάχῃ ἔνι μεῖναι ὁμοκλήν.
τῷ δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην,
150 τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ ἅρπυια Ποδάργη,
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.
ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς,
ὃς καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποις ἀθανάτοισιν.
155 Μυρμιδόνας δ' ἄρ' ἐποιχόμενος θώρηξεν Ἀχιλλεύς

leit. S. 6. Solche Stellen wurden natürlich von den Rhapsoden schneller und wie *ἐν παρόδῳ* vorgetragen.

140–144. *ἔγχος – ἡρώεσσιν.* Die vier letzten dieser Verse finden sich auch *τ*, 388–391 wieder, erscheinen aber auch hier zur Verherrlichung des Achilleus ganz angemessen.

143. *Πηλιάδα μελίην.* Die Bezeichnung *Πηλιάς* ist ohne Zweifel vom Berge *Πήλιον* hergenommen (vgl. Apollon. Rhod. 2, 1188 *Πηλιάδος κορυφῆς*), nach dem Zusammenhang unserer Stelle scheint aber auch eine Anspielung auf *πῆλαι* und *Πηλεύς* darin zu liegen. Bei Ovid. Metam. 12, 74. 13, 109 heisst sie theils *Peliaca* (*cuspis*), theils *Pelias* (*hasta*).

145. *ζευγνῦμεν* = *ζευγνύμεναι*, was sich erklären lässt wie *τιθήμεναι* (*ψ*, 83), vgl. zu *κ*, 34 und Od. *ϑ*, 243 *δαινύῃ*. Automedon wurde nach Patroklos' Tode auch Wagenlenker des Achilleus.

148. *τῷ δὲ καί*, wie er es ihm (145) befohlen hatte.

149. *Ξάνθον καὶ Βαλίον*, die dem Peleus bei seiner Hochzeit mit Thetis von Poseidon geschenkt worden waren (Apollodor, vgl. unten 867). Ihre Abstammung von Zephyros und der Harpyie Podarge (vgl. *τ*, 400 und zu Od. *β*, 11. *α*, 241) soll ihre ausserordentliche Schnelligkeit erklären.

152. *ἐν δὲ παρηορίῃσιν*, vgl. zu *ϑ*, 87 und Od. *δ*, 590. Das dritte Pferd dient zur Auszeichnung des grossartigen Unternehmens; es wird 467–469 von Sarpedon getödtet.

153. *Ἠετίωνος πόλιν*, vgl. zu *α*, 366.

154. *ἕπετο*, *aequabat sequendo* (Virg. Aen. 3, 671), vgl. zu Od. *υ*, 237.

155. *θώρηξεν* = *ἄμεινον ἐκόσμησεν*, wie *ξ*, 379 *ἐκόσμεον* gebraucht ist. Denn das *θωρήσσειν* im eigentlichen Sinne besorgt jeder an sich selbst; daher ist *σὺν τεύχεσιν* hinzugefügt.

πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν. οἱ δὲ λύκοι ὣς 156
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή,
οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δῃώσαντες
δάπτουσιν· πᾶσιν δὲ παρήιον αἵματι φοινόν·
καί τ' ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου 160
λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμός
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο 165
ῥώοντ'. ἐν δ' ἄρα τοῖσιν ἀρήιος ἵσταт' Ἀχιλλεύς,
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
πεντήκοντ' ἦσαν νῆες θοαί, ᾗσιν Ἀχιλλεύς
ἐς Τροίην ἡγεῖτο διίφιλος· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι. 170
πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο, τοῖς ἐπεποίθει,
σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσεν.

156. *οἱ δέ.* Das Verbum hierzu folgt erst 166 im Nachsatz, *ῥώοντο.*

157. *περὶ φρεσίν*, vgl. zu Od. *ε*, 36 *περὶ κῆρι* und zu Il. *α*, 317.

159. *δάπτουσιν* noch fortdauernd als Haupthandlung: die Wölfe sind noch darin begriffen. Im Folgenden aber (160–163) wird ein späterer Moment aus demselben Bilde dargestellt, auf den sich die Vergleichung eigentlich bezieht.

160. *καί τ' ἀγεληδὸν ἴασιν.* Als Folge der reichlichen, ja übermässigen (163) Sättigung mit Blut tritt der Durst ein, der sie nach der Quelle hintreibt. — *ἀπὸ κρήνης* ist mit *λάψοντες* zu verbinden.

161. *ὕδωρ ἄκρον*, d. i. *τὸ ἐξ ἐπιπολῆς*, zu oberst, auf der Oberfläche. — *φόνον αἵματος* = *φ. αἱματόεντα*, blutigen Mord, das Blut des gemordeten Wildes.

163. *περιστένεται – γαστήρ*, beengt (geschwellt) und dadurch gespannt ist ihr Magen.

168. *πεντήκοντ' ἦσαν νῆες.* Eine Notiz, die man hier zwar nicht erwartet, aber nach dem Inhalte der übrigen Bücher wohl begreift; auch stimmt sie mit der Angabe des Katalogos (*β*, 685, vgl. 768–779) überein.

170. *πεντήκοντ' ἔσαν ἄνδρες* (vgl. *β*, 719), ohne Zweifel zugleich Ruderer und Krieger; denn die Erwähnung der Ruderer an sich hätte kein Interesse. — *ἄνδρες ἑταῖροι* macht Einen Begriff aus, wie *socii navales.* Zu *κληῖδες* vgl. Od. *β*, 419.

171. *πέντε – ἡγεμόνας*, vgl. *μ*, 87 *πένταχα κοσμηθέντες.* Von *ἡγεμόνας ποιήσατο* hängt *σημαίνειν* ab, über dessen Begriff (im Verhältniss zu *κρατεῖν* und *ἀνάσσειν*) vgl. zu *α*, 288. Aus *αὐτὸς δὲ – ἤνασσεν* 172 ergiebt sich übrigens, dass diese Eintheilung auch schon in der frühern Zeit des Krieges bestehend zu denken sei.

16 *τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,*
υἱὸς Σπερχειοῖο διιπετέος ποταμοῖο,
175 *ὃν τέκε Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη*
Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα,
αὐτὰρ ἐπίκλησιν Βώρῳ Περιήρεος υἱῷ,
ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἕδνα.
τῆς δ' ἑτέρης Εὔδωρος ἀρήιος ἡγεμόνευεν,
180 *παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,*
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς ἀργειφόντης
ἠράσατ', ὀφθαλμοῖσιν ἰδὼν μετὰ μελπομένῃσιν
ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς.
αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς παρελέξατο λάθρῃ
185 *Ἑρμείας ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱόν*
Εὔδωρον, πέρι μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκος εἰλείθυια
ἐξάγαγε πρὸ φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς,
τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο
190 *ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα,*

173. *ἦρχε Μενέσθιος*. Patroklos führt keine Unterabtheilung an, weil er über das Ganze gesetzt ist, vgl. 218–220. — *στίχος*, Reihe, Ordnung, *τάξις*, indem man sich z. B. die Stellung nach Colonnen denkt.

175. *Πολυδώρη* lässt sich ohne Zwang nur auf eine Schwester des Achilleus deuten, von der aber in der übrigen Iliade eben so wenig die Rede ist, als von der Ktimene, Schwester des Odysseus, irgendwo in der Odyssee ausser *ο*, 363.

176. *ἀκάμαντι*. Treffendes Epitheton eines Flusses.

178. *ἀναφανδὸν ὄπυιε = κατὰ νόμον συνῴκει*. Vgl. Od. *ε*, 119f. *παρ' ἀνδράσιν εὐνάζεσθαι ἀμφαδίην, ἤν τίς τε φίλον ποιήσετ' ἀκοίτην*.

179. *ἑτέρης*, d. i. *δευτέρας*, wie im Lat. *alter*.

180. *χορῷ καλή = καλὴ ἐν χορῷ οὖσα, διαπρέπουσα ἐν τῷ χορεύειν*. Vgl. 182f. *μετὰ μελπομένῃσιν ἐν χορῷ*.

183. *χρυσηλακάτου*, vgl. zu Od. *δ*, 122 mit Il. *υ*, 70, wo auf dieses Beiwort noch das andere *ἰοχέαιρα* folgt. — Zu *κελαδεινῆς* vgl. *ι*, 547 *πολὺν κέλαδον καὶ ἀυτήν* (bei der Kalydonischen Jagd).

185. *Ἑρμείας ἀκάκητα* vgl. zu Od. *ω*, 10.

186. *πέρι – μαχητήν* vgl. zu Od. *γ*, 112.

187. *μογοστόκος εἰλείθυια*, vgl. zu *λ*, 270.

188. *ἐξάγαγε πρὸ φόωσδε*, an das Licht hervorbrachte (vorwärts an's Licht führte, *in lucem prodidit*), wie *τ*, 118. *πρὸ* steht in ähnlicher Bedeutung wie *ν*, 388 *διαπρὸ δὲ χαλκὸν ἔλασσεν = εἰς τοὔμπροσθεν*, also *τόπου δηλωτική*.

τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν ἠδ' ἀτίταλλεν, 191
ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος ἀρήιος ἡγεμόνευεν,
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν
ἔγχεϊ μάρνασθαι μετὰ Πηλείωνος ἑταῖρον. 195
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ,
πέμπτης δ' Ἀλκιμέδων Λαέρκεος υἱὸς ἀμύμων.
αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
στῆσεν ἐῢ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν.
„Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω, 200
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσιν
πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ᾐτιάασθε ἕκαστος.
‚σχέτλιε Πηλέος υἱέ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους.
οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν 205
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.'
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. 210
μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισιν
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων,

191. ὁ γέρων Φύλας, der Grossvater des Knaben (180f.). Zu εὖ ἔτρεφεν vgl. ξ, 162.

197. Λαέρκεος, vgl. ρ, 467 und zu ω, 574.

199. ἐπὶ μῦθον ἔτελλεν, vgl. zu α, 25.

200. μή τίς – λελαθέσθω, vgl. zu Od. ω, 248 σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ.

202. πάνθ' ὑπὸ μηνιθμόν = κατὰ πάντα τὸν τῆς ὀργῆς χρόνον. In den folgenden vier Versen werden die Myrmidonen selbst redend eingeführt, wie sie dem Achilleus seine grollende Unthätigkeit vorhalten.

203. χόλῳ hier = χολῇ, mit Galle (statt mit Milch), dagegen 206 in der gewöhnlichen Bedeutung.

207. ταῦτά μ' – ἐβάζετε, vgl. zu μ, 60 θρασὺν Ἕκτορα εἶπε παραστάς. Doch könnte μ' auch für μοι genommen werden, wie ζ, 165 ὅς μ' ἔθελεν φιλότητι μιγήμεναι.

208. ἕης wie ὅου β, 325 = Od. α, 70.

211. ἄρθεν = ἡρμόσθησαν, ἐπυκνώθησαν. Vgl. das folgende ἀράρῃ und 214 ἄραρον.

16 ὣς ἄραρον κόρυϑές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.
15 ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
ψαῦον δ' ἱππόκομοι κόρυϑες λαμπροῖσι φάλοισιν
νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
πάντων δὲ προπάροιϑε δύ' ἀνέρε ϑωρήσσοντο,
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα ϑυμὸν ἔχοντες,
20 πρόσϑεν Μυρμιδόνων πολεμιζέμεν. αὐτὰρ Ἀχιλλεύς
βῆ ῥ' ἴμεν ἐς κλισίην, χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγεν
καλῆς δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
ϑῆκ' ἐπὶ νηὸς ἄγεσϑαι, ἐῢ πλήσασα χιτώνων
χλαινάων τ' ἀνεμοσκεπέων οὔλων τε ταπήτων.
25 ἔνϑα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴϑοπα οἶνον,
οὔ τέ τεῳ σπένδεσκε ϑεῶν, ὅτε μὴ Διὶ πατρί.
τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάϑηρε ϑεείῳ
πρῶτον, ἔπειτα δὲ νίψ' ὕδατος καλῇσι ῥοῇσιν,
30 νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴϑοπα οἶνον.
εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάϑε τερπικέραυνον.
„Ζεῦ ἄνα Δωδωναῖε, Πελασγικέ, τηλόϑι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοί

215–217. ἀσπὶς – ἀλλήλοισιν, vgl. zu ν, 131–133.
221. χηλοῦ – πῶμα, vgl. ω, 228 φωριαμῶν ἐπιϑήματα.
223. ϑῆκ' ἐπὶ νηός, vgl. Od. ν, 71 ἐν νηὶ – κατέϑεντο.
224. ἀνεμοσκεπέων, vgl. Od. ξ, 529 χλαῖναν ἀλεξάνεμον.
227. οὔ τέ τεῳ σπένδεσκε, nämlich er selbst, Achilleus. Denn das erste οὔτε sollte eig. vor τις ἄλλος stehen.
228. τό ῥα, vgl. χ, 307 τό οἱ, wo τὸ auch lang geworden ist. — Betreffend den Gebrauch des Schwefels zur Reinigung vgl. Od. χ, 481–494.
231. μέσῳ ἕρκεϊ, mitten in den Hof, welcher unmittelbar vor der κλισίη (254) war und in dessen Mitte sich ein Altar des Ζεὺς ἑρκεῖος befand; vgl. ω, 306–308.
233. Ζεῦ – Δωδωναῖε. Die einzige Stelle bei Homer, wo Ζεὺς Δωδωναῖος (vgl. über **Dodona** zu Od. ξ, 327) erwähnt wird. — Πελασγικέ (vgl. zu Od. τ, 177), weil Dodona das uralte Heiligthum der Pelasger war. — τηλόϑι ναίων, sofern Zeus eigentlich der persönlich gedachte Himmel ist. Denn nach seinem Sitze in Dodona (sei nun das alte in Thessalien oder das neuere in Epirus gemeint) ist Zeus vielmehr ein naher (benachbarter) Gott für Achilleus.
234. Σελλοί (Ἑλλοί), die alten Bewohner der Umgegend von Do-

σοὶ ναίουσ᾽ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι. 16

ἠμὲν δή ποτ᾽ ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο, 236
τίμησας μὲν ἐμέ, μέγα δ᾽ ἴψαο λαὸν Ἀχαιῶν·
ἠδ᾽ ἔτι καὶ νῦν μοι τόδ᾽ ἐπικρήηνον ἐέλδωρ.
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
ἀλλ᾽ ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσιν 240
μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ,
θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι
μαίνονθ᾽, ὁππότ᾽ ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος. 245
αὐτὰρ ἐπεί κ᾽ ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν."
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε μητίετα Ζεύς.
τῷ δ᾽ ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ᾽ ἀνένευσεν· 250
νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
δῶκε, σόον δ᾽ ἀνένευσε μάχης ἐξαπονέεσθαι.
ἤτοι ὁ μὲν σπείσας τε καὶ εὐξάμενος Διὶ πατρὶ

dona in Hellopia, aus denen auch die Priester des Heiligthums genommen wurden.

235. *σοὶ ὑποφῆται* als Deuter und Ausleger der dem Zeus zugeschriebenen Zeichenorakel. Als altes und ehrwürdiges Herkommen behielten diese auch die Einfachheit in ihrem Aufzuge und ihrer Lebensweise bei. Vgl. Soph. Trach. 1166, wo Herakles von gewissen alten Orakelsprüchen sagt: *ἃ τῶν ὀρείων καὶ χαμαικοιτῶν ἐγὼ Σελλῶν ἐσελθὼν ἄλσος εἰσεγραψάμην πρὸς τῆς πατρῴας καὶ πολυγλώσσου δρυός.*

236–238. *ἠμὲν δή ποτ᾽ – ἠδ᾽ ἔτι καὶ νῦν*, vgl. ξ, 234. Die ganzen drei Verse mit geringer Abweichung kamen schon α, 453–455 im Munde des Chryses vor, und wirklich ist hier 237 von Achilleus gesprochen nicht ebenso schicklich als dort von Chryses. Uebrigens ist das hier 236 angedeutete Gebet nirgends in den vorhandenen Gedichten als geschehend erwähnt, dagegen wird auch σ, 75 auf dasselbe als etwas Bekanntes hingewiesen. — *τόδ᾽ – ἐέλδωρ* siehe 241.

243. *ἤ ῥα καὶ οἶος ἐπίστηται. ἐπίστηται* scheint Futuralconjunctiv = *ἐπιστήσεται*, vgl. β, 367 *γνώσεαι δ᾽ ἢ καὶ – οὐκ ἀλαπάξεις.* — *καὶ οἶος*, auch allein, nicht nur in Verbindung mit mir. Im zweiten Gliede *ἦ οἱ τότε – μαίνονται* ist nach *τότε* hinzuzudenken *μόνον*.

250 ff. *ἕτερον μὲν ἔδωκε κτέ.* Vgl. die Nachahmung Virgil's Aen. 11, 794 *Audiit et voti Phoebus succedere partem Mente dedit, partem volucres dispersit in auras* cet.

16 ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῷ,
255 στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῷ
εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν·
οἱ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
260 εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
[αἰεὶ κερτομέοντες ὁδῷ ἔπι οἰκί' ἔχοντας,]
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσιν.
τοὺς δ' εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
κινήσῃ ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες
265 πρόσσω πᾶς πέτεται καὶ ἀμύνει οἷσι τέκεσσιν.
τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες
ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο μακρὸν ἀύσας
„Μυρμιδόνες, ἕταροι Πηληιάδεω Ἀχιλῆος,
270 ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες,
γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν."

255. *ἔτι δ' ἤθελε*. Der Grund, warum er wieder vor die Hütte hinaus trat und stehen blieb.

260. *ἐριδμαίνωσιν ἔθοντες*, vgl. zu ι, 540 *κακὰ πόλλ' ἔρδεσκεν ἔθων*.

261. *αἰεὶ – ἔχοντας*. Bloss schwächende Umschreibung des vorigen Verses, aber ungenau, da *κερτομέω* bei Homer nur in Beziehung auf Worte gebraucht wird („*verbis laedere, non facto*", Lehrs). Im Uebrigen vgl. μ, 167–170.

263. *εἴ περ – τε* scheint zusammen zu gehören wie Od. α, 188 *εἴ πέρ τε γέροντ' εἴρηαι*, vgl. zu Il. γ, 33 *ὡς δ' ὅτε τίς τε κτἑ*. Die Bedingung enthält eine Steigerung (wenn auch nur, sogar wenn) in Beziehung auf die Bestimmungen *παρὰ – κιὼν* und *ἀέκων*, wodurch die Reizbarkeit der selbst bei unabsichtlicher Störung mit Wuth hervorstürmenden Wespen zur Anschauung gebracht werden soll.

264 f. *οἱ δὲ – πᾶς πέτεται*. Die distributive Apposition *πᾶς* hat den Singular *πέτεται* statt des zu *οἱ δέ* erwarteten *πέτονται* nach sich gezogen.

272. *καὶ ἀγχέμαχοι θεράποντες*. Erweiterung des Subjectes = *σὺν ἀγχεμάχοις ἑτάροισιν*.

273 f. *γνῷ δὲ καὶ – ἔτισεν* aus α, 411 f., wo diese Verse im Munde des zürnenden Achilleus noch mehr an ihrem Platze sind als hier.

16 κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
300 καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ,
ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήιον πῦρ
τυτθὸν ἀνέπνευσαν, πολέμου δ' οὐ γίγνετ' ἐρωή·
οὐ γάρ πώ τι Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
305 ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης
ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱός
αὐτίκ' ἄρα στρεφθέντος Ἀρηιλύκου βάλε μηρὸν
ἔγχεϊ ὀξυόεντι, διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
310 ῥῆξεν δ' ὀστέον ἔγχος, ὁ δὲ πρηνὴς ἐπὶ γαίῃ
κάππεσ'. ἀτὰρ Μενέλαος ἀρήιος οὖτα Θόαντα
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα.
Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
315 μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
νεῦρα διεσχίσθη, τὸν δὲ σκότος ὄσσε κάλυψεν.

298. *στεροπηγερέτα*, bei Homer nur hier. Das gewöhnliche Epitheton *νεφεληγερέτα* hätte hier nach *νεφέλην* nicht folgen können.

299 f. *ἔκ τ' ἔφανεν – αἰθήρ.* Vgl. zu *θ*, 557 f. — *πρώονες = οἱ λόφοι τῶν ὀρῶν.* — *ὑπερράγη αἰθήρ*, d. i. *τῶν νεφῶν διαρραγέντων ὤφθη ὁ αἰθήρ.*

302. *ἐρωή = ἀνάπαυσις*, *cessatio*, vgl. *β*, 179 *μηδέ τ' ἐρώει*; unten 723 *πολέμου ἀπερωήσειας.*

304. *προτροπάδην*, *effuse et sine respectu.*

306. *ἔνθα – ὑσμίνης = ο*, 328. Auch die andern Helden dürfen neben Patroklos (307 f.) nicht unthätig bleiben; bei 372 kehrt die Schilderung wieder zu diesem zurück.

308. *αὐτίκ' ἄρα* steht sonst immer im Anfange eines Nachsatzes und gehörte demnach auch hier eigentlich hinter *στρεφθέντος Ἀρηιλύκου* (= *ἐπεὶ ἐστρέφθη Ἀρηίλυκος*); durch seine ungewöhnliche Stellung soll es auf die überraschende Schnelligkeit des Wurfes aufmerksam machen.

311. *Θόας* nur hier ein Troer, gewöhnlich der Aetoler (*β*, 638).

314. *ἔφθη ὀρεξάμενος – σκέλος*, er traf zuvorkommend (ehe jener ihn verwunden konnte, *πρὶν οὐτάσαι*) ihn zu oberst am Schenkel (Oberschenkel), also in der Nähe der Weichen, welcher Theil wegen seiner Breite auch leicht zu treffen und sehr exponirt ist (*ἔνθα πάχιστος μυὼν – πέλεται*, d. h. die dickste Muskelmasse am ganzen Körper). Die Durchschneidung der dort ziemlich oberflächlich liegenden Arterien hat in der Regel Verblutung zur Folge.

16 ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μὲν
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν
φάσγανον ἐρραίσθη· ὁ δ' ὑπ' οὔατος αὐχένα θεῖνεν
340 Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔσχεθε δ' οἶον
δέρμα, παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ' Ἀκάμαντα κιχεὶς ποσὶ καρπαλίμοισιν
νύξ' ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον·
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
345 Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέι χαλκῷ
νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησεν
νέρθεν ὑπ' ἐγκεφάλοιο, κέασσε δ' ἄρ' ὀστέα λευκά·
ἐκ δ' ἐτίναχθεν ὀδόντες, ἐνέπλησθεν δέ οἱ ἄμφω
αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
350 πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισιν
σίνται, ὑπὲκ μήλων αἱρεύμενοι, αἵ τ' ἐν ὄρεσσιν
ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες
355 αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας·
ὡς Δαναοὶ Τρώεσσιν ἐπέχραον. οἱ δὲ φόβοιο
δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ

zählung, wodurch das einförmig Ermüdende einer bloss chronologischen Aufzählung vermieden wird. — Ueber *μέλεον* vgl. zu *κ*, 480.

340 f. *ἔσχεθε — δέρμα, παρηέρθη*. Der zweite Satz drückt die Folge des ersten aus: die Haut allein hielt das Schwert noch auf, so dass das Haupt (nicht abfiel, sondern) an der Seite herabhing. Vgl. *ν*, 597.

342 f. *Ἀκάμας*, Sohn des Antenor, *β*, 823, verschieden von dem ebend. 844 und *ζ*, 8 erwähnten. — *νύξ' — ὦμον* = *ε*, 46.

346. *τὸ δέ* weist auf *νηλέι χαλκῷ* zurück, im Geschlecht aber richtet es sich nach der erklärenden Apposition *δόρυ χάλκεον*.

347. *ὑπ' ἐγκεφάλοιο*. Der Stoss ging also aufwärts durch den Gaumen.

350. *πρῆσε* = *ἐξεφύσησε*. Vgl. zu Od. *β*, 81 *ἀναπρήσας*.

351. *Δαναῶν* ist durch eine kurze Pause vom Folgenden zu trennen.

352. *ὡς λύκοι — σίνται*, *lupi ceu raptores* Virg. Aen. 2, 355. *ἐπέχραον*, *ἀθρόοι ἐπεβάρησαν*.

357. *δυσκελάδου*, wegen des Geschreies der Verfolgenden und der Verfolgten.

358 f. *Αἴας δ' ὁ μέγας κτέ.*, weil er bei der Vertheidigung des



16 πάσας πλῆσαν ὁδούς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἄελλα
375 σκίδναθ' ὑπὸ νεφέων, τανύοντο δὲ μώνυχες ἵπποι
ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ' ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαόν,
τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον
πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
380 ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι
[ἄμβροτοι, οὓς Πηλῆι θεοὶ δόσαν ἀγλαὰ δῶρα,]
πρόσσω ἱέμενοι, ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
385 ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύς, ὅτε δή ῥ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ,
οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες·
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,
390 πολλὰς δὲ κλιτῦς τότ' ἀποτμήγουσι χαράδραι,

375. *σκίδναθ' ὑπὸ νεφέων*, der Staubwirbel breitete sich unter den Wolken hin aus. — *τανύοντο*, sie streckten sich in schnellem Laufe, vgl. Od. ζ, 83.

378. *τῇ ῥ' ἔχ' ὁμοκλήσας* erg. *τοὺς ἵππους* (380 f.), vgl. ο, 448: dahin lenkte er die Rosse mit ermunterndem Zuruf. — *ὑπὸ δ' ἄξοσι κτέ.*, unter die Achsen (der eignen Wagen) stürzten sie (die Troer) auf der eiligen Flucht, durch die Erschütterung der dahinfliegenden Wagen und weil sie von hinten verwundet wurden. — Zu *ἀνεκυμβαλίαζον* vgl. λ, 160 *κείν' ὄχεα κροτάλιζον*.

380. *ὠκέες ἵπποι*, nämlich des Patroklos. Der folgende Vers hat sich wahrscheinlich aus 867 hierher verirrt; hier wäre er nicht ganz passend, weil noch Pedasos, das sterbliche Ross, dabei ist.

382. *κέκλετο θυμός* erg. *Πατρόκλου*, gegen Hektor trieb sie sein Muth an.

384. *λαῖλαψ, ὁ μετὰ ὑετοῦ ἄνεμος*, stürmischer Regen, Regengestürm. Die zerstörende Ueberschwemmung ist die Strafe der Ungerechtigkeit der Richter.

387 f. *σκολιὰς κρίνωσι θέμιστας* = *κακῶς κρίνοντες σκολιὰς ποιήσωσι τὰς θέμιστας* (*δίκας*, Rechtssprüche, die gesetzliche Gültigkeit haben). — *σκολιάς*, das zum Prädicat gehört, wird durch *ἐκ δίκην ἐλάσωσι* noch ausgeführt und erklärt = *δίκην παρατρέψωσι*, das Recht biegen (auf die Seite hinaustreiben). Vgl. Hesiod. opp. 224 *οἵ τέ μιν* (*δίκην*) *ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν*. — Ueber *ὄπις* vgl. zu Od. ε, 146. ξ, 82 und die Einleit. zu Od. S. 18.

389. *τῶν* bezieht sich auf das collective *λαβρότατον ὕδωρ* 385 und hängt von *πλήθουσι* ab.

390 f. *κλιτῦς ἀποτμήγουσι χαράδραι*, die Waldwasser und die durch dieselben verursachten Einschnitte, Vertiefungen schneiden vie-

16 ἡνία ἠίχθησαν· ὁ δ' ἔγχεϊ νύξε παραστάς
405 γναθμὸν δεξιτερόν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων,
ἕλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φὼς
πέτρῃ ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν
ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ.
ὣς ἕλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ,
410 κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεσσύμενον βάλε πέτρῳ
μέσσην κὰκ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
415 αὐτὰρ ἔπειτ' Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαστορίδην Ἐχίον τε Πύριν τε
Ἰφέα τ' Εὔιππόν τε καὶ Ἀργεάδην Πολύμηλον
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
Σαρπηδὼν δ' ὡς οὖν ἴδ' ἀμιτροχίτωνας ἑταίρους

406f. *δουρὸς ἑλών*, an, d. h. hier **mit** der Lanze ihn fassend. Die Lanze wird nämlich hier als ein Theil oder Glied des gefassten Gegenstandes betrachtet; sonst müsste es heissen *δουρὶ* wie unten 409. — *ὑπὲρ ἄντυγος*, über den Wagenrand, vgl. zu *ε*, 262. — *ὡς ὅτε τις φώς – ἰχθύν* erg. *ἕλκῃ*, vgl. *δ*, 462 *ἤριπε δ' ὡς ὅτε πύργος*. Zum ganzen Gleichniss vgl. Od. *μ*, 251–254. — *ἱερὸν ἰχθύν*, d. i. *ἄνετον* (von Heerden: einem Gotte geweiht), weil der Fisch im Wasser und besonders im Meere, wie das Vieh einer geweiheten Heerde, keinem Sterblichen angehört, sondern nur als Eigenthum der Götter des Meeres erscheint.

408. *λίνῳ καὶ – χαλκῷ*, d. h. an der Angelschnur, wenn sie auch nicht aus Lein, sondern aus Pferdehaaren verfertigt ist.

409. *κεχηνότα*, sofern er gleichsam mit dem Munde nach der Lanze geschnappt hatte, wie der Fisch nach der Angel.

411. *βάλε πέτρῳ*. Patroklos muss hier noch wie 404 zu Fuss gedacht werden, wiewohl er 427 vom Wagen herabspringt.

414. *ἀμφὶ δέ μιν – θυμοραϊστής* = *ν*, 544 *ἀμφὶ δέ οἱ θάνατος χ. θ.* Man bemerke die Diäresis in der vorletzten Sylbe des Compositum *θυμοραϊστής* (vgl. 580. 591), während das Simplex *ῥαίω* sie nie erfährt.

415–418. *Ἐρύμαντα κτέ.* Patroklos muss eine Reihe feindlicher Krieger (Lykier) nach einander erlegen, damit das folgende Einschreiten und die Anrede des Sarpedon hinlänglich motivirt erscheine.

419. *Σαρπηδών*. Der erste Held der Bundesgenossen wird dem Patroklos als Hauptgegner zugetheilt, während Hektor für den Achilleus aufgespart wird. — *ἀμιτροχίτωνας ἑτ.* Dass die Gefährten des Sarpedon keine Mitra tragen (vgl. zu *δ*, 137), erscheint als eine Eigenthümlichkeit in der Bekleidung der Lykier.

16 ἄψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ᾽· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν.
445 αἴ κε ζὼν πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε,
φράζεο μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις.
450 ἀλλ᾽ εἴ τοι φίλος ἐστί, τεὸν δ᾽ ὀλοφύρεται ἦτορ,
ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ᾽ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
αὐτὰρ ἐπὴν δὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών,
πέμπειν μιν θάνατόν τε φέρειν καὶ νήδυμον ὕπνον,
455 εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.“
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε
460 παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλεν
φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,

442. *ἄψ*, wieder, d. h. die Schikkung gleichsam zurücknehmend. — *θανάτοιο δυσηχέος*, Apollon. und Hesych. *τοῦ κακὸν ἦχον ἐπιφέροντος (δυσωνύμου) διὰ τὰς γινομένας οἰμωγὰς καὶ θρήνους*: unglücklich, trauriges und verhasstes Geräusch erregend.

443. *ἔρδ᾽ · ἀτὰρ – πάντες*, vgl. zu *δ*, 29.

445. *ζών* von dem *ε*, 887 vorkommenden Nominativ *ζώς*.

448f. *πολλοὶ – υἱέες ἀθανάτων*, ausser Achilleus und Aeneas auch Ialmenos (Sohn des Ares), Menesthios (des Spercheios), Eudoros (des Hermes). — *τοῖσιν*, nämlich *ἀθανάτοις*.

454. *πέμπειν μιν κτἑ.*, entsende, geleite ihn, dass *Θάνατος* und *Ὕπνος* ihn tragen, = übergieb ih denselben zu tragen, *πέμπε μι θανάτῳ καὶ ὕπνῳ φέρειν*, wi Od. *ω*, 419 *πέμπον ἄγειν ἁλι εῦσι θοῇς ἐπὶ νηυσὶ τιθέντες* und namentlich unten 681 *πέμπ δέ μιν πομποῖσιν ἅμα κραι πνοῖσι φέρεσθαι.*

456. *ταρχύσουσι*, vgl. zu *η*, 85 *κασίγνητοί τε ἔται τε*, die näher und entferntern Verwandten.

459. *αἱματοέσσας ψιάδας*, al Vorbedeutung des traurigen und ih selbst nahe berührenden Ereignisses, vgl. *λ*, 53–55. Eine Nachahmung dieser Stelle hat Hesiod Scut. Herc. 383–385.

462. *οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν* Wiederaufnahme der bei 430 abgebrochenen Haupterzählung.

16 Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
480 Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ' ἔβαλ' ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ.
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωίς
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήιον εἶναι·
485 ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἠύτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών,
αἴθωνα μεγάθυμον, ἐν εἰλιπόδεσσι βόεσσιν,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος,
490 ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον.
„Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
495 πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας,
πάντῃ ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ περιμάρναο χαλκῷ.

481. ἔβαλ', er traf ihn an der Stelle, wo u. s. w. — Zu ἀμφ' ἀδινὸν κῆρ vgl. Od. τ, 516.

482–486f. ἤριπε – αἱματοέσσης = ν, 389–393. Aber auch hier beim Fall des Sarpedon — eines so ausgezeichneten Helden — ist das Gleichniss am Platze. Durch die folgende Vergleichung jedoch 487 ἠύτε ταῦρον κτέ., welche das βεβρυχώς 486 = στενάχων 489 in's Licht setzen soll, wird Sarpedon seinem achäischen Gegner wieder untergeordnet und Patroklos erhoben. — ἀγέληφι, Dativ, von μετελθών abhängig.

490f. ὑπὸ Πατρόκλῳ ist mit κτεινόμενος zu verbinden; μενέαινε aber steht emphatisch: er verlangte noch heftig, d. h. er war von Kampflust und Verlangen nach Rache erfüllt, wie dies die ganze folgende Rede ausdrückt. Vgl. ν, 214 und zu ε, 670 μαίμησε δέ οἱ φίλον ἦτορ.

492. πολεμιστὰ μετ' ἀνδράσι. Eine Art Superlativ, vgl. zu Od. ρ, 354 ἐν ἀνδράσιν ὄλβιον εἶναι.

494. ἐελδέσθω = ἐν ἐπιθυμίᾳ γενέσθω, er werde ein Gegenstand deines Verlangens. Es ist aber auffallend, dass Sarpedon überhaupt diesen Wunsch gegen Glaukos ausspricht und dieser auf dem Schlachtfeld zugegen ist, da er nach μ, 387–393 an demselben Tage von Teukros verwundet worden war und daher das Treffen verlassen hatte, vgl. unten 509–531. Wohl gehörten diese Stücke ursprünglich zu verschiedenen von einander unabhängigen Erzählungen.



16 εἰς ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ᾽ ἀκούειν
516 ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χεὶρ
ὀξείῃς ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ᾽ αὐτοῦ·
520 ἔγχος δ᾽ οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ᾽ ὤριστος ὄλωλεν,
Σαρπηδὼν Διὸς υἱός· ὁ δ᾽ οὐδ᾽ οὗ παιδὸς ἀμύνει.
ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
κοίμησον δ᾽ ὀδύνας, δὸς δὲ κράτος, ὄφρ᾽ ἑτάροισιν
525 κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν,
αὐτός τ᾽ ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι."
ὣς ἔφατ᾽ εὐχόμενος, τοῦ δ᾽ ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτίκα παῦσ᾽ ὀδύνας, ἀπὸ δ᾽ ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
530 Γλαῦκος δ᾽ ἔγνω ᾖσιν ἐνὶ φρεσί, γήθησέν τε,
ὅττι οἱ ὦκ᾽ ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορας ἄνδρας,
πάντῃ ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε μακρὰ βιβάσθων,
535 Πουλυδάμαντ᾽ ἔπι Πανθοίδην καὶ Ἀγήνορα δῖον,
βῆ δὲ μετ᾽ Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν.
ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.

Τροίῃ. Der Dichter denkt wieder nicht daran, dass Apollon vor Kurzem in der Schlacht selbst zugegen war (ο, 307. 326. 355–366). Betreffend die zum Grunde liegende Vorstellung vom Aufenthalte der Götter vgl. Einleit. S. 11f.

515. πάντοσ᾽ ἀκούειν, allenthalbenhin erhören, d. h. das Gebet (zu dir) durchdringen lassen, vgl. δ, 455 τηλόσε – ἔκλυε und λ, 21 πεύθετο γὰρ Κύπρονδε μέγα κλέος. — ἀκούειν = ὑπακούειν, daher mit dem Dativ.

517. ἀμφὶ – ἐλήλαται, ganz (eig. ringsum) ist mir der Arm von scharfen Schmerzen durchdrungen, oder davon getroffen (wie von dem Pfeile).

519. ὑπ᾽ αὐτοῦ, τοῦ ἕλκους.

524f. ἑτάροισιν Λυκίοισιν ist zunächst von κεκλόμενος abhängig.

527. Φοῖβος Ἀπόλλων nicht als Götterarzt oder vorzugsweise heilender Gott, sondern als einheimischer Gott, Schutzgott seines Landes (Lykien).

528. ἀπὸ ist mit τέρσηνε zu verbinden, ἕλκεος von αἷμα abhängig.

531. οἱ ὦκ᾽ ἤκουσε – εὐξαμένοιο. Die wiederholt bemerkte Mischung zweier Constructionen, vgl. zu Od. ζ, 155–157.



16 Σαρπηδών. ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
560 τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέι χαλκῷ."
ὣς ἔφαθ', οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
565 σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι
δεινὸν ἀύσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
570 βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεύς,
ὅς ῥ' ἐν Βουδείῳ εὖ ναιομένῳ ἤνασσεν
τὸ πρίν· ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
ἐς Πηλῆ' ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
575 οἱ δ' ἅμ' Ἀχιλλῆι ῥηξήνορι πέμπον ἕπεσθαι
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ

durch den Seinigen Bahn bricht. Die Ausgleichung des Widerspruchs findet sich darin, dass beide, Sarpedon und Hektor, an dem ersten Eindringen in die achäische Mauer einen Hauptantheil hatten, und dass nach μ, 290–293 Hektor's Erfolg durch die der Zeit nach vorangehende That des Sarpedon bedingt war.

559–561. *ἀλλ' εἴ μιν – δαμασαίμεθα ν. χ.* erg. *καλῶς ἂν γένοιτο* und vgl. zu κ, 111. Od. φ, 260. Dem Sinne nach ist also die Rede wünschend und auffordernd.

561. *αὐτοῦ* (*Σαρπηδόνος*) *ἀμυνομένων* = *ὑπὲρ αὐτοῦ ἀγωνιζομένων*, die ihn zu schützen suchen.

567. *ἐπὶ νύκτα – τάνυσε.* Es war also wirklich noch Tag. Die Alles bedeckende Dunkelheit sollte den Kampf noch schrecklicher und verderblicher machen.

569. *πρότεροι Τρῶες*, als die durch Sarpedon's Tod Gereizten und in Folge der Ermunterung des Glaukos 544–547.

573. *τότε – ἐξεναρίξας*, als ob die Erzählung von diesem Morde vorherginge, so dass darauf zurückgewiesen werden könnte (*τότε*).

574f. *ἐς Θέτιν*, vgl. zu α, 396. Nach unserer Stelle blieb Thetis bis zum Auszuge nach Troia wirklich bei Peleus (*ἐς Θέτιν* und *οἱ δὲ – πέμπον κτέ.*).

578–580. *ἡ δ' ἄνδιχα – θυμοραϊστής* = 412–414.



16 ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστήν,
Λαόγονον θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
605 Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ.
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνῃ δόρυ χάλκεον ἧκεν·
ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβάντος.
610 ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
[αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
615 ᾤχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.]
Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο, φώνησέν τε
„Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ."
τὸν δ' αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα
620 „Αἰνεία, χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κε σεῦ ἄντα
ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.

Erfolge auch am Kampfe Theil zu nehmen).

602. *μένος δ' ἰθὺς φέρον αὐτῶν*, sie trugen ihren Kampfmuth ihnen gerade entgegen, drangen muthvoll gegen sie ein.

604. *ὃς Διὸς ἱρεὺς ἐτέτυκτο* geht wohl auf Laogonos, als die Hauptperson.

606. *ὑπὸ γναθμοῖο καὶ οὔατος*, vgl. ν, 671 f., zwischen dem Backenknochen und dem Ohre.

609. *τεύξεσθαι* (αὐτοῦ) *ὑπασπίδια προβιβάντος*, vgl. ν, 158 *προβιβὰς καὶ ὑπασπίδια προποδίζων*.

612 f. *οὐρίαχος πελεμίχθη*, vgl. zu ν, 443 f.

614 f. *αἰχμὴ – ὄρουσεν*. Diese in den besten Handschriften fehlenden und ganz tautologischen Vers standen ν, 504 f. an ihrem Platze.

617. *καὶ ὀρχηστήν περ ἐόντα* Spott über das künstliche Ausbiegen, das Ausweichen des Merione durch Bücken (vgl. μ, 385 mit den dort Bemerkten), um so passende bei Meriones, da die Kreter einen berühmten Waffentanz (*πυρρίχη*) hatten.

618. *εἴ σ' ἔβαλόν περ*, wenn ich dich getroffen, d. h. du dich nicht gebückt hättest.

620. *χαλεπόν* erg. *ἐστί*, aber auch mit Beziehung auf die Zukunft: schwer, kaum möglich ist es dass du – auslöschest, vertilgest schwerlich vermagst du u. s. w. Der Singular *ὅς κε – ἔλθῃ* ist distributiv in Beziehung auf den Plura

16 ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσιν
640 ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον. οὐδέ ποτε Ζεὺς
645 τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῷ
πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου, μερμηρίζων
ἢ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
αὐτοῦ ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
650 χαλκῷ δῃώσῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται,
ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ὄφρ' ἠὺς θεράπων Πηληιάδεω Ἀχιλῆος
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
655 ὤσαιτο προτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα θυμὸν ἐνῆκεν·
ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλους

samer, Alles genau bemerkender und leicht erkennender Mann.

639. βελέεσσι scheint nur durch ein Zeugma mit εἴλυτο (er war eingehüllt) verbunden zu sein.

641. ὡς ὅτε μυῖαι κτέ. Vgl. das ähnliche Gleichniss β, 469–473. Die Vergleichung bezieht sich neben der Menge auch auf die zudringliche Gier.

644. Ζεύς, noch immer auf dem Ida, von wo aus er auch 666–677 den Apollon in die Schlacht entsendet.

646 f. φράζετο – ἀμφὶ φόνῳ Π., d. h. wie das Folgende (648–651) zeigt: er überlegte, ob er den Fall des Patroklos durch Hektor jetzt schon herbeiführen oder noch verschieben solle. Die Conjunctive haben deliberative Bedeutung.

648 f. ἢ – αὐτοῦ ἐπὶ Σαρπηδόνι κτέ., ob er ihn gerade dort über Sarpedon (also gleich auf der Stelle) hinschlachten solle, vgl. 661.

651. ὀφέλλειεν, nämlich Patroklos, bevor er selbst sterbe; vgl. 655 πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.

653–655. ὄφρα nach δοάσσατό οἱ κέρδιον εἶναι wie nach λελίημαι und synonymen Ausdrücken, worüber vgl. zu δ, 465.

654. ἐξαῦτις scheint sich auf das oben 394 f. Erzählte zu beziehen: wieder, neuerdings, nochmals.

655. ὤσαιτο προτὶ ἄστυ, vgl. ο, 601 ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν θησέμεναι Τρώων κτέ.

656. Ἕκτορι δὲ πρωτίστῳ. Dies hatte sich schon oben 588 ohne Einwirkung der Götter vorbereitet.

657. ἀναβὰς erg. Ἕκτωρ. — ἔτραπε erg. τοὺς ἵππους, was θ, 157. 257 ausgesetzt ist.

16 χρῖσέν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσεν,
681 πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
ὕπνῳ καὶ θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.
Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας
685 Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάσθη,
νήπιος· εἰ δὲ ἔπος Πηληιάδαο φύλαξεν,
ἦ τ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος ἠέ περ ἀνδρῶν·
[ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
690 ῥηιδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνῃσι μάχεσθαι·]
ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκεν.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
695 καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,
αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην.
τοὺς ἕλεν· οἱ δ' ἄλλοι φύγαδε μνώοντο ἕκαστος.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν
Πατρόκλου ὑπὸ χερσί· περιπρὸ γὰρ ἔγχεϊ θῦεν·

684f. *Πάτροκλος – μετεκίαθε.* Durch den Eifer für die Leiche Sarpedon's lässt sich Patroklos hinreissen, die Troer gegen Achilleus' Gebot allzuweit zu verfolgen, und dies führt zu seinem Tode.

686. *νήπιος* bildet auch hier ein eingeschobenes Urtheil; vgl. zu *β*, 38. Zu *μέγ' ἀάσθη* vgl. *λ*, 340 = *ι*, 537 *ἀάσατο δὲ μέγα θυμῷ*.

689f. *ὅς τε – μάχεσθαι*, wahrscheinlich aus *ρ*, 177f. hierher verpflanzt, aber unpassend und verderbt. Um diese Verse beizubehalten, müsste mindestens mit Bäumlein *ἐποτρύνει μαχέσασθαι* gelesen werden.

693. *θεοὶ – κάλεσσαν.* Hier wird allen Göttern zugeschrieben, was so eben (688) als *Διὸς νόος* bezeichnet war. Zu der Apostrophe vgl. Virg. Aen. 11, 664 *Quem telo primum, quem postremum, aspera virgo, Deïcis aut quot humi morientia corpora fundis?*

694. *Ἄδρηστον*, verschieden von den *β*, 830 und *ζ*, 37 erwähnten.

697. *μνώοντο φύγαδε*, vgl. zu *ε*, 252 *μή τι φόβονδ' ἀγόρευε*, und unser: auf etwas bedacht sein.

698ff. *ἔνθα κεν – εἰ μὴ Ἀπόλλων.* Eine Ausschmückung der Sage zur Bezeichnung der ausserordentlichen Tapferkeit des Patroklos, welche nur die Kraft eines Gottes zu hemmen vermochte. Dieses Wirken des Gottes auf der Mauer ist aber auch ein Theil seiner 726 erwähnten Theilnahme am Kampf auf dem Schlachtfelde; der Dichter nimmt den Dienst des Gottes in Anspruch, wo er ihn braucht.

16 αἴ κέν πώς μιν ἕλῃς, δώῃ δέ τοι εὖχος Ἀπόλλων."
726 ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Κεβριόνῃ δ' ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
ἵππους ἐς πόλεμον πεπληγέμεν. αὐτὰρ Ἀπόλλων
δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοισιν
730 ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα οὐδ' ἐνάριζεν,
αὐτὰρ ὁ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους.
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε
σκαιῇ ἔγχος ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον
735 μάρμαρον ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν.
ἧκε δ' ἐρεισάμενος, οὐδὲ δὴν χάζετο φωτός,
οὐδ' ἁλίωσε βέλος, βάλε δ' Ἕκτορος ἡνιοχῆα
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέι λᾶι.
740 ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
αὐτοῦ πρόσθε ποδῶν· ὁ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς
κάππεσ' ἀπ' εὐεργέος δίφρου, λίπε δ' ὀστέα θυμός.
τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεις ἱππεῦ,
745 „ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ.
εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,

von ἐφέπομαι: = ἐφόρμα, setze gegen ihn in Bewegung, treibe gegen ihn an, lass auf ihn eindringen.

726. ὁ μὲν αὖτις ἔβη θεὸς κτέ. Natürlich, da er die Gestalt eines der Kämpfenden angenommen hatte.

728. ἵππους — πεπληγέμεν, d. h. durch Hiebe anzutreiben.

735. μάρμαρον ὀκριόεντα, vgl. μ, 380. — τόν οἱ — ἐκάλυψεν (χεὶρ περιεκάλυψεν), d. h. so gross ihn seine Hand zu umfassen vermochte.

736. οὐδὲ δὴν χάζετο φωτός, und nicht lange blieb er entfernt, getrennt von dem Manne (den er wirklich traf, Kebriones). Passender wäre aber der Sinn, wenn δὴν auf den Raum bezogen werden könnte: und nicht weit blieb er entfernt von dem Manne (Hektor, traf ihn also nicht), doch warf er auch nicht vergeblich.

739 f. μετώπιον, vgl. zu λ, 95. — σύνελεν = συνέτριψε, συνέχεε. — οὐδέ οἱ ἔσχεν ὀστέον erg. τὸν λίθον, der Schädelknochen hemmte ihm den Stein nicht, vermochte nicht ihn zurückzuhalten.

742. αὐτοῦ πρόσθε ποδῶν, gerade vor seinen Füssen, eig. vor seinen eigenen Füssen (des Kebriones). Vgl. zu Od. θ, 68 αὐτοῦ ὑπὲρ κεφαλῆς. — ὁ δὲ — κάππεσε, vgl. zu μ, 384–386.

746. εἰ δή που καί, wenn er

16 αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων,
770 ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρ' ἐπεπήγει
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐστυφέλιξαν
775 μαρναμένων ἀμφ' αὐτόν. ὁ δ' ἐν στροφάλιγγι κονίης
κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός·
ἦμος δ' ἠέλιος μετενίσσετο βουλυτόνδε,
780 καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο,
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσεν.
τρὶς μὲν ἔπειτ' ἐπόρουσε θοῷ ἀτάλαντος Ἄρηι,
785 σμερδαλέα ἰάχων, τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
ἔνθ' ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ

in langen Streifen Einschnitte hat. Dagegen τανυήκης lang und weit ragend.
769. πάταγος – ἀγνυμενάων erg. γίγνεται.
771. οὐδ' ἕτεροι = καὶ οὐδέτεροι.
775 f. μαρναμένων ἀμφ' αὐτόν, Genitivus absolutus, der die Zeitbestimmung zu beiden vorhergehenden Gliedern enthält. — ὁ δ' ἐν στροφάλιγγι – ἱπποσυνάων, vgl. Od. ω, 39 f.
777. ὄφρα – ἀμφιβεβήκει, d. h. so lange die Sonne noch hoch am Himmel stand; doch konnte es schon viel über Mittag sein; vgl. Einleit. S. 32 und λ, 84 f.

778. τόφρα – λαός, vgl. zu θ, 67.
779. ἦμος – βουλυτόνδε, vgl. zu Od. ι, 58.
780. ὑπὲρ αἶσαν, Schol. πλέον ἢ κατὰ τὸ μέτρον, ultra modum, vgl. γ, 59 κατ' αἶσαν – οὐδ' ὑπὲρ αἶσαν. Vgl. ρ, 321 καὶ ὑπὲρ Διὸς αἶσαν.
782. Τρώων ἐξ ἐνοπῆς, das Allgemeine zu ἐκ βελέων.
785. τρὶς δ' ἐννέα φῶτας ἔπ. muss, so unglaublich es scheint, wörtlich verstanden werden. Gerade vor seinem Fall soll Patroklos noch etwas Ausserordentliches leisten; darum kann er auch nur durch einen Gott fallen. Vgl. übrigens zu diesen drei Versen oben ε, 436–438.

δεινός. ὁ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν· 16
ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησεν· 790
στῆ δ' ὄπιθεν, πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω
χειρὶ καταπρηνεῖ, στρεφεδίνηθεν δέ οἱ ὄσσε.
τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων
αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι 795
αἵματι καὶ κονίῃσι. πάρος γε μὲν οὐ θέμις ἦεν
ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν,
ἀλλ' ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον
ῥύετ', Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
ᾗ κεφαλῇ φορέειν, σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος. 800
πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος,
βριθὺ μέγα στιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα.
λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα, 805
στῆ δὲ ταφών. ὄπιθεν δὲ μετάφρενον ὀξέι δουρί
ὤμων μεσσηγὺς σχεδόθεν βάλε Δάρδανος ἀνήρ,

789. ὁ μὲν (Πάτροκλος) τὸν (αὐτόν, Ἀπόλλωνα) ἰόντα – οὐκ ἐνόησεν. — κατὰ κλόνον gehört zu ἰόντα.

792. στρεφεδίνηθεν, περιενεχθέντα oder δινηθέντα ἐστράφη. Eine ganz isolirte Wortbildung. Quint. Smyrn. 13, 7 hat das Activum: ἀμφὶ δ' ἄρ' ὀφθαλμοὶ στρεφεδίνεον. Vgl. ρ, 680 ὄσσε φαεινὼ πάντοσε δινείσθην.

795. αὐλῶπις τρυφάλεια, vgl. zu ε, 182. — ἔθειραι, d. i. αἱ τρίχες τοῦ ἵππου αἱ ἐν τῇ κόρυθι.

796. πάρος, d. h. so lange noch Achilleus selbst seinen Helm trug. — οὐ θέμις ἦεν, es war von den Göttern nicht gestattet (vgl. den Gegensatz 799f.) und daher auch nicht möglich.

799. δῶκεν, er gewährte es ihm (freilich für kurze Zeit); denn auch ihm (dem Hektor, der bald den Helm aufheben sollte, vgl. ρ, 122. 125) war das Verderben schon nahe.

801. πᾶν δέ οἱ ἐν χείρεσσιν. Hier kehrt die Erzählung wieder auf Patroklos selbst zurück und schliesst sich also an die ersten Worte von 796 an.

802. κεκορυθμένον, vgl. zu γ, 18.

805. ἄτη hier die durch den Schlag des Gottes bewirkte physische und geistige Verwirrung — Betäubung zugleich und Bethörung (στῆ δὲ ταφών), vgl. zu α, 412.

807. σχεδόθεν βάλε, er traf ihn mit der geworfenen Lanze aus der (relativen) Nähe. Es war also doch ein eig. βάλλειν, wie 812 ἐφῆκε βέλος zeigt. Vgl. ρ, 600 ὁ γάρ ῥ' ἔβαλε σχεδὸν ἐλθών. — Δάρδανος ἀνήρ. Ein Dardanier wie β, 701; im weitern Sinn werden aber auch diese ρ, 80 als Troer bezeichnet.

16 Πανθοίδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
ἔγχεΐ θ' ἱπποσύνῃ τε πόδεσσί τε καρπαλίμοισιν·
810 καὶ γὰρ δὴ τότε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων,
πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο·
ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεις ἱππεῦ,
οὐδὲ δάμασσ'. ὁ μὲν αὖτις ἀνέδραμε, μῖκτο δ' ὁμίλῳ,
ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ' ὑπέμεινεν
815 Πάτροκλον γυμνόν περ ἐόντ' ἐν δηιοτῆτι·
Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς
ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
Ἕκτωρ δ' ὡς εἶδεν Πατροκλῆα μεγάθυμον
ἂψ ἀναχαζόμενον βεβλημένον ὀξέι χαλκῷ,
820 ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρὶ
νείατον ἐς κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν.
δούπησεν δὲ πεσών, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν.
ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
ὥ τ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον
825 πίδακος ἀμφ' ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·
πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν·
ὣς πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα,
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα.

810. *τότε*, damals in der noch andauernden Schlacht. — *βῆσεν* = *ἀπεβίβασεν ἀνατρέπων*.

811. *πρῶτ' ἐλθὼν* – *διδασκόμενος πολ.* Beide Ausdrücke deuten darauf, dass er noch jung und ein Neuling im Kriege war.

813. *οὐδὲ δάμασσε*, weil Patroklos noch nicht tödtlich verwundet war; dennoch sah er sich durch den Schlag und die Wunde zum Weichen genöthigt (816 *θ. πληγῇ* – *δαμασθεὶς* – *ἐχάζετο*). — *ὁ μέν*, Εὔφορβος.

815. *γυμνόν περ ἐόντα*, vgl. 793. 801–804; also: waffenentblösst; vgl. zu ρ, 122.

819. *ἀναχαζόμενον βεβλημένον*, d. i. *ὅτι ἀνεχάζετο βεβλημένος*.

820. *κατὰ στίχας*, durch die Reihen, Glieder, zwischen und hinter welche sich Patroklos nach 817 zurückgezogen hatte. Eig. wohl: in die Gegend der Reihen.

825. *πίδακος – ὀλίγης*, an welcher sie gerade zusammentreffen. — *ἀμφὶ* mit dem Genitiv kommt ausser den Hymnen nur noch Od. θ, 267 bei Homer vor. Uebrigens vgl. mit diesen zwei Versen oben 757 f.

827. *πέφνοντα* (vgl. ρ, 539 *κατέπεφνον*), Aoristus mit unregelmässigem Accente nach Aristarch und Herodian.

„Πάτροκλ', ἦ που ἔφησθα πόλιν κεραϊζέμεν ἀμήν, 16
Τρωιάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας, 831
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
νήπιε. τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ' αὐτός
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω 835
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
ἆ δείλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,
ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
‚μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε,
νῆας ἔπι γλαφυράς, πρὶν Ἕκτορος ἀνδροφόνοιο 840
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.'
ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθεν."
τὸν δ' ὀλιγοδρανέων προσέφης, Πατρόκλεις ἱππεῦ,
„ἤδη νῦν, Ἕκτορ, μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκεν
νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ μ' ἐδάμασσαν 845
ῥηιδίως· αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἕλοντο.
τοιοῦτοι δ' εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,
πάντες κ' αὐτόθ' ὄλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
ἀλλά με μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,
ἀνδρῶν δ' Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις. 850
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν.

830. *ἔφησθα – κεραϊζέμεν.* Das Präsens Infinit. aoristisch, aber mit dem Begriffe der Dauer; dagegen 832 *ἄξειν*, weil diese Handlung noch ganz im Bereich der Zukunft liegt.

833. *τάων – πρόσθε – πολεμίζειν*, d. i. *τούτων προπολεμεῖν ἐκτέτανται*, zu ihrem Schutze zu kämpfen sind in gestrecktem Lauf Hektor's Rosse.

838. *μένων* (selbst) zurückbleibend: Gegensatz zu *ἰόντι*.

839. *μή – ἰέναι*, d. i. *μὴ ἐπανέρχου*.

841. *αἱματόεντα* gehört zu *δαΐξαι*; vgl. zu *β*, 414 *κατὰ πρηνὲς βαλέειν*. — Diese ganze Rede des Hektor als Ausdruck seines stolzen Siegesgefühles und besonders die sich sicher wähnende Bezugnahme auf Achilleus 837 ff. hat bei der Nähe seines eigenen Todes durch eben diesen Achilleus etwas ungemein Tragisches, vgl. 852–854.

844. *ἤδη – εὔχεο*, jetzt kannst du freilich prahlen.

847. *τοιοῦτοι*, nämlich *οἷος σὺ εἶ*. — *εἴ περ*, gesetzt auch dass.

850. *τρίτος*, weil die Moira und Apollon in Einen Begriff (die höhere übermenschliche Macht) zusammenfallen. Es ist übrigens psychologisch leicht zu erklären, dass Patroklos gerade Hektor gegenüber dessen Antheil an seiner Besiegung

16 οὔ θην οὐδ' αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή,
χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο."
855 ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν·
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα φαίδιμος Ἕκτωρ
„Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
860 τίς δ' οἶδ' εἴ κ' Ἀχιλεὺς Θέτιδος παῖς ἠυκόμοιο
φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;"
ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
εἴρυσε, λὰξ προσβάς, τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρός.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
865 ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
ἵετο γὰρ βαλέειν. τὸν δ' ἔκφερον ὠκέες ἵπποι
ἄμβροτοι, οὓς Πηλῆι θεοὶ δόσαν ἀγλαὰ δῶρα.

P.

17 οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν ἀρηίφιλον Μενέλαον
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηιοτῆτι.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,

so sehr als möglich verkleinert.

852. *βέῃ*, vgl. zu ο, 194.

854. *δαμέντι* zu *τοι* zu ziehen. Vgl. zu Od. β, 250; zur Sache Virg. Aen. 10, 739–741.

857. *λιποῦσ' – ἥβην*, der Grund des *γοόωσα*. — *ἀνδροτῆτα*, *τὴν ἀνδρὸς φύσιν*, das Mannsein, die Mannheit, Mannskraft. Diesen Begriff fordert der Zusammenhang, und die andere Lesart *ἀδροτῆτα* hat nur schwache Autoritäten für sich. Wie aber die erste Sylbe des Wortes vor drei Consonanten in der Aussprache als kurz erscheinen konnte, ist uns ein Räthsel; wahrscheinlich wurde das ν nicht gehört.

859. *μαντεύεαι*. Die Alten spr chen oft die Vorstellung aus, da die Seele in der Nähe des Tod eine Gabe der Ahnung und Weiss gung erhalte.

860. *τίς δ' οἶδ' εἴ κε*. Vgl. Od. β, 332.

Nur mit halbem Recht trägt di ses Buch die Ueberschrift *Μεν λάου ἀριστεία*; es enthält de Kampf um die Leiche des Pa troklos, woran Aias eben s grossen Antheil hat als Menelao

1 f. *οὐδ' ἔλαθε – Πάτροκλο δαμείς*, d. i. *τὸ δαμῆναι Πάτρο κλον οὐκ ἔλαθε*; vgl. zu ν, 560.

ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν' ὥς τις περὶ πόρτακι μήτηρ 17 5
πρωτοτόκος κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο·
ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος.
πρόσθε δέ οἱ δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐίσην,
τὸν κτάμεναι μεμαὼς ὅς τις τοῦ γ' ἀντίος ἔλθοι.
οὐδ' ἄρα Πάνθου υἱὸς ἐυμμελίης ἀμέλησεν
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ 10
ἔστη, καὶ προσέειπεν ἀρηίφιλον Μενέλαον
„Ἀτρείδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ' ἔναρα βροτόεντα.
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην· 15
τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.“
τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος
„Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
οὔτ' οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος 20
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος

4–6. ἀμφὶ – περὶ – περί. Eine Stelle, die zeigt, dass ἀμφὶ und περὶ bereits auch gleichbedeutend gebraucht werden. Vgl. Od. κ, 261 περὶ μὲν ξίφος ὤμοιιν βαλόμην, ἀμφὶ δὲ τόξα. — Die hier gebrauchte Vergleichung soll die treu besorgte Theilnahme des Menelaos hervorheben. Die Bestimmungen πρωτοτόκος κινυρή sind unmittelbar zu verbinden: blökend oder wimmernd, nachdem sie (so eben) zum ersten Male geboren. — εἰδυῖα, viersylbig wie εἰκυῖα ψ, 66.

7f. πρόσθε – ἔλθοι = ε, 300f., vgl. ebendas. 315. οἱ ist Dativus commodi.

9. Πάνθου υἱός, d. i. Εὔφορβος nach π, 807f.

13. ἔα δ' ἔναρα. Wenn auch Apollon dem Patroklos nach π, 804 den Panzer gelöst hatte und der Schild 802 ihm von selbst zu Boden gefallen war, so ist es doch natürlich, dass Euphorbos die Rüstung des von ihm zuerst Verwundeten (14 = π, 812) in Anspruch nimmt. Wenigstens konnte der Dichter nicht annehmen, dass Apollon die Waffen des Erschlagenen mit sich genommen habe. Wirklich bemächtigte sich aber derselben Hektor nach 122. 125, vgl. 130. 186–195.

19. Ζεῦ πάτερ. Er ruft den Zeus an, dass er der gerügten Ungebühr wehre oder sie strafe. Vgl. γ, 365.

21f. μέγιστος ist mit βλεμεαίνει zu verbinden. — Zu περὶ σθένεϊ βλεμεαίνει vgl. ϑ, 337 σθένεϊ βλεμεαίνων, und unten 135. Apollon. Rhod. 3, 1258 χεῖρες ἐπερρώσαντο περὶ σθένεϊ σφριγόωσαι. — περὶ scheint den Besitz, in welchem man sich befindet, und den darin liegenden Beweggrund zu bezeichnen.

17 θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πάνθου υἷες ἐυμμελίαι φρονέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
25 ἧς ἥβης ἀπόνηθ᾽, ὅτε μ᾽ ὤνατο καί μ᾽ ὑπέμεινεν
καί μ᾽ ἔφατ᾽ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὡς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα
30 στήῃς. ἀλλά σ᾽ ἔγωγ᾽ ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
ὣς φάτο, τὸν δ᾽ οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα
„νῦν μὲν δή, Μενέλαε διοτρεφές, ἦ μάλα τίσεις
35 γνωτὸν ἐμόν, τὸν ἔπεφνες, ἐπευχόμενος δ᾽ ἀγορεύεις,
χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε᾽ ἐνείκας

23. *Πάνθου υἷες*, Euphorbos, Polydamas, Hyperenor.

24. *οὐδὲ μὲν οὐδέ*, vgl. zu *μ*, 212: aber wahrlich auch — nicht.

25 f. *ἧς ἥβης ἀπόνητο*, vgl. 36 *θαλάμοιο νέοιο*. Hyperenor war noch jung, als er von Menelaos getödtet wurde. — *ὅτε μ᾽ ὤνατο — καί μ᾽ ἔφατ᾽*. Von diesen Umständen war bei der frühern Erwähnung dieses Factums *ξ*, 516 ff. keine Rede; vgl. *ε*, 832.

31. *μηδ᾽ ἀντίος ἵστασ᾽ ἐμεῖο*. Nachdrücklichere Wiederholung von *κελεύω σε — ἰέναι* zu unmittelbarer Einschärfung; das folgende *πρίν τι — παθέειν* ist wieder als Fortsetzung von *κελεύω — ἰέναι* zu nehmen.

32. *ῥεχθὲν — ἔγνω*, Geschehenes sieht auch ein Thor ein (aber zu spät). So Hesiodos: *παθὼν δέ τε νήπιος ἔγνω*. Livius 22, 39 *Nec eventus modo hoc docet; stultorum iste magister est.*

33. *ὣς φάτο, — ἀμειβόμενος δὲ προσηύδα* wie *ξ*, 270.

34. *τίσεις γνωτὸν ἐμόν* brachylogisch = *τιμωρίαν δώσεις* oder *δίκας τίσεις ὑπὲρ (περὶ) τοῦ ἐμοῦ ἀδελφοῦ (Ὑπερήνορος)*, nach Analogie von *α*, 42 *τίσειαν Δαναοὶ ἐμὰ δάκρυα*.

35. *ἐπευχόμενος δ᾽ ἀγορεύεις*. Lockere Anfügung an den Relativsatz *τὸν ἔπεφνες*, = *καὶ ᾧ ἐπευχόμενος ἀγορεύεις*. Ebenso die zwei folgenden Sätze.

37. *ἀρητόν*, Prädicat zu *ἔθηκας*; eigentlich: Klage und Trauer hast du seinen Eltern erwünscht gemacht, d. h. das Verlangen, die Sehnsucht nach Trauer, das Bedürfniss derselben in ihnen erweckt (den *ἵμερος γόου*) = *ω*, 741.

Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ. 17
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται 41
οὐδέ τ' ἀδήριτος, ἤ τ' ἀλκῆς ἤ τε φόβοιο."
ὣς εἰπὼν οὔτησε κατ' ἀσπίδα πάντοσ' ἐίσην·
οὐδ' ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμὴ
ἀσπίδ' ἐνὶ κρατερῇ. ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ 45
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί,
ἂψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ. 50
αἵματί οἱ δεύοντο κόμαι χαρίτεσσιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,

40. *Φρόντις.* Derselbe Name, aber als Masculinum, findet sich Od. *γ*, 282.

42. *οὐδέ τ' ἀδήριτος* ist nur die Erklärung von *οὐκ ἀπείρητος*; denn der Kampf oder das Mühsal muss, um versucht zu werden, eben gekämpft werden. Die Genitive *ἀλκῆς* und *φόβοιο* hangen von *πόνος* ab; im unglücklichen Fall wird der *πόνος* zum *φόβος*, doch beim Tapfern nur zuletzt, nicht von Anfang an. Auch wenn wir am Ende fliehen müssen, wollen wir doch zuerst kämpfen. — Zu *ἤ τε — ἤ τε* vgl. *τ*, 148 *παρασχέμεν — ἤ τ' ἐχέμεν* und zu Od. *π*, 216.

44–46. *οὐδ' ἔρρηξεν χαλκός, — πατρί* = *γ*, 348–350.

47. *κατὰ στομάχοιο θέμεθλα* (vgl. *ξ*, 493 *κατ' ὀφθαλμοῖο θέμεθλα*) = *τὰ ἔσχατα μέρη τοῦ λαιμοῦ, τὰ τοῦ λαιμοῦ τέλη.*

48. *αὐτός*, er selbst mit der ganzen Kraft seines Armes (*βαρείῃ χειρὶ πιθήσας*) und dem Gewicht seines Leibes.

51. *κόμαι χαρίτεσσιν ὁμοῖαι.* Zu dieser Brachylogie vgl. Od. *β*, 121 *ὁμοῖα νοήματα Πηνελοπείῃ.* Das Asyndeton dieses Verses bezeichnet denselben als Hauptzug der Schilderung, der am meisten auf den Affect wirkt.

52. *πλοχμοί θ' — ἐσφήκωντο*, vgl. zu *σ*, 401. Ein nach griechischem Gefühl unmännlicher Putz der Barbaren. Doch wird Apollon ebenfalls so geschildert Apollon. Rhod. 2, 677. 707. Virgil. Aen. 4, 147f. Auf eine jugendlich zarte Gestalt leitet auch die Vergleichung mit dem jungen Oelbaume (53–58).

53. *ἔρνος — ἐριθηλὲς ἐλαίης*, vgl. Od. *ζ*, 163 *φοίνικος νέον ἔρνος.*

54. *χώρῳ ἐν οἰοπόλῳ* = *ν*, 473. In solcher Lage kann der einzelne Baum am besten reichliche Nahrung aus der Erde ziehen. — *ἀναβέβρυχεν*, altbeglaubigte Lesart, dem Sinn und der Ableitung nach wohl s. v. a. das Zenodoteische *ἀναβέβροχεν*, nur mit äolischem Umlaut, von *ἀναβρέχω*, aufwärts benetzen, empordringend (das Land) tränken, befeuchten. Vgl. das ebenfalls isolirte defective Adjectiv *ὑπόβρυχα*

17 καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσιν
56 παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ
βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ·
τοῖον Πάνθου υἱὸν ἐυμμελίην Εὔφορβον
60 Ἀτρείδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθώς,
βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ, ἥ τις ἀρίστη·
τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσιν
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
65 δῃῶν· ἀμφὶ δὲ τόν γε κύνες ἄνδρες τε νομῆες
πολλὰ μάλ' ἰύζουσιν ἀπόπροθεν, οὐδ' ἐθέλουσιν
ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
70 ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοίδαο
Ἀτρείδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε θοῷ ἀτάλαντον Ἄρηι,
ἀνέρι εἰσάμενος, Κικόνων ἡγήτορι Μέντῃ·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
75 „Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ

von ὑποβρέχω und dagegen βέβρυχεν 264.

55f. πνοιαὶ δονέουσιν – ἀνέμων, vgl. zu λ, 256 ἀνεμοτρεφὲς ἔγχος.

60. ἐπεὶ κτάνε, τεύχε' ἐσύλα, d. i. ἔκτανε καὶ ἔπειτα τεύχε' ἐσύλα. Denn κτάνε ist der Hauptbegriff, συλᾶν untergeordnet.

63. τῆς δ' ἐξ αὐχέν' ἔαξε, ähnlich wie hier Menelaos dem Euphorbos gethan.

66. ἰύζουσιν, um den Löwen zu schrecken; vgl. Od. ο, 162 οἱ δ' ἰύζοντες ἕποντο. — Zu κύνες 65 denke durch Zeugma ὑλακτοῦσιν.

68. οὔ τινι – ἐτόλμα, entsprechend dem obigen οὐδ' ἐθέλουσιν ἀντίον ἐλθέμεναι, was zwar dort Nebenzug war.

70. ἔνθα κε ῥεῖα φέροι, da könnte leicht davon tragen — in der Dauer gedacht.

71. ἀγάσσατο, ἐφθόνησεν (neidisch geworden wäre).

73. Κικόνων ἡγήτορι Μέντῃ, vgl. zu β, 846. Man kann sich denken, Mentes sei ein Unteranführer (σημάντωρ) oder erst in späterer Zeit vor Troia angekommen. — Der Vers hat übrigens unverkennbare Aehnlichkeit mit Od. α, 105.

75f. ἀκίχητα (= ἀκατάληπτα) διώκων, Unerreichbares verfolgend, ihm nachstrebend. — ἵππους Αἰακίδαο δ., Erklärung zu ἀκίχητα.

ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι, 17
ἄλλῳ γ' ἢ Ἀχιλῆι, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος ἀρήιος Ἀτρέος υἱός
Πατρόκλῳ περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν, 80
Πανθοίδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
ὣς εἰπὼν ὁ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφιμελαίνας·
πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας, αὐτίκα δ' ἔγνω
τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ 85
κείμενον· ἔρρει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ,
ὀξέα κεκληγώς, φλογὶ εἴκελος Ἡφαίστοιο
ἀσβέστῳ. οὐδ' υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν 90
„*ὤ μοι ἐγών. εἰ μέν κε λίπω κάτα τεύχεα καλά*
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται.
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
αἰδεσθείς, μή πώς με περιστήωσ' ἕνα πολλοί· 95
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;

— *οἱ δ' ἀλεγεινοί–μήτηρ*, vgl. zu *κ*, 402–404.

79. *τόφρα*, unterdessen, während du dich vergeblich abmühst, des Achilleus Rosse zu erbeuten.

82f. *ὣς εἰπὼν – ἀνδρῶν* = *π*, 726. — Zu *φρένας ἀμφιμελαίνας* vgl. Einleit. S. 5.

86. *κατ' οὐταμένην ὠτειλήν* = *ξ*, 518 durch die offene, klaffende (eig. geschlagene) Wunde.

87. *βῆ δὲ διὰ προμάχων*, um seine Landsleute zum Kampfe zu sammeln; mit ihnen rückt er dann an 107. In der Zwischenzeit stellt Menelaos die 90–105 enthaltene Ueberlegung an.

88. *ὀξέα κεκληγώς* s. v. a. *ὀξὺ βοήσας* im folgenden Verse.

89. *ἀσβέστῳ. οὐδέ.* Sehr ungewöhnliche Synizesis bei zwei durch die stärkste Interpunction getrennten Wörtern.

91. *εἰ μέν κε λίπω.* Der Nachsatz ist 93 *μή τίς μοι – νεμεσήσεται* (*νεμεσήσηται*), d. h. dann ist zu besorgen, dass mir mancher der Danaer grolle; ebenso 95 *μή πώς με περιστήωσι* zum zweiten Vordersatz *εἰ δέ κεν – μάχωμαι.*

92. *ἐμῆς ἕνεκα – τιμῆς*, vgl. zu *α*, 159 *τιμὴν ἀρνύμενοι Μενελάῳ.*

95. *αἰδεσθείς*, aus Scheu vor dem Urtheil der Danaer (93).

97. *ἀλλὰ – θυμός;* vgl. Einleit. S. 4 und zu *λ*, 407. Hier aber giebt Menelaos dem Entschluss sich zurückzuziehen den Vorzug, weil die Götter dem Hektor beistehen.

17 ὁππότ' ἀνὴρ ἐθέλῃ πρὸς δαίμονα φωτὶ μάχεσθαι
ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.
100 τῷ μ' οὔ τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
105 Πηλείδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη."
ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρόν,
ἐντροπαλιζόμενος ὥς τε λὶς ἠυγένειος,
110 ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο.
ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
115 παπταίνων Αἴαντα, μέγαν Τελαμώνιον υἱόν.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι·

98. *πρὸς δαίμονα*, vgl. 104 = *ἐναντιούμενος δαίμονι*, ungefähr s. v. a. *παρὰ θεοῦ γνώμην*. — *φωτὶ* ist mit *ὅν κε θεὸς τιμᾷ* in Einen Begriff verbunden.

99. *κυλίσθη*. Der Aorist ist auch hier der s. g. gnomische, der einen — sei es wirklichen oder nur von der Phantasie geschaffenen — Fall zum Vertreter aller macht, doch mit dem Nebenbegriff der schnellen und unfehlbaren Wirkung (*τάχα*). Vgl. 57 f. *ἐλθὼν δ' ἐξαπίνης - ἐξέστρεψε κτέ.*

100. *μ' οὔ τις*, d. i. *μοι οὔ τις*, vgl. zu ν, 481.

101. *ἐκ θεόφιν* = *θείᾳ ὁρμῇ*, von einem Gotte getrieben, *deo auctore, divinitus*.

102. *εἰ δέ που - πυθοίμην* (vgl. 115 f.), wenn ich nur irgendwo entdecken, wahrnehmen könnte.

104. *εἴ πως ἐρυσαίμεθα*, d. i. *πειρώμενοι εἴ πως κτέ.*

105. *κακῶν - φέρτατον εἴη*, d. i. *ὡς ἐν κακοῖς, ἐκ τῶν παρόντων κακῶν τοῦτο ἂν εἴη τὸ ἄριστον.*

107. *ἐπὶ Τρώων στίχες ἤλυθον.* Schon 96 hatte sie Menelaos heranrücken gesehen.

109. *ἐντροπαλιζόμενος*, vgl. zu ζ, 496 = λ, 547 f.

112. *παχνοῦται*, *συστέλλεται*, das Herz zieht sich gleichsam wie gerinnend, erstarrend zusammen, d. h. er verliert den Muth.

114. *στῆ - ἑταίρων* = λ, 595. ο, 591.

116 f. *τὸν δὲ - μάχεσθαι* = 682 f. (in Beziehung auf Antilochos);

θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων. 17
βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα.
„Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος 120
σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆι προφέρωμεν
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ."
ὣς ἔφατ', Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινεν.
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα, 125
ἕλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέι χαλκῷ,
τὸν δὲ νέκυν Τρῳῇσιν ἐρυσσάμενος κυσὶ δοίη·
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠύτε πύργον.
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων,
ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὅ γε τεύχεα καλὰ 130
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας
ἑστήκειν ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕλῃ
ἄνδρες ἐπακτῆρες· ὁ δέ τε σθένεϊ βλεμεαίνει, 135
πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·

über ἐπ' ἀριστερὰ μ. vgl. zu ν, 675.

120. περὶ Πατρόκλοιο θανόντος. Durch diese Worte erhält wohl auch Aias die erste Kunde vom Tod des Patroklos; daher der 123 bezeichnete Eindruck.

121. προφέρωμεν, vorwärts und zutragen, vgl. ζ, 346.

122. γυμνόν, hier eigentlicher als π, 815, wo es gewissermassen hyperbolisch gebraucht war. — Die Waffenrüstung muss Hektor dem Leichnam eben in dieser Zwischenzeit, während Menelaos den Aias aufsuchte und herbeiholte, theils ausgezogen theils von der Seite weggenommen haben, vgl. 13 und 125; Apollon aber hatte ihm dies nur vorbereitet und erleichtert (π, 793. 804).

127. τὸν δὲ νέκυν, d. h. den Rumpf des Leichnams.

129. Ἕκτωρ – ἀνεχάζετο. Wieder eine Anerkennung der überlegenen Tapferkeit des Achäers; denn beim Erscheinen des Aias lässt Hektor den Leichnam des Patroklos, den er seiner angebornen Tapferkeit folgend (125–127) an sich ziehen wollte und zu ziehen begann, wieder fahren.

133. ἀμφὶ Μενοιτιάδῃ – καλύψας, vgl. ε, 315 πρόσθε δέ οἱ πέπλοιο – πτύγμ' ἐκάλυψεν.

134. (λέων) ᾧ ῥά τε – ἄγοντι κτέ. λέων ist auch hier, wie bei Homer immer, als Nomen epicoenum von der Löwin gebraucht, vgl. σ, 318–321. Denn die Löwin, nicht der Löwe, pflegt und leitet die Jungen. Die Femininform λέαινα findet sich bei Homer nie.

136. ἐπισκύνιον, τὸ περὶ τὰς ὀφρῦς δέρμα, τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος ἤτοι δέρμα. —

17 ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωι βεβήκει.
Ἀτρείδης δ' ἑτέρωθεν ἀρηίφιλος Μενέλαος
ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
140 Γλαῦκος δ' Ἱππολόχοιο πάις, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ.
„Ἕκτορ εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο.
ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει φύξηλιν ἐόντα.
φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσεις
145 οἶος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν·
οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηίοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
150 σχέτλι', ἐπεὶ Σαρπηδόν' ἅμα ξεῖνον καὶ ἑταῖρον
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι,

ὄσσε καλύπτων nach Einigen, um nicht die auf ihn zufliegenden Geschosse zu sehen, noch dadurch in der Vertheidigung seiner Jungen irre gemacht zu werden.

137. βεβήκει, er war geschritten, getreten: also stand er jetzt (133. 139).

140f. Γλαῦκος δ' — ἠνίπαπε μύθῳ. Die bald zurückgedrängte Tapferkeit und Thatkraft des Hektor muss durch eine etwas empfindliche Berührung — die Erinnerung an Sarpedon 150–153 — geweckt und wieder angeregt werden. Uebrigens zeigt sich auch hier, wie überall, eine gewisse Gespanntheit zwischen den Lykiern und Troern.

142. Ἕκτορ. Die Endsylbe dieses Wortes wird durch den Einfluss des folgenden Digamma verlängert. — μάχης ἄρα — ἐδεύεο, im Kampfe stehest du weit nach, des Kampfes ermangelst du sehr (vgl. zu ν, 310 δεύεσθαι πολέμοιο), eigentlich du ermangeltest also, was ich bisher nicht bedachte, jetzt aber erkenne. Vgl. Od. ρ, 454 οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν und unten 147.

143. ἦ σ' αὔτως — ἔχει, vgl. zu Od. α, 95 ἠδ' ἵνα μιν κλέος ἐσθλὸν — ἔχησιν. αὔτως wie α, 133. β, 342; vgl. zu ο, 513.

144. ὅππως κε — σαώσεις, wie du wohl retten wirst. Bemerke die Verbindung von πόλιν καὶ ἄστυ (Stadt und Feste).

145. οἶος, d. h. ohne die ἐπίκουροι.

147f. οὐκ ἄρα τις χάρις ἦεν μάρνασθαι, d. i. χάρις τοῦ μάρνασθαι, es war kein Dank, keine Anerkennung der Tapferkeit. Vgl. zu Od. χ, 319 οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.

149. χείρονα, einen geringern, weniger vorzüglichen. — μεθ' ὅμιλον Schol. ἐν πολέμῳ, im Gedränge des Kampfes.

150. ἐπεὶ Σαρπηδόνα — κάλλιπες. Begreiflich weiss Glaukos nichts von dem, was auf Befehl des Zeus von Apollon mit dem Leichnam des Sarpedon vorgenommen wurde; vgl. π, 666–683.

ὅς τοι πόλλ' ὄφελος γένετο, πτόλεΐ τε καὶ αὐτῷ, 17
ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
τῷ νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος. 155
εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη,
ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται οἳ περὶ πάτρης
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος 160
ἔλθοι τεθνηὼς καί μιν ἐρυσαίμεθα χάρμης,
αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλά
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες. 165
ἀλλὰ σύ γ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηίων ἐν ἀυτῇ,
οὐδ' ἰθὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστιν."

τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ
„Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες; 170
ὢ πόποι, ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσιν·

152. πόλλ' ὄφελος γένετο, d. i. πολλάκις, πολλαχῶς ὠφέλημα ἐγένετο.

153. ἀλαλκέμεναι κύνας, d. i. ihn gegen die Gefahr, eine Beute der Hunde zu werden, sicher zu stellen.

154. εἴ τις – ἐπιπείσεται der Sache nach = εἰ Λύκιοι ἄνδρες ἐμοὶ ἐπιπείσονται, wie der Hauptsatz οἴκαδ' ἴμεν zeigt. — πεφήσεται nur hier von φαίνω, sonst bei Homer immer von φένω.

156. Τρώεσσι, den Troern im engern Sinn, = 145 τοὶ Ἰλίῳ ἐγγεγάασιν. Denn nur diese, nicht die ἐπίκουροι, lassen es an Tapferkeit fehlen.

161. χάρμης aus dem Kampfe, dem Andrang der feindlichen Waffen; vgl. 104; unten zu 235 νεκρὸν ὑπ' Αἴαντος ἐρύειν.

163. ἀγοίμεθα, wir würden ihn selbst mit uns führen, z. B. auf einem Wagen.

164 f. ὃς μέγ' ἄριστος – θεράποντες von Achilleus wie π, 271 f.

167. κατ' ὄσσε ἰδών, ihm in's Auge schauend, fest in die Augen blickend. Vgl. ο, 320 κατένωπα ἰδὼν Δαναῶν ταχυπώλων.

168. ἰθὺς μαχέσασθαι, erg. αὐτῷ, = ἐξ εὐθείας πολεμῆσαι.

170. τοῖος ἐὼν wird durch den folgenden Vers erklärt. Sinn: da du sonst so besonnen bist.

171. ὢ πόποι, hier der Ausdruck abschätzigen Bedauerns.

173 νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
ὅς τέ με φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
175 οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος αἰγιόχοιο,
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηιδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον,
180 ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
ἤ τινὰ καὶ Δαναῶν ἀλκῆς, μάλα περ μεμαῶτα,
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος."
ὣς εἰπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας
„Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
185 ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς."
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
δηίου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
190 ὦκα μάλ', οὔ πω τῆλε, ποσὶ κραιπνοῖσι μεταςπών,
οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλείωνος.
στὰς δ' ἀπάνευθε μάχης πολυδακρύου ἔντε' ἄμειβεν·

173. νῦν δέ — ἔειπες, jetzt muss ich deinen Unverstand schelten. Der Aorist (ὠνοσάμην) bezeichnet den Moment, in welchem dieses Urtheil im Innern des Sprechenden aufgestiegen ist und sich ausgebildet hat; doch ist dies Verbum das einzige homerische Beispiel dieses Gebrauches = ω, 241 ἦ ὀνόσασθε.

175. ἔρριγα, vgl. zu η, 114 ἔρριγε.

176. ἀλλ' αἰεί τε, vgl. π, 688. — τε gehört zu ἀλλά, wie unten 677. Od. μ, 44. 64. 67.

177. καὶ ἄλκιμον ἄνδρα φοβεῖ, wie z. B. den Telamonier Aias λ, 544. Vor diesen Worten hat man hinzuzudenken ὁτὲ μέν, entsprechend dem folgenden ὁτὲ δέ. Der Aorist ἀφείλετο deutet auf bestimmte Erfahrungen, wie sie der Sprechende selbst gemacht hat.

181. ἤ τινὰ καί, vgl. zu θ, 379. — ἀλκῆς hängt von σχήσω ab und wird durch ἀμυνέμεναι κτέ. näher bestimmt.

186. ὄφρ' ἂν δύω (Aor. conj.), während ich anziehe, eigentlich bis ich angezogen haben werde.

187. τὰ — κατακτάς vgl. χ, 323. Πατρόκλοιο βίην hängt von κατακτάς, und nur τά von ἐνάριξα (= ἐξενάριξα) ab.

188. ἀπέβη, nämlich um die Waffen des Achilleus (130f. 186) zurückzuholen und anzuziehen.

190. οὔ πω τῆλε (ἐόντας), da sie nicht fern waren. — ποσὶ κρ. μεταςπών = Od. ξ, 33.

192. πολυδακρύου ἔντε' ἄμ. Wieder eine Synizese von ου und ε, vgl. zu 89.

ἤτοι ὁ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρὴν 17
Τρωσὶ φιλοπτολέμοισιν, ὁ δ' ἄμβροτα τεύχεα δῦνεν
Πηλείδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ Οὐρανίωνες 195
πατρὶ φίλῳ ἔπορον· ὁ δ' ἄρα ᾧ παιδὶ ὄπασσεν
γηράς· ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
τὸν δ' ὡς οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεύς
τεύχεσι Πηλείδαο κορυσσόμενον θείοιο,
κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν 200
„ἆ δειλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε,
τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων 205
εἵλευ. ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
τῶν ποινὴν ὅ τοι οὔ τι μάχης ἐκνοστήσαντι
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος."
ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.
Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ, δῦ δέ μιν Ἄρης 210

195 f. ἅ οἱ θεοὶ – πατρὶ – ἔπορον, welche seinem Vater die Götter geschenkt hatten. Vgl. zu δ, 219 τά οἱ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων.

197. γηράς, *postquam consenuit.* — Zu ἐγήρα vgl. Herodot. 6, 72 οὐ μὲν οὐδὲ Λευτυχίδης κατεγήρα ἐν Σπάρτῃ. Die beiläufige Erwähnung des Alters von Peleus veranlasst den ahnungsvoll wehmüthigen Ausruf in Betreff des Achilleus ἀλλ' – ἐγήρα.

200. κινήσας ῥα κάρη, vgl. zu Od. ε, 285. Indem Zeus für den Augenblick Hektor's Wunsch gewährt, beschliesst oder bestätigt er zugleich seinen nahen Untergang (207 f.).

201. ἆ δειλ' = λ, 441. 452. — οὐδέ τί τοι = καταθύμιός ἐστιν, Grund des durch ἆ δειλὲ ausgedrückten Bedauerns. — Zu καταθύμιος vgl. κ, 383.

202. ὃς – σχεδὸν εἶσι, der dir doch nahet, immer näher kommt.

205. οὐ κατὰ κόσμον, weil nicht eigentlich du selbst ihn besiegt hast und weil es von den Göttern geschenkte Waffen waren.

207. τῶν ποινήν, zum Ersatz, zur Entschädigung dafür dass u. s. w., vgl. ε, 266.

209. ἐπ' ὀφρύσι νεῦσε in Beziehung auf das 206 verheissene μέγα κράτος im bevorstehenden Kampfe. Das ἐπινεῦσαι ist die gleichsam unbewusste Geberde zum Ausdruck des festen Entschlusses.

210. ἥρμοσε τεύχεα. Das war der Vorzug der Werke des Hephästos; sie hatten auch dem Peleus, Achilleus, Patroklos gepasst. — δῦ δέ μιν Ἄρης. Die Erklärung dieses bildlichen Ausdrucks giebt der folgende Satz πλῆσθεν – σθένεος.

17 δεινὸς ἐνυάλιος, πλῆσθεν δ' ἄρα οἱ μέλε' ἐντός
ἀλκῆς καὶ σθένεος. μετὰ δὲ κλειτοὺς ἐπικούρους
βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ σφισι πᾶσιν
τεύχεσι λαμπόμενος μεγαθύμου Πηλείωνος.
215 ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσιν,
Μέσθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερσίλοχόν τε
Ἀστεροπαῖόν τε Δεισήνορά θ' Ἱππόθοόν τε
Φόρκυν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιστήν.
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα.
220 „κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων.
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν.
225 τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
τῷ τις νῦν ἰθὺς τετραμμένος ἢ ἀπολέσθω
ἠὲ σαωθήτω· ἡ γὰρ πολέμου ὀαριστύς.
ὃς δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπης
230 Τρῶας ἐς ἱπποδάμους ἐρύσῃ, εἴξῃ δέ οἱ Αἴας,
ἥμισυ τῷ ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτός

213. *ἰνδάλλετο – λαμπόμενος*, er erschien – strahlend, d. h. schien ihnen zu strahlen in den Waffen u. s. f. Das Verbum *ἰνδάλλομαι* ist construirt wie sonst zuweilen *ἔοικα*.

216 f. *Μέσθλην*, vgl. *β*, 864. *Ἱππόθοον* = *β*, 840–843. *Φόρκυν* = *β*, 862. *Χρομίον* (= *Χρόμιν*) und *Ἔννομον* *β*, 858.

220. *μυρία φῦλα*, gegen Glaukos (146–148. 154 f.) gerichtet.

221. *οὐ γὰρ ἐγὼ κτέ.* Der Hauptgedanke, der durch diese Worte zum voraus begründet wird, ist in 227 f. enthalten, wird aber durch *τῷ* nochmals angeknüpft, vgl. *η*, 328–331.

225 f. *δώροισι – καὶ ἐδωδῇ.* Durch Geschenke und reichliche Nahrung mussten also die Bunde[sgenossen] genossen in guter Stimmung erha[l]ten werden. — *λαούς*, mein Vol[k] meine Leute.

227. *ἰθὺς τετραμμένος κτέ.*, g[e]rade und muthig in den Kampf g[e]hend mache sich jeder ebenso g[e]fasst auf den Tod als auf Rettu[ng] und Sieg.

228. *ἡ γὰρ – ὀαριστύς* = *αὔ[τη] γὰρ ἡ τοῦ πολέμου ὁμιλία*, das i[st] des Krieges Verkehr und Gesel[l]schaft, nur zwischen diesen hat m[an] also zu wählen.

229. *ἔμπης* steht parallel mit *κ[αί] περ*, vgl. *ξ*, 1.

230. *εἴξῃ – Αἴας* s. v. a. *εἴξα[ν]τος* oder *ὑποχωρήσαντος Αἴαντο[ς]*

ἔξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται ὅσσον ἐμοί περ." 17
ὣς ἔφαθ᾽, οἱ δ᾽ ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν,
δούρατ᾽ ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμός
νεκρὸν ὑπ᾽ Αἴαντος ἐρύειν Τελαμωνιάδαο· 235
νήπιοι· ἦ τε πολέσσιν ἐπ᾽ αὐτῷ θυμὸν ἀπηύρα.
καὶ τότ᾽ ἄρ᾽ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον
„ὦ πέπον, ὦ Μενέλαε διοτρεφές, οὐκέτι νῶι
ἔλπομαι αὐτώ περ νοστησέμεν ἐκ πολέμοιο.
οὔ τι τόσον νέκυος περιδείδια Πατρόκλοιο, 240
ὅς κε τάχα Τρώων κορέει κύνας ἠδ᾽ οἰωνούς,
ὅσσον ἐμῇ κεφαλῇ περιδείδια, μή τι πάθῃσιν,
καὶ σῇ, ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει,
Ἕκτωρ, ἡμῖν δ᾽ αὖτ᾽ ἀναφαίνεται αἰπὺς ὄλεθρος.
ἀλλ᾽ ἄγ᾽ ἀριστῆας Δαναῶν κάλει, ἤν τις ἀκούσῃ." 245
ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
ἤυσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς,
„ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
οἵ τε παρ᾽ Ἀτρείδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ
δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος 250

233. *βρίσαντες* Schol. *καταβαρύναντες ἑαυτούς*, sich mit ihrer ganzen Schwere auf sie werfend.

235. *νεκρόν*, d. i. *Πάτροκλον*. Zur Construction des Folgenden vgl. 224 und *ι*, 248.

236. *ἐπ᾽ αὐτῷ*, über ihm und zu ihm, vgl. 300 *πέσε πρηνὴς ἐπὶ νεκρῷ* und *δ*, 470. — *ἀπηύρα* erg. *Αἴας*.

237. *εἶπε – Μενέλαον*, vgl. zu Od. *ψ*, 91 *εἴ τί μιν εἴποι*. — Bei der Menge der andringenden Feinde wandelt den Aias wieder grosse Angst an. Er wendet sich daher an Menelaos, der ihn herbeigerufen (115. 120) und der von Anfang dieses Buches an als die Hauptperson bei den Achäern, ja gewissermassen als Oberfeldherr erscheint — mit der Aufforderung, noch andere Helden herbeizuziehen.

238. *ὦ πέπον, ὦ Μενέλαε*. Doppelte Anrede zum Ausdruck der grossen Beklommenheit.

239. *αὐτώ περ*, auch nur selbst, abgesehen von allen Andern.

240. *νέκυος περιδείδια*, vgl. zu *κ*, 93 *Δαναῶν περιδείδια*. — *Πατρόκλοιο* hängt von *νέκυος* ab.

243 f. *ἐπεὶ πολέμοιο νέφος – Ἕκτωρ*, denn die Wolke des Krieges, Hektor, hüllt ringsumher Alles ein, umzieht Alles. Vgl. *λ*, 347 *νῶιν δὴ τόδε πῆμα κυλίνδεται, ὄβριμος Ἕκτωρ*. So bezeichnet auch Pindar Nem. 10, 16 den Einen Amphiaraos als *πολέμοιο νέφος* (= das Wetter des Krieges).

245. *ἤν τις ἀκούσῃ*, nämlich vor dem Lärm der andringenden Feinde.

250. *δήμια πίνουσιν*, bei den Gerontenmahlen, vgl. *δ*, 259 f. Statt der dritten Person *πίνουσιν* würde

17 λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ.
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ
255 Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι."
ὣς ἔφατ'· ὀξὺ δ' ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας,
πρῶτος δ' ἀντίος ἦλθε θέων ἀνὰ δηιοτῆτα,
τὸν δὲ μετ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος ἐνυαλίῳ ἀνδρειφόντῃ.
260 τῶν δ' ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ' εἴποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ προύτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο
βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι
265 ἠιόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω,
τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν. αὐτὰρ Ἀχαιοί
ἕστασαν ἀμφὶ Μενοιτιάδῃ ἕνα θυμὸν ἔχοντες,
φραχθέντες σάκεσιν χαλκήρεσιν. ἀμφὶ δ' ἄρα σφιν

man nach sonstigem Sprachgebrauche die zweite *πίνετε καὶ σημαίνετε* erwarten.

251. *ἐκ δὲ Διὸς — ὀπηδεῖ.* Parataktische Bestimmung zu *ὦ φίλοι — μέδοντες*, parallel mit *οἵ τε — πίνουσιν κτέ.*, also = *οἷς ἐκ Διὸς — ὀπηδεῖ.*

252. *διασκοπιᾶσθαι ἕκαστον ἡγεμόνων*, jeden der Führer (der in der Nähe ist) zu erspähen und ihn namentlich herbeizurufen. Sie sollen aus eigenem Antrieb (*αὐτὸς* 254 = *αὐτόματος*), ungerufen, wenigstens ohne namentliche Aufforderung kommen.

254. *νεμεσιζέσθω*, er achte es für Frevel, der gesühnt werden müsste.

260. *τῶν δ' ἄλλων — εἴποι*, d. h. ohne Hyperbel: Und ausserdem kamen noch viele andere. Eine Bestimmung, die der Zusammenhang des Vorhergehenden und Folgenden beinahe nothwendig macht. — *ᾗσι φρεσίν*, aus eigenem Sinne, ohne Beihülfe eines Gottes oder der Muse.

261. *μετόπισθε*, nachher, d. h. den Erstgenannten (256—259) nachfolgend.

264. *βέβρυχεν*, vgl. Od. ε, 412, verschiedenen Stammes von *ἀναβέβρυχεν* 54, wie schon die ungleiche Quantität des *υ* zeigt. — *ποτὶ ῥόον*, gegen den Strom d. h. gegen die Strömung des sich in's Meer ergiessenden Flusses.

265. *βοόωσιν* ahmt das anhaltende und machtvolle Brüllen der Meereswogen nach, vgl. ξ, 394 *βοάᾳ*.

268. *φραχθέντες*, vgl. ο, 566 *φράξαντο δὲ νῆας ἕρκεϊ χαλκείῳ*. Zur Construction des folgenden Satzes *ἀμφὶ δ' ἄρα σφιν — χεῦε* vgl. κ, 257 *ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκεν*.

λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν   17
χεῦ᾽, ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάρος γε,   270
ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
μίσησεν δ᾽ ἄρα μιν δηίων κυσὶ κύρμα γενέσθαι
Τρῳῇσιν· τῷ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, οὐδέ τιν᾽ αὐτῶν   275
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν ἱέμενοί περ,
ἀλλὰ νέκυν ἐρύοντο. μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοί
μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεας ὦκ᾽ ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος περὶ δ᾽ ἔργα τέτυκτο
τῶν ἄλλων Δαναῶν μετ᾽ ἀμύμονα Πηλείωνα.   280
ἴθυσεν δὲ διὰ προμάχων συῒ εἴκελος ἀλκὴν
καπρίῳ, ὅς τ᾽ ἐν ὄρεσσι κύνας θαλερούς τ᾽ αἰζηούς
ῥηιδίως ἐκέδασσεν, ἑλιξάμενος διὰ βήσσας.
ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ, φαίδιμος Αἴας,
ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,   285
οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
ἄστυ πότι σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι.
ἤτοι τὸν Λήθοιο Πελασγοῦ φαίδιμος υἱός
Ἱππόθοος ποδὸς ἕλκε κατὰ κρατερὴν ὑσμίνην,

269 f. *Κρονίων — χεῦε.* Ein Zeichen der Theilnahme am Tode des Patroklos. Noch stärker wird diese unten 366–373 angedeutet. Dies erleichterte auch den Vertheidigern des Leichnams ihre Arbeit.

270. *οὐδὲ — ἤχθαιρε,* d. h. er hatte ihn auch geliebt, sehr werth gehalten.

272. *μίσησεν* Schol. *μισητὸν ἡγήσατο, οὐκ ἠθέλησεν*; vgl. 254 *νεμεσιζέσθω.* — Der Stamm *μισέω* kommt sonst bei Homer nirgends vor.

274. *ὦσαν δὲ πρότεροι.* Ueberraschend schnelle Wirkung des ungestümen Angriffs der Troer; sie geht aber nach 277 ff. auch ebenso schnell vorüber.

277. *νέκυν ἐρύοντο,* sie suchten den Leichnam an sich zu ziehen und es schien zu gelingen. — *καὶ* gehört zu *Ἀχαιοί.*

279 f. *Αἴας — Πηλείωνα* = Od. λ, 550 f.

283. *ἑλιξάμενος,* sich hin und her wendend, öfter umdrehend; vgl. μ, 47 *ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων.*

285. *ῥεῖα μετεισάμενος* = ν, 90; doch wegen der offenbaren Beziehung auf 283 *ῥηιδίως ἐκέδασσεν* scheint *ῥεῖα* auch hier mit *ἐκέδασσε* zu verbinden. — Zu *φάλαγγας οἳ* vgl. π, 280 f. *φάλαγγες ἑλπόμενοι: κατὰ σύνεσιν.* Doch kann *οἳ* auch auf *Τρώων* bezogen werden.

288 f. *Λήθοιο — Ἱππόθοος,* vgl. oben 217.

17 δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,
291 Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
τὸν δ' υἱὸς Τελαμῶνος, ἐπαΐξας δι' ὁμίλου,
πλῆξ' αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρῄου·
295 ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ,
πληγεῖσ' ἔγχεΐ τε μεγάλῳ καὶ χειρὶ παχείῃ,
ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
αἱματόεις. τοῦ δ' αὖθι λύθη μένος, ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
300 κεῖσθαι· ὁ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
τῆλ' ἀπὸ Λαρίσης ἐριβώλακος, οὐδὲ τοκεῦσιν
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ.
305 ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν· ὁ δὲ Σχεδίον μεγαθύμου Ἰφίτου υἱόν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆι
οἰκία ναιετάασκε πολέσσ' ἄνδρεσσιν ἀνάσσων,
τὸν βάλ' ὑπὸ κληῖδα μέσην· διὰ δ' ἀμπερὲς ἄκρη
310 αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχεν.
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἴας δ' αὖ Φόρκυνα δαΐφρονα, Φαίνοπος υἱόν,

290. δησάμενος, um weniger lange in der Nähe der Feinde verweilen zu müssen und sich dadurch bloss zu stellen.

291. χαριζόμενος, weil er nur ἐπίκουρος war.

293. ἐπαΐξας δι' ὁμίλου, wegen des dichten Gedränges und der Menge der Kämpfenden, vgl. 260f. 268.

297. παρ' αὐλόν, neben der (metallenen) Röhre (Oehse) des Speerschaftes (worein dieser eingepasst war), vgl. zu Od. τ, 227 und über δολίχαυλος zu Od. ι, 156.

300. κεῖσθαι bezeichnet die dauernde Wirkung von ἧκε, = ὥς τε χαμαὶ κεῖσθαι. — πρηνὴς ἐπὶ νεκρῷ ist unmittelbar zu verbinden: vorwärts, auf's Antlitz über den Leichnam, und widerspricht also dem ἄγχ' αὐτοῖο nicht.

301f. τῆλ' ἀπὸ Λαρίσης, vgl. zu β, 841. — οὐδὲ τοκεῦσιν – δαμέντι = δ, 477-479, wo das Bemerkte nachzusehen.

306. Σχεδίον – Ἰφίτου υἱόν, vgl. β, 517f. und zu ο, 515.

310. παρὰ νείατον ὦμον, zuäusserst d. h. zuoberst an der Schulter, vgl. ο, 341. — Zu ἀνέσχεν vgl. ε, 100 ἀντικρὺ διέσχε.

312. Φόρκυνα = oben 218 und

Ἱπποθόῳ περιβάντα μέσην κατὰ γαστέρα τύψεν, 17·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ. 315
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,
Φόρκυν θ' Ἱππόθοόν τε, λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
ἔνθα κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες, 320
Ἀργεῖοι δέ κε κῦδος ἕλον καὶ ὑπὲρ Διὸς αἶσαν
κάρτεϊ καὶ σθένεϊ σφετέρῳ. ἀλλ' αὐτὸς Ἀπόλλων
Αἰνείαν ὤτρυνε, δέμας Περίφαντι ἐοικώς,
κήρυκ' Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς. 325
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων
„Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους,
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέῃ τε
πλήθεΐ τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντας. 330

318 Φόρκυν, jenes vom Nominativ Φόρκυν, dies von Φόρκυς (β, 862).

314. θώρηκος γύαλον, vgl. zu ε, 99. Dieser und der folgende Vers sind wörtlich = ν, 507.

317. ἐρύσαντο – νεκρούς, doch nur die so eben erlegten, auf deren Schutz die Aufmerksamkeit der Troer weniger gerichtet war, als auf die Leiche des Patroklos.

319 f. ἔνθα – δαμέντες = ζ, 73 f., wo auch Aeneas eine der handelnden Personen ist.

321. καὶ ὑπὲρ Διὸς αἶσαν. Diese Schickung des Zeus ist nur auf den jetzt dauernden Kampf bis zur Genugthuung für Achilleus (vgl. π, 780 und unten 453–455) zu beziehen, für welchen noch 206 Zeus dem Hektor den Sieg verheissen hatte. So werden wieder die Argeier ihrem persönlichen Werthe nach über die Troianer erhoben (κάρτεϊ καὶ σθένεϊ σφετέρῳ).

324. κήρυκ' Ἠπυτίδῃ. Passendes Patronymikon für einen Herold, wie auch die Appellativa ἠπύτα κῆρυξ mit einander verbunden sind η, 384; vgl. ω, 577 κήρυκα καλήτορα τοῖο γέροντος. — παρὰ πατρὶ γέροντι, also bei Anchises.

327. πῶς ἂν – εἰρύσσαισθε; Die Frage drückt wie bei Spätern Wunsch und Aufforderung aus: wie könntet ihr retten, d. h. könntet ihr wohl = ihr solltet, möchtet ihr doch u. s. w.

328–330. ὡς δὴ ἴδον ἀνέρας ἄλλους erg. εἰρυομένους τὴν πόλιν αὐτῶν, wie ich schon andere Männer (thun) sah. Die folgenden Participia sind nicht Prädicat zu ἴδον, sondern in appositionellem Verhältniss zu ἀνέρας ἄλλους. — πεποιθότας, dadurch dass sie vertrauten. — καὶ – ἔχοντας, concessiv: obgleich sie hatten. — πλήθεϊ – σφετέρῳ (*copiis suis*), auf

17 ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον, οὐδὲ μάχεσθε."
ὣς ἔφατ'· Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
ἔγνω ἔσαντα ἰδών, μέγα δ' Ἕκτορα εἶπε βοήσας
335 „Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
αἰδὼς μὲν νῦν ἥδε γ', ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι ἀναλκείῃσι δαμέντας.
ἀλλ' ἔτι γάρ τίς φησι θεῶν, ἐμοὶ ἄγχι παραστάς,
Ζῆν', ὕπατον μήστωρα, μάχης ἐπιτάρροθον εἶναι·
340 τῷ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μηδ' οἵ γε ἕκηλοι
Πάτροκλον νηυσὶν πελασαίατο τεθνηῶτα."
ὣς φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη·
οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
ἔνθ' αὖτ' Αἰνείας Λειώκριτον οὔτασε δουρί,
345 υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
τὸν δὲ πεσόντ' ἐλέησεν ἀρηίφιλος Λυκομήδης,
στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
καὶ βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν,
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν,
350 ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,
καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήιος Ἀστεροπαῖος,
ἴθυσεν δὲ καὶ ὁ πρόφρων Δαναοῖσι μάχεσθαι.

ihre Zahl, die indess nach dem Folgenden geringer als die feindliche, nicht etwa derselben überlegen war. — ὑπερδέα (ὑπεροδεέα, syncopirt), d. i. σφόδρα ἐνδεῆ = τῷ πλήθει ὀλίγους ὄντας.

331. ἡμῖν δὲ κτέ., d. h. wir aber sind in einer weit günstigern Lage, von den Göttern begünstigt, vgl. 338f.

332. τρεῖτε, ihr entzieht euch dem Kampfe, weichet zurück. Vgl. ξ, 132 ἀφεστᾶσ' οὐδὲ μάχονται.

334. ἔγνω, obgleich Apollon in Menschengestalt war, so dass ihn die Andern nicht erkannten, vgl. α, 198–200.

336f. αἰδὼς–ἥδε– εἰσαναβῆναι, vgl. zu ε, 787.

338. ἀλλὰ sollte eigentlich mit 340 ἰθὺς Δαναῶν ἴομεν in Einen Satz verbunden sein.

339. ὕπατον μήστωρα, vgl. δ, 84 Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

343. οἱ δ' ἐλελίχθησαν κτέ. = ε, 497.

345. Λυκομήδεος, vgl. zu μ, 366.

347–349. στῆ δὲ – ἔλυσεν. Ueber ähnliche Verse vgl. zu ν, 411f.

353. πρόφρων ist mit ἴθυσεν zu verbinden. — Asteropäos tritt auf den Schauplatz, da er in der

ἀλλ' οὔ πως ἔτι εἶχε· σάκεσσι γὰρ ἔρχατο πάντῃ 17
ἑσταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο. 355
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο πολλὰ κελεύων·
οὔτε τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει
οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, σχεδόθεν δὲ μάχεσθαι.
ὣς Αἴας ἐπέτελλε πελώριος, αἵματι δὲ χθὼν 360
δεύετο πορφυρέῳ, τοὶ δ' ἀγχιστῖνοι ἔπιπτον
νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
καὶ Δαναῶν. οὐδ' οἱ γὰρ ἀναιμωτί γ' ἐμάχοντο,
παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ
ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν. 365
ὣς οἱ μὲν μάρναντο δέμας πυρός, οὐδέ κε φαίης
οὔτε ποτ' ἠέλιον σῶν ἔμμεναι οὔτε σελήνην·
ἠέρι γὰρ κατέχοντο, μάχης ἐπί θ' ὅσσον ἄριστοι
ἕστασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνηῶτι.

μάχη παραποτάμιος (φ, 140–183) einen Kampf mit Achilleus bestehen soll.

354f. σάκεσσι – ἔχοντο, vgl. ν, 130f.

357f. οὔτε τιν' ἐξοπίσω – ἄλλων, vgl. zu δ, 303–305. — Ἀχαιῶν ἔξοχον ἄλλων dient zur Erklärung von πρὸ in προμάχεσθαι. — Aus οὔτε – ἀνώγει (= οὔτε εἴα, er liess sie weder das eine noch das andere thun, verbot ihnen beides) ist zu ἀλλὰ – βεβάμεν (sich rings um ihn zu stellen und so stehen zu bleiben) das positive ἀνώγει (er gebot ihnen) zu ergänzen.

363. καὶ Δαναῶν. Das Unerwartete kommt zuletzt.

364f. φθίνυθον erg. Δαναοί. — μέμνηντο – ἀλεξέμεναι, d. h. sie waren nicht nur jeder auf seine Rettung bedacht, sondern sorgten auch einer für den Andern und so für das Ganze.

366f. οἱ μέν, d. i. die um den Leichnam des Patroklos Geschaarten, im Gegensatz von οἱ δ' ἄλλοι 370. — οὐδέ κε φαίης – σελήνην, man hätte nicht geglaubt, dass Sonne und Mond noch erhalten sei, d. h. die schon 268–270 bezeichnete Dunkelheit um den Leichnam des Patroklos und seine Vertheidiger dauerte und zwar gesteigert noch fort.

368f. μάχης ἐπί θ' ὅσσον ἄριστοι ἕστασαν (nach Cod. Harlei. und Schol. Vict.), d. i. ἐφ' ὅσον τε μάχης οἱ ἄριστοι ἕστασαν, ἐπὶ τοσοῦτο ἀέρι κατείχοντο, sie waren in Nebel gehüllt, so weit als in der Schlacht die Tapfersten um den Patroklos standen; dies war aber nach 375 in der Mitte. τέ, das sonst nach dem Relativum (für uns entbehrlich) zu stehen pflegt, scheint hier versetzt. — Denselben Gedanken drückt die mehr an die gewöhnliche Wortstellung (z. B. ο, 358 = φ, 251) sich anschliessende Vermuthung Lachmann's aus: μάχης ὅσσον τ' ἐπ' ἄριστοι.

17 οἱ δ' ἄλλοι Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί
371 εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι, πέπτατο δ' αὐγή
ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάσης
γαίης οὐδ' ὀρέων· μεταπαυόμενοι δ' ἐμάχοντο,
ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα,
375 πολλὸν ἀφεσταότες. τοὶ δ' ἐν μέσῳ ἄλγε' ἔπασχον
ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλέι χαλκῷ
ὅσσοι ἄριστοι ἔσαν. δύο δ' οὔ πω φῶτε πεπύσθην,
ἀνέρε κυδαλίμω, Θρασυμήδης Ἀντίλοχός τε,
Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
380 ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι.
τὼ δ' ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων
νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέστωρ
ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
385 ἀργαλέης· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεί
γούνατά τε κνῆμαί τε πόδες θ' ὑπένερθεν ἑκάστου

370. *οἱ δ' ἄλλοι*, d. i. die auf dem übrigen Schlachtfelde.

371. *εὔκηλοι* in Beziehung auf *δέμας πυρός*, nicht mit jener Feuergluth, sondern vergleichungsweise gemächlich und ruhig, indem sie abwechselnd ausruhten (*μεταπαυόμενοι*). — *ὑπ' αἰθέρι*, weil auch die obere reine Luft weder durch Wolken bedeckt, noch durch Nebel verhüllt war.

373. *μεταπαυόμενοι*, vgl. zu *β*, 386 *οὐ γὰρ παυσωλή γε μετέσσεται*.

374 f. *ἀλεείνοντες – ἀφεσταότες*. Sie beobachteten gehörige Vorsicht und suchten sich selbst zu schonen.

376. *ἠέρι καὶ πολέμῳ*. Die Dunkelheit wird auch den Achäern lästig und hinderlich, weil in Folge derselben ihre Geschosse nicht treffen (633), daher Aias 645 f. um das Aufhören derselben fleht und erhört wird (648–650).

377. *δύο δ' οὔ πω – πεπύσθην*. Dieser Umstand soll auf 679–693 vorbereiten, wo Menelaos, nach wieder eingetretener Tageshelle, den Antilochos auffindet und dem Achilleus (vgl. 401–404) den Tod des Patroklos zu melden beauftragt.

381. *ἐπιοσσομένω*, darauf hinsehend, mit Theilnahme beobachtend, vgl. 637 *οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδαται*. Aber die Vorschrift ihres besorgten Vaters hielt sie ab, sich selbst in jenes Gewühl zu begeben.

382. *νόσφιν ἐμαρνάσθην*. Im Anfange *π*, 317 hatten sie in der Nähe des Patroklos gekämpft.

384. *τοῖς δὲ πανημερίοις*. Die Schilderung kehrt wieder zu dem Kampfe um die Leiche zurück, welcher überhaupt in Hinsicht auf Intensität und Dauer in's Colossale ausgemalt wird. — *πανημερίοις*, den ganzen (übrigen) Tag, seitdem Patroklos gefallen war; vgl. zu *α*, 472.

χεῖρές τ' ὀφθαλμοί τε παλάσσετο μαρναμένοιιν 17
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
ὡς δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην
λαοῖσιν δώῃ τανύειν, μεθύουσαν ἀλοιφῇ· 390
δεξάμενοι δ' ἄρα τοί γε διαστάντες τανύουσιν
κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἔβη δύνει δέ τ' ἀλοιφή
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διαπρό·
ὡς οἵ γ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
ἕλκεον ἀμφότεροι· μάλα γάρ σφισιν ἔλπετο θυμός, 395
Τρωσὶν μὲν ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς
νῆας ἔπι γλαφυράς. περὶ δ' αὐτοῦ μῶλος ὀρώρει
ἄγριος· οὐδέ κ' Ἄρης λαοσσόος οὐδέ κ' Ἀθήνη
τόν γε ἰδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλος ἵκοι.
τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων 400
ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον. οὐδ' ἄρα πώ τι
ᾔδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς·
πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
τείχει ὕπο Τρώων. τό μιν οὔ ποτε ἔλπετο θυμῷ
τεθνάμεν, ἀλλὰ ζωόν, ἐνιχριμφθέντα πύλῃσιν, 405

387. *μαρναμένοιιν*, als sie (beide Heerhaufen) kämpften; vgl. 395 *ἕλκεον ἀμφότεροι.*

389. *βοείην* nach *βοός* steht für das allgemeine *δοράν*, wie σ, 582. Das Gleichniss soll nur das Hin- und Herzerren des Leichnams anschaulich machen durch das Bild der auf ähnliche Weise behandelten Rindshaut, die aber dabei — vermittelst des eindringenden Fettes — zugleich gestreckt (*τάνυται*) und geschmeidigt wird.

390. *λαοῖσιν*. Nach 393 sind *πολλοὶ ἕλκοντες* und sie strecken sie (392) *κυκλόσε*. Später pflegte man die Häute an den Enden anzupflöcken (*διαπατταλεύειν*).

392. *ἔβη*, momentan, wie das beigefügte *ἄφαρ* anschaulich macht; *δύνει* allmählig.

395. *σφίσιν* geht auf beide naher bezeichnete Theile (*Τρωσίν* und *Ἀχαιοῖς*).

398 f. *οὐδέ κ' — ὀνόσαιτο*, vgl. zu δ, 539. — *μίν* bezieht sich grammatisch, wie auch *ἰδοῦσα*, nur auf die zuletzt genannte Athene. Der Sinn ist: Auch die Tapferkeit der gehassten feindlichen Partei müsste die eine oder die andere Gottheit anerkennen.

403. *γὰρ ἀπάνευθε*, vgl. τ, 49 *ἔτι γὰρ ἔχον ἕλκεα λυγρά*, gegenüber von ξ, 30 und unten 600.

404. *τείχει ὕπο Τρώων* scheint zwar nach dem nächsten Zusammenhang der Erzählung ein hyperbolischer Ausdruck für: weit gegen die Stadt hin. Doch wird derselbe durch π, 698–711 und σ, 453, vgl. unten 558, gerechtfertigt, wie auch das folgende *ἐνιχριμφθέντα πύλῃσιν*.

17 ἂψ ἀπονοστήσειν, ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,
ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ σὺν αὐτῷ·
πολλάκι γὰρ τό γε μητρὸς ἐπεύθετο νόσφιν ἀκούων,
ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.
410 δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον ὅσσον ἐτύχθη
μήτηρ, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
οἱ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες
νωλεμὲς ἐγχρίμπτοντο καὶ ἀλλήλους ἐνάριζον.
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων.
415 „ὦ φίλοι, οὐ μὰν ἧμιν ἐυκλεὲς ἀπονέεσθαι
νῆας ἔπι γλαφυράς, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
πᾶσι χάνοι. τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
εἰ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
ἄστυ πότι σφέτερον ἐρύσαι καὶ κῦδος ἀρέσθαι."
420 ὣς δέ τις αὖ Τρώων μεγαθύμων αὐδήσασκεν.
„ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
πάντας ὁμῶς, μή πώ τις ἐρωείτω πολέμοιο."
ὣς ἄρα τις εἴπεσκε, μένος δ' ὄρσασκεν ἑταίρου.
ὣς οἱ μὲν μάρναντο, σιδήρειος δ' ὀρυμαγδὸς
425 χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο·

407. *οὐδὲ σὺν αὐτῷ.* Denn er wollte die Stadt selbst und allein erobern.

410. *τότε γ' οὔ οἱ ἔειπε.* Den wirklich eingetretenen Unfall hatte sie ihm nicht mitgetheilt; denn nach σ, 63 kannte sie ihn selbst noch nicht. Die σ, 9f. erwähnte Weissagung der Thetis aber ist allgemeiner gehalten (*Μυρμιδόνων τὸν ἄριστον*, nicht *Πάτροκλον*). Zur Wendung vgl. ε, 51–53.

412–423. *οἱ δ' αἰεὶ – ἑταίρου.* Der Kampf selbst um den Leichnam dauert ungebrochen fort, und die Kämpfenden beider Theile ermahnen sich zur eifrigen Ausdauer. Beide Theile aber sprechen sich nach ihrer Stellung charakteristisch aus (416 *αὐτοῦ γαῖα – χάνοι κτέ.*, und 421 *εἰ καὶ μοῖρα – μή πώ τις ἐρωείτω πολέμοιο*).

420. *ὣς* geht hier ausnahmsweise auf das Folgende, sonst immer auf das Vorhergehende.

421. *εἰ καὶ μοῖρα*, sollte es uns auch bestimmt sein.

423f. *ὣς ἄρα – ὣς οἱ μέν.* Die beiden mit *ὣς* anfangenden Verse unmittelbar nach einander dürfen nicht stossen, da der erste am Ende, der zweite am Anfang eines Abschnittes steht. Gerade so ζ, 311f. und χ, 515 mit ψ, 1. — *σιδήρειος* Schol. *στερεός, πολυίσχυρος*, vgl. ψ, 177 *πυρὸς μένος σιδήρεον.*

425. *οὐρανὸν – δι' αἰθέρος*, vgl. zu β, 458.

ἵπποι δ' Αἰακίδαο μάχης ἀπάνευθεν ἐόντες 17
κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο
ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
ἦ μὰν Αὐτομέδων Διώρεος ἄλκιμος υἱός
πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων, 430
πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ·
τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
ἠθελέτην ἰέναι οὔτ' ἐς πόλεμον μετ' Ἀχαιούς,
ἀλλ' ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ' ἐπὶ τύμβῳ
ἀνέρος ἑστήκῃ τεθνηότος ἠὲ γυναικός, 435
ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
οὔδει ἐνισκίμψαντε καρήατα. δάκρυα δέ σφιν
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν
ἡνιόχοιο πόθῳ· θαλερὴ δ' ἐμιαίνετο χαίτη
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθεν. 440
μυρομένω δ' ἄρα τώ γε ἰδὼν ἐλέησε Κρονίων,
κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν

426. *ἵπποι δ' Αἰακίδαο.* Eine neue ausserordentliche Erscheinung beim Tode des Patroklos. Während nicht nur Antilochos und Thrasymedes, sondern selbst Achilleus noch nichts davon wissen, haben die unsterblichen Rosse, die ihn in die Schlacht geführt, seinen Tod nicht nur vernommen, sondern sie betrauern und beweinen ihn, obgleich sie fern vom Kampfplatze sind (vgl. π, 864–867). Vgl. indess Plinius Hist. nat. VIII, 42, 64 *Equi praesagiunt pugnam et amissos lugent dominos lacrimasque interdum desiderio fundunt* cet.

429f. *Αὐτομέδων*, vgl. π, 684. — *μάστιγι – θείνων*, vgl. λ, 532 *πληγῆς ἀΐοντες.*

432. *ἐπὶ πλατὺν Ἑλλήσποντον*, vgl. η, 86.

434f. *ὥς τε στήλη.* Die Vergleichung ist passend nicht nur wegen der Unbeweglichkeit, sondern auch wegen der Bedeutung einer solchen Säule. — Zu *ἥ τε – ἑστήκῃ* vgl. Od. χ, 469.

437. *ἐνισκίμψαντε*, fest geheftet haltend, steif und unbeweglich senkend, vgl. ψ, 283f. *οὔδεϊ δέ σφιν χαῖται ἐρηρέδαται.* τ, 405f. Wegen des Tempus vgl. Apoll. Rhod. 2, 683 *στὰν δὲ κάτω νεύσαντες ἐπὶ χθονός.*

439. *ἐμιαίνετο*, nämlich durch den Staub auf dem Boden.

440. *ζεύγλης ἐξεριποῦσα*, aus dem Kranze (Ringe) des Jochs (einer Art Kummet) oder der dasselbe bildenden zwei breiten Riemen (Lederplatten, *λέπαδνα*, vgl. zu ε, 730) herausfallend und auf den Boden gleitend.

442. *κινήσας δὲ κάρη.* Die durch *κινεῖν κάρη* angedeutete Drohung ist nicht gegen die Pferde, sondern gegen Hektor gerichtet und erhält ihre Deutung durch 448f. *ἀλλ' οὐ μὰν – ἐποχήσεται.* Nach dem bisherigen Gang konnte Hektor wohl hoffen, auch das Gespann des Achil-

[illegible]

[illegible] Τρωσί [illegible]

[illegible]

[illegible] ἐπαΐξας [illegible]

[illegible]

[illegible] Τρῶας καὶ [illegible]

[illegible] Ἀχιλλῆος [illegible]

[illegible]

[illegible] Τρώων [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]; 453. [illegible]. 454 f. [illegible] ... nicht [illegible] 457.

453. [illegible]

454 f. οὐ μὲν [illegible], vgl. die Nachahmung Odyss. [illegible], 130 f.

456 [illegible], dass er auch die Waffen hat, wie er auch haben möchte.

458. [illegible] d. i. [illegible], in Beziehung auf [illegible] 449. Die Troer werden einstweilen noch siegen, so dass auch Automedon vor ihnen wird fliehen müssen.

464 f. [illegible] = λ, 208 f.

Hier hat freilich der erstere dieser Verse einen viel geringeren Umfang, doch vgl. unten [illegible] u. [illegible], und jedenfalls war jene Verheissung nicht ganz in Erfüllung gegangen, bis Achilleus aufgeregt war.

455. ῥίμφ' — Ἀχαιοῖς = λ, 533.

459. τοῖσι δ' ἐπ', d. i. ἐπ' αὐτοῖς δέ, τοῖς Τρωσί (als die erst genannten).

461 f. ῥέα μὲν γὰρ — ῥεῖα δέ. Jenes ἀΐσσειν ἵπποις geschah nämlich in doppelter Richtung, bald angreifend, bald sich eilig zurückziehend. — πολὺν κ. ὅ. ὀπάζων = ε, 334.

463. οὐχ ᾕρει, er bezwang nicht, konnte nicht in seine Gewalt brin-

οὐ γάρ πως ἦν οἷον ἐόνθ᾽ ἱερῷ ἐνὶ δίφρῳ — 17

ἔγχει ἐφορμᾶσθαι καὶ ἐπίσχειν ὠκέας ἵππους. — 465

ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν

Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·

στῆ δ᾽ ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα

„Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν

ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς; — 470

οἷον πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ

μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο, τεύχεα δ᾽ Ἕκτωρ

αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.“

τὸν δ᾽ αὖτ᾽ Αὐτομέδων προσέφη, Διώρεος υἱός,

„Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος — 475

ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,

εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,

ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.

ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα

δέξαι, ἐγὼ δ᾽ ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.“ — 480

ὣς ἔφατ᾽· Ἀλκιμέδων δὲ βοηθόον ἅρμ᾽ ἐπορούσας

καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,

Αὐτομέδων δ᾽ ἀπόρουσε. νόησε δὲ φαίδιμος Ἕκτωρ,

αὐτίκα δ᾽ Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα

„Αἰνεία Τρώων βουληφόρε χαλκοχιτώνων, — 485

ἵππω τώδ᾽ ἐνόησα ποδώκεος Αἰακίδαο

ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσιν.

τῷ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ

gen, keine Macht über sie gewinnen. — Zu ὅτε σεύαιτο vgl. ψ, 198 ὕλη τε σεύαιτο.

464. οὐ γάρ πως ἦν, d. i. ἐξῆν, οἷόν τε ἦν, ἐξεγένετο. — ἱερῷ, dem heiligen, heilige Scheu einflössenden, sofern er von unsterblichen Rossen, einem Geschenke der Götter, gezogen wird. Vor den folgenden Infinitiven denke hinzu ἅμα.

467. Ἀλκιμέδων – Λαέρκεος, vgl. π, 197.

476. ἐχέμεν δμῆσίν τε μένος τε. Eine Art Zeugma, indem der Begriff von ἐχέμεν, der in Beziehung auf μένος ein eigentliches **Festhalten**, **Aufhalten** bezeichnen muss, in Verbindung mit δμῆσιν mehr in ein geistiges oder bildliches Haben, **Handhaben**, **Innehaben** (*tenere*) zerfliesst. Beides zusammen ist s. v. a. ἐχέμεν μένος δαμάσαντα (αὐτοὺς oder τὸ μένος αὐτῶν) oder δμήσει.

481. βοηθόον ἅρμα, vgl. zu ν, 477 Αἰνείαν – βοηθόον.

488. τῷ κτέ., darum (weil sie nämlich κακοὺς ἡνιόχους haben)

17 σῷ ἐθέλεις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶι
490 τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηι."
ὣς ἔφατ', οὐδ' ἀπίθησεν ἐὺς πάις Ἀγχίσαο.
τὼ δ' ἰθὺς βήτην βοέῃς εἰλυμένω ὤμους
αὔῃσι στερεῇσι· πολὺς δ' ἐπελήλατο χαλκός.
τοῖσι δ' ἅμα Χρομίος τε καὶ Ἄρητος θεοειδής
495 ἤισαν ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμός
αὐτώ τε κτενέειν ἐλάαν τ' ἐριαύχενας ἵππους·
νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι
αὖτις ἀπ' Αὐτομέδοντος. ὁ δ' εὐξάμενος Διὶ πατρί
ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφιμελαίνας.
500 αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον,
„Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀίω
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
505 νῶι κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη."
ὣς εἰπὼν Αἴαντε καλέσσατο καὶ Μενέλαον.
„Αἴαντ' Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ' οἵ περ ἄριστοι,
510 ἀμφ' αὐτῷ βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,

hoff' ich wohl sie zu erbeuten. Beide waren aber wirklich Lenker des Wagens, nur einer nach dem andern.

489. *ἐφορμηθέντε — νῶι.* Von *τλαῖεν* abhängiger Accusativ: *non sustinuerint nos.* — Die folgenden Worte *ἐναντίβιον — Ἄρηι* enthalten die Erklärung zu *τλαῖεν*, indem sie dessen Wirkung bezeichnen (*ὥς τε — μαχέσασθαι*).

495. *ἀμφότεροι* giebt einen gewissen Nachdruck: beide, nicht nur der eine oder andere.

502. *μάλ' ἐμπνείοντε μεταφρένῳ*, so dass sie meinen Rücken anhauchen, also dicht hinter mir.

504. *καλλίτριχε — ἵππω* d. h. den von den schönmähnigen Rossen gezogenen Wagen, vgl. 448 *ὑμῖν γε καὶ ἅρμασι.*

506. *ἤ κ' αὐτὸς — ἁλοίη.* Nach der 504 angefangenen Construction erwartete man *ἢ αὐτὸν ἁλῶναι.* Aehnlich, aber in umgekehrter Folge Od. β, 374 f. *πρίν γ' ὅτ' ἂν — γένηται ἢ αὐτὴν ποθέσαι κτέ.*

509. *ἐπιτράπεθ' οἵ περ ἄριστοι*, d. i. *ἐπιτράπετε τούτοις* oder *ἐκείνοις οἵ περ ἄριστοι*, vgl. α, 230 *δῶρ' ἀποαιρεῖσθαι ὅς τις σέθεν ἀντίον εἴπῃ.*

510. *στίχας ἀνδρῶν* (*Τρώων*), Objectsaccusativ zu *ἀμύνεσθαι* (abwehren, fernhalten).

νῶιν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ· 17
τῇδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει." 515
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐίσην·
ἡ δ' οὐκ ἔγχος ἔρυτο, διαπρὸ δὲ εἴσατο χαλκός,
νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
ὡς δ' ὅτ' ἂν ὀξὺν ἔχων πέλεκυν αἰζήιος ἀνήρ, 520
κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο,
ἶνα τάμῃ διὰ πᾶσαν, ὁ δὲ προθορὼν ἐρίπῃσιν,
ὣς ἄρ' ὅ γε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
νηδυίοισι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ· 525
ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὁρμηθήτην, 530
εἰ μή σφω' Αἴαντε διέκριναν μεμαῶτε,

511. *ζωοῖσιν*, die als solche doch noch mehr Anspruch auf Beistand haben.

514. *θεῶν ἐν γούνασι κεῖται* drückt denselben Gedanken aus wie das folgende: *τὰ δέ κεν Διὶ πάντα μελήσει, Deus providebit.*

519. *ἐν γαστρὶ – ἔλασσεν*, es fuhr, drang in den Leib hinein; eigentlich aber: er (Automedon) trieb es – hinein, vgl. zu *ε*, 41. So unten 579 und Od. *χ*, 295 *διαπρὸ δὲ χαλκὸν ἔλασσεν*. Uebrigens sind diese zwei Verse ganz gleichlautend mit *ε*, 538f.

521. *ἐξόπιθεν κεράων*, hinter den Hörnern, also an einer tödtlichen Stelle in den Nacken.

522. *ἶνα – πᾶσαν* collectiv: die Sehnen ganz, den ganzen Sehnenknoten; vgl. Od. *γ*, 449 *πέλεκυς δ' ἀπέκοψε τένοντας αὐχενίους.*

523. *ὣς ἄρ' ὅ γε – ὕπτιος.* Die Vergleichung bezieht sich nur auf das Vorspringen; denn das Fallen ist verschieden. Das folgende *ἐν* scheint trotz der Entfernung doch als Präposition mit *νηδυίοισι* verbunden werden zu müssen (vgl. Od. *ι*, 535. *λ*, 115): in die Eingeweide geschwungen, d. h. sie im Schwunge durchfahrend.

526–529. *ἀλλ' ὁ μὲν – Ἄρης*, wörtlich wie *π*, 610–613.

531. *σφωέ*, den Hektor und Automedon. Die beiden Aias aber muss man sich von einer ansehnlichen Schaar begleitet denken; sonst wären nicht Hektor und zwei andere vor ihnen geflohen (533f.).

17 οἵ ῥ᾽ ἦλθον καθ᾽ ὅμιλον ἑταίρου κικλήσκοντος.
τοὺς ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ Αἰνείας τ᾽ ἠδὲ Χρομίος θεοειδής,
535 Ἄρητον δὲ κατ᾽ αὖθι λίπον δεδαϊγμένον ἦτορ
κείμενον. Αὐτομέδων δὲ θοῷ ἀτάλαντος Ἄρηι
τεύχεά τ᾽ ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα.
„ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων.“
540 ὣς εἰπὼν ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα
θῆκ᾽, ἂν δ᾽ αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθε
αἱματόεις ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
ἂψ δ᾽ ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη
ἀργαλέη πολύδακρυς, ἔγειρε δὲ νεῖκος Ἀθήνη
545 οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεύς
ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ᾽ αὐτοῦ.
ἠύτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ

533. ὑποταρβήσαντες. Die Präposition in dieser Zusammensetzung, wie in den ähnlichen ὑποτρομέω, ὑποτρέω (587), bezeichnet die Einwirkung von aussen.

535 f. κατ᾽ αὖθι λίπον – κείμενον, d. i. αὖθι κείμενον κατέλιπον δεδαϊγμένον ἦτορ, sie liessen ihn mit durchbohrtem Herzen dort liegen. Vgl. σ, 236 κείμενον – δεδαϊγμένον.

537. τεύχεα erg. Ἀρήτοιο, wie 540 ἔναρα βροτόεντα.

538 f. Μενοιτιάδαο θανόντος, absoluter Genitiv, doch dem Sinne nach auch Object zu ἄχεος. — κῆρ aber ist Accusativ der Beziehung zu μεθέηκα (wie ἦτορ 535 zu δεδαϊγμένον): im Herzen. So der Paraphrast: μικρόν τι τῆς τοῦ Πατρόκλου θανόντος λύπης τὴν ψυχὴν κεκούφισμαι. — ὀλίγον, ein wenig (der Zeit und dem Grade nach). Es gereicht dem Automedon zum Troste in seinem Leid um Patroklos, dass er den — wenn auch schlechtern (geringern) — Aretos getödtet hat.

540. ἐς δίφρον gehört zu θ

545. προῆκε – Ζεύς. Obgl
dieser noch immer auf dem Ida
(594), kann er gleichzeitig au
Himmel unbeschränkt walten
verfügen. Vgl. Einleit. S. 11 f.

546. δὴ γὰρ νόος ἐτράπετ
τοῦ, denn da hatte sein Sinn
gewandt, d. h. entschieden,
der Kampf zwar ein im Ganze
die Troer glückliches Ende nė
und sein Ziel erreichen, doch
Leiche des Patroklos von
Achäern gerettet we
solle. Denn diese, wenn auch
den Troern (vgl. 593–596.
= 206. 453–455) immer ve
(753 f.), bringen doch den Leic
bis an ihr Lager. Darum w
sich auch die immer den Gri
günstige Athene 553 vor alle
Menelaos, der schon bisher
grössten Anstrengungen für
Leichnam gemacht hatte.

547. πορφυρέην, den bu
(ποικίλην), ὅτι ἔχει τινὰ πο
ρίζοντα.

Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο 17
η καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε ἔργων
ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει, 550
ὣς ἣ πορφυρέῃ νεφέλῃ πυκάσασα ἓ αὐτήν
δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα,
ἴφθιμον Μενέλαον — ὁ γάρ ῥά οἱ ἐγγύθεν ἦεν —,
εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν. 555
„σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγανοῦ πιστὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος 560
„Φοῖνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
δοίη κάρτος ἐμοί, βελέων δ' ἀπερύκοι ἐρωήν·
τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.
ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει 565
χαλκῷ δηιόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει."
ὣς φάτο, γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη
ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων.
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκεν,
καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν, 570

548. τέρας – πολέμοιο, vgl. zu λ, 4 und über eine noch grössere Vieldeutigkeit des Blitzes zu κ, 5 – 8.
549. δυσθαλπής, frostig (übelwärmend).
551. πορφυρέῃ νεφέλῃ πυκάσασα ἓ αὐτήν, vgl. Virg. Aen. 2, 615 f. *Tritonia Pallas nimbo effulgens.*
555. Φοίνικι, der nach π, 196 auch eine — und zwar die vierte — Abtheilung des Myrmidonenheeres befehligte.
559. ἀλλ' – ἅπαντα = π, 501 ἔχεο κρατερῶς, halte fest; eigentlich halte dich fest (an den Todten, lass nicht von ihm ab). Sein bisheriges Verhalten wird also gebilligt.
561. εἰ γὰρ – δοίη, vgl. zu Od. α, 255.
563. παρεστάμεναι καὶ ἀμύνειν = ἀμύνων παρεστάμεναι.
564. μάλα – ἐσεμάσσατο κτέ. (vgl. zu Od. ι, 302 ἐπιμασσάμενος), er hat mir durch seinen Tod tief in's Herz gegriffen, sein Tod ist mir tief in die Seele gedrungen. Aehnlich υ, 425.
567 f. γήθησεν δὲ θεὰ κτέ., vgl. den ähnlichen Gedanken Od. γ, 52 f.
570 f. μυίης θάρσος (vgl. zu β, 469), die Kühnheit, Frechheit, den kecken Muth der Fliege.

17 ἥ τε καὶ εἰργομένη μάλα περ χροὸς ἀνδρομέοιο
ἰσχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμ' ἀνθρώπου·
τοίου μιν θάρσευς πλῆσε φρένας ἀμφιμελαίνας.
βῆ δ' ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.
575 ἔσκε δ' ἐνὶ Τρώεσσι Ποδῆς υἱὸς Ἠετίωνος,
ἀφνειός τ' ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής.
τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος
ἀΐξαντα φόβονδε, διαπρὸ δὲ χαλκὸν ἔλασσεν·
580 δούπησεν δὲ πεσών. ἀτὰρ Ἀτρείδης Μενέλαος
νεκρὸν ὑπὲκ Τρώων ἔρυσεν μετὰ ἔθνος ἑταίρων.
Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἁπάντων
ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων.
585 τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
„Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής· νῦν δ' οἴχεται οἶος ἀείρας
νεκρὸν ὑπὲκ Τρώων, σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον,
590 ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος."
ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.

572. ἰσχανάᾳ δακέειν (χρόα ἀνδρόμεον), anhält, beharrt zu stechen und darum auch unablässig es zu thun strebt, vgl. zu Od. θ, 288. — λαρόν, vgl. zu Od. β, 350 λαρώτατος.

573. φρένας ἀμφιμελαίνας, vgl. Einl. S. 5.

575. ἔσκε δ' ἐνὶ Τρώεσσι, vgl. ε, 9 = κ, 314 ἦν δέ τις ἐν Τρώεσσι. — Ἠετίων, verschieden von dem Vater der Andromache; denn die Brüder von dieser waren todt; vgl. ζ, 421 ff.

582. Ἕκτορα – Ἀπόλλων. So wie die Achäer durch eine Gottheit neu angeregt wurden, erscheint auch Apollon wieder, um Hektor zu ermuntern, wie oben 71 ff. und 3[illegible] (bei Aeneas). Dass er immer in a[illegible]derer Gestalt erscheint, dient [illegible] zur Belebung der Darstellung.

583. Φαίνοπι, verschieden v[illegible] dem oben 312 erwähnten.

587 f. ὃς τὸ πάρος περ – αἰχμ[illegible]τής erg. ἐστίν, vgl. Od. δ, 810. 88. Menelaos wird übrigens [illegible] um den Hektor stärker anzusp[illegible]nen, so geringschätzig bezeichnet.

591. ἄχεος νεφέλη, der Ausdru[illegible] der Beschämung.

592. βῆ δὲ διὰ προμάχων. Hi[illegible] beginnt ein neuer Anlauf der Tro[illegible] der die Achäer unter Mitwirku[illegible] des Zeus zum Rückzuge nöthigt.

καὶ τότ᾽ ἄρα Κρονίδης ἕλετ᾽ αἰγίδα θυσσανόεσσαν 17
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν,
ἀστράψας δὲ μάλα μεγάλ᾽ ἔκτυπε, τὴν δ᾽ ἐτίναξεν, 595
νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ᾽ Ἀχαιούς.
πρῶτος Πηνέλεως Βοιώτιος ἦρχε φόβοιο.
βλῆτο γὰρ ὦμον δουρί, πρόσω τετραμμένος αἰεί,
ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀστέον ἄχρις
αἰχμὴ Πουλυδάμαντος· ὁ γάρ ῥ᾽ ἔβαλε σχεδὸν ἐλθών. 600
Λήιτον αὖθ᾽ Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ᾽ ἐπὶ καρπῷ,
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης·
τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἔλπετο θυμῷ
ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
Ἕκτορα δ᾽ Ἰδομενεὺς μετὰ Λήιτον ὁρμηθέντα 605
βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
ἐν καυλῷ δ᾽ ἐάγη δολιχὸν δόρυ, τοὶ δ᾽ ἐβόησαν
Τρῶες. ὁ δ᾽ Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
δίφρῳ ἐφεσταότος. τοῦ μέν ῥ᾽ ἀπὸ τυτθὸν ἅμαρτεν·
αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ᾽ ἡνίοχόν τε, 610
Κοίρανον, ὅς ῥ᾽ ἐκ Λύκτου ἐυκτιμένης ἕπετ᾽ αὐτῷ —
πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
ἤλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·

593. *καὶ τότ᾽ ἄρα Κρονίδης.* Durch ein Gewitter giebt Zeus den Troern das Zeichen des Sieges. — Ueber *αἰγὶς* vgl. zu *δ*, 167.

598. *πρόσω τετραμμένος αἰεί.* Ein Beweis seiner persönlichen Tapferkeit.

599. *ἐπιλίγδην*, vgl. *λίγδην* Od. *χ*, 278. — *ἄχρις*, vgl. zu *δ*, 522. Die streifende Speerspitze konnte das Gebein erreichen, weil das Schulterblatt nur mit wenig Fleisch bedeckt ist.

605. *ὁρμηθέντα* gehört zu *Ἕκτορα*: da er dem Leitos nacheilte.

607. *ἐν καυλῷ δ᾽ ἐάγη*, durch Ungunst des Zeus und des Verhängnisses, wesshalb die Troer ein Freudengeschrei erheben (*ἐβόησαν*).

609. *δίφρῳ ἐφεσταότος*, der auf dem Wagen stand (dem des Meriones und Koiranos, den er nach dem Folgenden so eben bestiegen hatte). Zur Construction von *ἐφεσταότος* vgl. zu *ζ*, 373.

612–616. *πεζὸς γὰρ – ἀνδροφόνοιο.* Ungewöhnlich lange Parenthese, nach deren Schluss der 610 angefangene Satz 617 durch Wiederholung des Objectes *τὸν* (*Κοίρανον* 611) wieder aufgenommen und vollendet wird. — *ἤλυθε*, nämlich *Ἰδομενεύς*, welcher *ν*, 240 - 329 mit Meriones zu Fuss in die Schlacht gegangen war. — *καί κε – ἐγγυάλιξεν*, derselbe Idomeneus,

17 καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ,
616 αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο —
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν τάμε μέσσην.
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε.
620 καὶ τά γε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσιν
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα
„μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
γιγνώσκεις δὲ καὶ αὐτὸς ὅτ' οὐκέτι κάρτος Ἀχαιῶν."
ὣς ἔφατ', Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
625 νῆας ἔπι γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ.
οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεύς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην.
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας.
„ὢ πόποι, ἤδη μέν κε, καὶ ὃς μάλα νήπιός ἐστιν,
630 γνοίη ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει.
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅς τις ἀφείῃ,
ἢ κακὸς ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
635 ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοί
χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες,

wenn er ohne das Dazwischenkommen des Koiranos jetzt von Hektor erlegt worden wäre.

615. *τῷ μέν, Ἰδομενεῖ, φάος ἦλθεν*, indem er ihn noch zu rechter Zeit auf den Wagen nahm.

617. *ὑπὸ γναθμοῖο καὶ οὔατος* = π, 606. Also von der Seite, da wahrscheinlich Koiranos eben mit Idomeneus seitwärts abfahren wollte und umbog.

618. *δόρυ πρυμνόν*, der äusserste, oberste Theil des Speeres, woran die Spitze befestigt ist.

620. *τά γε* (*ἡνία*) – *ἔλαβεν* verbinde mit *ἐκ πεδίοιο*.

626f. *οὐδ' ἔλαθ' Αἴαντα*. Aias und Menelaos mussten die Wendung der Schlacht bemerken, damit si noch (vgl. zu 546) den Leichnam de Patroklos in Sicherheit bringen.

628. *τοῖσι δέ*, von zweien, wi Od. ε, 202 u. ö.

631. *τῶν μέν*, d. i. *ἐκείνων Τρώων*. — *ὅς τις ἀφείῃ*, wen ma sich immer schiessend denken will Zu diesem Optativ vgl. Od. ζ, 28 *ἤ τις τοιαῦτά γε ῥέζοι* = Il. ψ 494.

632. *ἔμπης πάντα*, gleichwoh alle, wenn auch ein Theil der Ge schosse von Schlechten geworfe wird.

634. *αὐτοί περ*, wir selbst doch wenn wir uns auch nicht des Beistandes von Zeus getrösten können,

οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα 640
Πηλείδῃ, ἐπεὶ οὔ μιν ὀίομαι οὐδὲ πεπύσθαι
λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.
ἀλλ' οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν, 645
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως."
ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα·
αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη. 650
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον
„σκέπτεο νῦν, Μενέλαε διοτρεφές, αἴ κεν ἴδηαι
ζωὸν ἔτ' Ἀντίλοχον μεγαθύμου Νέστορος υἱόν,
ὄτρυνον δ' Ἀχιλῆι δαΐφρονι θᾶσσον ἰόντα
εἰπεῖν ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος." 655
ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
βῆ δ' ἰέναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
ὅς τ' ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,

637. ἀκηχέδαται, vgl. zu Od. η, 86 ἐληλέδατο.
639. σχήσεσθαι. Vgl. zu ι, 235 und μ, 196 mit μ, 165 f. Beide Infinitive haben wesentlich dasselbe Subject (Hektor).
640. εἴη δ' ὅς τις, vgl. zu ξ, 107 νῦν δ' εἴη ὅς – ἐνίσποι: *utinam sit qui nuntiet, utinam nuntiet aliquis.*
644. ἠέρι = 649, wo ὀμίχλη parallel damit steht; vgl. Od. ι, 144, oben 269 und 368.
647. εὔαδεν οὕτως, nämlich ὀλέσαι ἡμᾶς.
648. πατήρ, nach dem Zusammenhang (645) Ζεύς.
650. μάχη – πᾶσα, weil man nun auch in die Ferne sehen konnte.
653. ζωὸν ἔτ' Ἀντίλοχον, der nach Patroklos' Tod als Liebling des Achilleus erscheint (vgl. Od. ω, 78 f.) und daher auch jetzt ausgewählt wird, um ihm die Trauerbotschaft zu überbringen; vgl. oben 378. Ueberdies war er ein vorzüglicher Läufer (Od. δ, 202).
657–666. ὥς τίς τε λέων – μή μιν Ἀχαιοί, vgl. die sehr ähnliche Stelle λ, 548–557.
658. ἐπεὶ ἄρ κε κάμῃσι, nachdem er also (wie sich erwarten lässt) ermattet ist; vgl. χ, 258 ἐπεὶ ἄρ κέ σε συλήσω. Bei ὅς schwebt dem Dichter schon das Verbum ἀπονόσφιν ἔβη 664 vor; dies ist auch (vgl.

17 οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι
660 πάννυχοι ἐγρήσσοντες· ὁ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίοι ἀίσσουσι θρασειάων ἀπὸ χειρῶν,
καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ·
ἠῶθεν δ' ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·
665 ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
ἤιε πόλλ' ἀέκων· περὶ γὰρ δίε μή μιν Ἀχαιοί
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηίοισι λίποιεν.
πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ' ἐπέτελλεν.
„Αἴαντ' Ἀργείων ἡγήτορε, Μηριόνη τε,
670 νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.“
ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασιν
675 ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ
θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος, ἀλλά τ' ἐπ' αὐτῷ
ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
ὣς τότε σοί, Μενέλαε διοτρεφές, ὄσσε φαεινώ
680 πάντοσε δινείσθην πολέων κατὰ ἔθνος ἑταίρων,
εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιτο.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι.
ἀγχοῦ δ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος
685 „Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.

666 ἤιε πόλλ' ἀέκων) der Punct der Vergleichung.

667. ἀργ. πρὸ φόβοιο, eig. vor der Flucht **her**, von derselben gedrängt, also durch dieselbe genöthigt.

670 f. νῦν τις – μνησάσθω, vgl. θ, 181 μνημοσύνη τις – γενέσθω.

681. ἴδοιτο, nämlich τὼ ὄσσε.

682 f. τὸν δὲ μάλ' αἶψ' – μάχεσθαι = 116 f., nur dort von Aias; vgl. zu ν, 675.

685. ἄγε δεῦρο, διοτρεφές. δεῦρο nach ἄγε vertritt die Stelle eines Imperativs = δεῦρ' ἴθι. Vgl. Od. ι, 517 ἄγε δεῦρ', Ὀδυσεῦ.

686. ἣ μὴ ὤφελλε γενέσθαι. Das Pronomen geht dem Sinne nach auf

ἤδη μὲν σὲ καὶ αὐτὸν ὀίομαι εἰσορόωντα 17
γιγνώσκειν ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ' ὤριστος Ἀχαιῶν
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται. 690
ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆι, θέων ἐπὶ νῆας Ἀχαιῶν,
εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ."
ὣς ἔφατ', Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας.
δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε 695
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
ἀλλ' οὐδ' ὣς Μενελάου ἐφημοσύνης ἀμέλησεν,
βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ
Λαοδόκῳ, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους.
τὸν μὲν δακρυχέοντα πόδες φέρον ἐκ πολέμοιο, 700
Πηλείδῃ Ἀχιλῆι κακὸν ἔπος ἀγγελέοντα.
οὐδ' ἄρα σοί, Μενέλαε διοτρεφές, ἤθελε θυμός
τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·
ἀλλ' ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν, 705
αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωι βεβήκει,
στῆ δὲ παρ' Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα
„κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν,
ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ μιν οἴω
νῦν ἰέναι, μάλα περ κεχολωμένον Ἕκτορι δίῳ· 710
οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,

den Gegenstand der Botschaft, das unglückliche Ereigniss.

689. *νίκη δὲ Τρώων* erg. *ἐστί*.

694. *κατέστυγε*, er entsetzte sich, vgl. Od. *κ*, 113 *κατὰ δ' ἔστυγον αὐτήν*.

695 f. *δὴν – φωνή* = Od. *δ*, 704 f.

698. *τὰ δὲ τεύχε' – ἑταίρῳ*, um nicht durch ihre Schwere aufgehalten zu werden; vgl. zu *β*, 183 *ἀπὸ δὲ χλαῖναν βάλε*.

703. *τειρομένοις ἑτάροισιν*, nämlich denen, welche vorher Antilochos befehligt hatte, nach dem Folgenden *ἔνθεν* (*ἀφ' ὧν*) *ἀπῆλθεν Ἀντίλοχος*.

705. *ὅ γε* erg. *Μενέλαος*. — *ἀνῆκεν* Schol. *ἀνέπεισεν, παρώτρυνεν*. — *τοῖσιν* ist Dat. commodi: zu ihrem Schutz.

709. *οὐδέ – οἴω*, aber ich glaube nicht, gleichwohl glaube ich nicht. — *μιν*, *Ἀχιλλέα*.

17 ἡμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν."
715 τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας
„πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε·
ἀλλὰ σὺ μὲν καὶ Μηριόνης ὑποδύντε μάλ' ὦκα
νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου· αὐτὰρ ὄπισθεν
νῶι μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ,
720 ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἳ τὸ πάρος περ
μίμνομεν ὀξὺν Ἄρηα παρ' ἀλλήλοισι μένοντες."
ὣς ἔφαθ', οἱ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
ὕψι μάλα μεγάλως. ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν
Τρωικός, ὡς εἴδοντο νέκυν αἴροντας Ἀχαιούς.
725 ἴθυσαν δὲ κύνεσσιν ἐοικότες, οἵ τ' ἐπὶ κάπρῳ
βλημένῳ ἀίξωσι πρὸ κούρων θηρητήρων·
ἕως μὲν γάρ τε θέουσι διαρραῖσαι μεμαῶτες,
ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσιν ἑλίξεται ἀλκὶ πεποιθώς,
ἄψ τ' ἀνεχώρησαν διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος.
730 ὣς Τρῶες εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς
σταίησαν, τῶν δὲ τράπετο χρώς, οὐδέ τις ἔτλη
πρόσσω ἀίξας περὶ νεκροῦ δηριάασθαι.
735 ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
ἄγριος ἠύτε πῦρ, τό τ' ἐπεσσύμενον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι

714. ἐξ ἐνοπῆς = ἐκ μάχης. So wird auch βοή gebraucht; „ἀπὸ τοῦ ἀλαλαγμοῦ" Schol.

719 f. νῶι – ὁμώνυμοι, wir, die beiden Aias, die wir, unserm gleichen Namen entsprechend, auch gleichen Muth und bewährte Tapferkeit haben.

722. οἱ δέ, d. i. Menelaos und Meriones.

725 f. ἴθυσαν δέ, nämlich Τρῶες nach 730. — βλημένῳ, einem getroffenen (angeschossenen).

727. ἕως μὲν γάρ, so lange der Eber sich nicht umkehrt, vgl. 730.

732 f. ὅτε δή – σταίησαν, von der in der Vergangenheit wiederholten Handlung, wie 728 ὅτε – ἑλίξεται (ἑλίξηται) von der in der Gegenwart gedachten; vgl. das Hauptverbum θέουσι. — στῆναι κατά τινα, einem gegenüber stehen, Stand halten.

738. ὄρμενον ἐξαίφνης enthält

ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο. 17
ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων 740
ἀζηχὴς ὀρυμαγδὸς ἐπήιεν ἐρχομένοισιν·
οἱ δ', ὥς θ' ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες
ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήιον· ἐν δέ τε θυμὸς
τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν· 745
ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπισθεν
Αἴαντ' ἰσχανέτην, ὥς τε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς,
ὅς τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησιν 750
πλάζων· οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες.
ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων· οἱ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείας τ' Ἀγχισιάδης καὶ φαίδιμος Ἕκτωρ.
τῶν δ', ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν, 755
οὖλον κεκληγῶτες, ὅτε προΐδωσιν ἰόντα
κίρκον, ὅ τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν,

den Grund der grossen Heftigkeit und Gewalt.

739. τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο, darein (in das Feuer) braust die Gewalt des Windes, der mächtige Sturmwind.

740. τοῖς, d. i. τοῖς τὸν νεκρὸν φέρουσιν, auf welche auch οἱ δὲ 742 geht.

742. ἀμφιβαλόντες nach Analogie von μεγάλην ἐπιειμένος ἀλκὴν u. dgl. Zum Gebrauch des Activi vgl. Eurip. Androm. 110 δουλοσύναν στυγερὰν ἀμφιβαλοῦσα κάρᾳ (ἐγὼ ἀγόμαν).

747. ἰσχανέτην, näml. die nachsetzenden Troer, den Schwall der Verfolgenden. Ebenso ἰσχάνει, hemmt, hindert am Einfluss in's Meer.

748. πεδίοιο διαπρύσιον τετυχηκώς (vgl. zu Od. κ, 88), der sich ganz durch die Ebene (oder an der Ebene) hinzieht, eig. wohl, der die Ebene durchgehends erreicht hat. — πεδίοιο hängt also von τετυχηκώς ab.

751. πλάζων, sie zurücktreibend und dadurch ihre Fluthen nach der Ebene hinleitend; vgl. zu α, 59. — μίν, d. i. πρῶνα.

755 f. ψαρῶν — ἠὲ κολοιῶν, vgl. π, 583. Das Participium κεκληγῶτες im Nominativ plural., als ob ψᾶρες ἠὲ κολοιοί vorherginge. — οὖλον nach den Alten s. v. a. συνεστραμμένον, πυκνόν. Die Vergleichungen sind hier, von 725 an, als bei einem bedeutenden Abschnitt in der Erzählung ähnlich gehäuft, wie β, 455–483. ο, 605.

757. σμικρῇσι. Das einzige Beispiel dieser Form bei Homer.

17 ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκληγῶτες ἴσαν, λήθοντο δὲ χάρμης.
760 πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίγνετ' ἐρωή.

Σ.

18 ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο,
Ἀντίλοχος δ' Ἀχιλῆι πόδας ταχὺς ἄγγελος ἦλθεν.
τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων
τὰ φρονέοντ' ἀνὰ θυμὸν ἃ δὴ τετελεσμένα ἦεν.
5 ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν
„ὤ μοι ἐγώ, τί τ' ἄρ' αὖτε καρηκομόωντες Ἀχαιοί
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε καί μοι ἔειπεν,
10 Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο

760. πέσον, gleichsam ohne alle eigene Schuld der Danaer. — περί τ' ἀμφί τε (*circumcirca*) τάφρον, um und an dem Graben, d. h. in der ganzen Ausdehnung desselben; vgl. β, 305 ἀμφὶ περὶ κρήνην.

Dieses Buch enthält eigentlich erst den Schluss der Πατρόκλεια, wie Achilleus den Leichnam des Patroklos — nachdem die Troianer den Kampf um denselben immer noch fortgesetzt und zum letzten Mal 151–164 erneuert haben — in Empfang nimmt und beklagt (231–236. 343–355). Die Ueberschrift Ὁπλοποιία kommt genau genommen nur dem letzten mit 369 oder gar erst mit 468 beginnenden Theile zu; aber der entscheidende Einfluss, den dieses Factum auf den ferneren Gang des Gedichtes hat, rechtfertigt die Wahl derselben genügend.

1. ὣς οἱ μέν. Der Kampf um den Leichnam dauert fort; die durch Antilochos' Auftreten unterbrochene Schilderung desselben wird 148 wieder aufgenommen.

3. ὀρθοκραιράων von den Rindern (573) übergetragen = κατὰ πρύμναν καὶ πρῷραν ἀνατεταμένων, vgl. zu Od. γ, 162 ἀμφιελίσσας.

4. τὰ φρονέοντ' – ἦεν, vgl. β, 36 τὰ – θυμόν, ἅ ῥ' οὐ τελέεσθαι ἔμελλον.

7. ἀτυζόμενοι πεδίοιο, vgl. zu ζ, 38.

8. μὴ δή μοι τελέσωσι. Unabhängiger Ausdruck der Besorgniss; vgl. zu π, 128.

9f. καί μοι ἔειπεν κτἑ. enthält die genauere Ausführung von διεπέφραδε. In Betreff der allgemeinen Bezeichnung Μυρμιδόνων τὸν ἄριστον, worin kein Name genannt war, vgl. das ρ, 410 Bemerkte. Patroklos war freilich von Abstammung ein Lokrer aus Opus (326), aber jetzt der Anführer der Myrmidonen; darum konnte unter ὁ ἄριστος Μυρμιδόνων auch er verstanden werden.

χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο. **18**
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός,
σχέτλιος· ἦ τ' ἐκέλευον ἀπωσάμενον δήιον πῦρ
ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι."
ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, 15
τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱός
δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν.
„ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται 20
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ."
ὣς φάτο, τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα.
ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον·
νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη. 25
αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθείς
κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
δμωαὶ δ', ἃς Ἀχιλεὺς ληίσσατο Πάτροκλός τε,
θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι 30
στήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης.
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων,

12. *ἦ μάλα δή*, gewiss, *nimirum*: Ausdruck einer Vermuthung mit subjectiver Gewissheit. Vgl. Od. ψ, 149 *ἦ μάλα δή τις ἔγημε πολυμνήστην βασίλειαν*.

13. *ἐκέλευον* erg. *μιν*, wozu *ἀπωσάμενον* gehört.

14. *μηδ' Ἕκτορι – μάχεσθαι*. Hektor selbst war zwar nicht genannt, aber unter *Τρωσὶ φιλοπτολέμοισιν* (π, 90) doch mit begriffen.

17 f. *δάκρυα θερμὰ – ὤ μοι*. Durch die Thränen bestätigt er sogleich die richtige Ahnung des Achilleus; durch *ὤ μοι* zeigt er seine eigene Theilnahme u. gewinnt das Herz des liebenden Freundes, der durch die Botschaft betrübt werden soll.

18 f. *λυγρῆς – γενέσθαι*, vgl. ρ, 686 und ebend. 693 zu 21 *γυμνοῦ – Ἕκτωρ*.

23. *κόνις αἰθαλόεσσα* = 25 *μέλαινα τέφρη*, vgl. Od. λ, 191 *ἐν κόνι ἄγχι πυρός*.

25. *νεκταρέῳ*, vgl. zu γ, 385 *νεκταρέου ἑανοῦ*. Ein solches Kleid aber wird dem Achilleus wohl als Sohn der Thetis zugeschrieben.

28. *Πάτροκλός τε*, mit Emphase am Schluss genannt, d. h. der jetzt betrauerte Patroklos selbst.

30. *ἀμφ' Ἀχιλῆα*, doch alle auf Einer Seite, nach 32 *Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο*.

18 χεῖρας ἔχων Ἀχιλῆος — ὁ δ' ἔστενε κυδάλιμον κῆρ —
δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήσειε σιδήρῳ.
35 σμερδαλέον δ' ᾤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι,
κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο,
πᾶσαι ὅσαι κατὰ βένθος ἁλὸς Νηρηίδες ἦσαν.
ἔνθ' ἄρ' ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε,
40 Νησαίη Σπειώ τε Θόη θ' Ἁλίη τε βοῶπις,
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυή,
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα,
45 Δωρὶς καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα·
ἔνθα δ' ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάνασσα,
Μαῖρα καὶ Ὠρείθυια ἐυπλόκαμός τ' Ἀμάθεια
ἄλλαι θ' αἳ κατὰ βένθος ἁλὸς Νηρηίδες ἦσαν.
50 τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ' ἅμα πᾶσαι
στήθεα πεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόοιο.
„κλῦτε, κασίγνηται Νηρηίδες, ὄφρ' εὖ πᾶσαι

33. ὁ δ' ἔστενε κυδ. κῆρ ist parenthetisch eingeschoben; denn das folgende δείδιε γὰρ (Ἀντίλοχος) giebt den Grund an zu χεῖρας ἔχων Ἀχιλῆος. — δείδιε hier Imperfectum = ἐδεδίει.

35. σμερδαλέον δ' ᾤμωξεν. Verstärkte Wiederholung von ὁ δ' ἔστενε 33. — ἄκουσε, doch nur im Allgemeinen, ohne Grund und Inhalt seiner Klage zu kennen, vgl. α, 357 und ebend. zu 365.

36. ἡμένη – γέροντι = α, 358.

39–49. ἔνθ' ἄρ' ἔην – Νηρηίδες ἦσαν. In dieser Aufzählung von 33 Nereidennamen, von denen die meisten eine sehr durchsichtige, auf ihre Eigenschaften oder ihren Aufenthalt bezügliche Etymologie haben (vgl. das zu Od. θ, 111–119 über die Phäakennamen Bemerkte), fanden schon die alten Kritiker, Zenodotos und Aristarchos, einen mehr hesiodeischen als homerischen Charakter; vgl. Hesiod. Theogon. 240–264, wo vollends 50 oder 51 Nereiden aufgeführt sind. Der Vers 49 ist beinahe gleichlautend mit 38.

42. 46. Ἀγαυή — Νημερτής — Ἀψευδής. Man bemerke die Nichtzurückziehung des Accentes in diesen zu Eigennamen gewordenen Adjectiven gegenüber Γλαύκη u. Θόη, und vgl. zu β, 592 Λιπύ.

48. Ἀμάθεια, vgl. Hesiod. a. a. O. 260 Ψαμάθη.

50. ἀργύφεον – σπέος ist zu vergleichen mit dem Epitheton der Thetis ἀργυρόπεζα.

52. εὖ gehört zu εἴδετε, vgl.

εἴδετ' ἀκούουσαι ὅσ' ἐμῷ ἔνι κήδεα θυμῷ. 18
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυσαριστοτόκεια,
ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε, 55
ἔξοχον ἡρώων· ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα δόμον Πηλήιον εἴσω. 60
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ' εἶμ', ὄφρα ἴδωμι φίλον τέκος, ἠδ' ἐπακούσω
ὅττι μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα."

ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ σὺν αὐτῇ 65
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
ῥήγνυτο. ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμειαί
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα.
τῷ δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ, 70
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑῆος,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα.
„τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;

Od. δ, 494 ἐπὴν εὖ πάντα πύθηαι.

54. ὤ μοι ἐγὼ δειλή = Od. ε, 299 ὤ μοι ἐγὼ δειλός. Zu dem Nominativ im Ausruf vgl. χ, 477 Ἕκτορ, ἐγὼ δύστηνος. — δυσαριστοτόκεια Schol. ἐπὶ κακῷ τὸν ἄριστον τετοκυῖα oder τεκοῦσα, ἐπὶ δυστυχίᾳ εὔτεκνος.

55. ἥ τε. Das Verbum zu diesem Relativum folgt nach mehrern Zwischensätzen mit Wiederholung des Objectes erst 59 τὸν δ' οὐχ ὑποδέξομαι αὖτις.

56. ἀνέδραμεν, vgl. Herodot. 8, 55 ὥρων βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα.

57. γουνῷ ἀλωῆς, vgl. zu Od. α, 193 ἀνὰ γουνὸν ἀλωῆς.

60. δόμον Πηλήιον εἴσω, vgl. zu α, 396 und π, 574. Hier scheint es, Thetis habe auch jetzt noch zuweilen den Peleus besucht oder wenigstens sich einen Besuch zur Bewillkommung des heimgekehrten Sohnes vorbehalten.

63. ἠδ' ἐπακούσω. Das Allgemeine der Sache weiss sie wohl, aber sie will Alles genau und vom Sohne selbst vernehmen; vgl. zu α, 365.

64. ἀπὸ πτολέμοιο, vom Kampfe entfernt, vgl. zu ι, 353 ἀπὸ τείχεος.

68. ἐπισχερώ s. v. a. ἐφεξῆς, womit es auch in der Etymologie zusammentrifft.

73f. τέκνον, τί κλαίεις–ἐξαύδα, μὴ κεῦθε = α, 362f. — τὰ μὲν

18 ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
75 ἐκ Διός, ὡς ἄρα δὴ πρίν γ' εὔχεο χεῖρας ἀνασχών,
πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι υἷας Ἀχαιῶν
σεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα."
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύ
„μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
80 ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶσον ἐμῇ κεφαλῇ. τὸν ἀπώλεσα, τεύχεα δ' Ἕκτωρ
δῃώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
καλά· τὰ μὲν Πηλῆι θεοὶ δόσαν ἀγλαὰ δῶρα,
85 ἤματι τῷ ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ.
αἴθ' ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσιν
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν.
νῦν δ', ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
90 οἴκαδε νοστήσαντ'· ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγεν
ζώειν οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ,
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ."
τὸν δ' αὖτε προσέειπε Θέτις κατὰ δάκρυ χέουσα

δή τοι τετέλεσται, das ist dir doch in Erfüllung gegangen. — *μὲν* ungefähr was sonst *μέντοι*. *τὰ* wird erklärt durch 76f. — *πάντας – ἀλήμεναι* (*ἀλῆναι*), vgl. α, 409 *τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἕλσαι Ἀχαιοὺς κτέ.*, ebend. 509f. und unten 447.

83. *δῃώσας ἀπέδυσε*, vgl. ρ, 125–187. χ, 323–331; zu *δῃώσας* insbesondere π, 828 *σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα* und 850 *σὺ δέ με τρίτος ἐξεναρίζεις*.

86 *αὖθι*, dort (wo du warst); vgl. zu β, 328. γ, 244. — *μετ' ἀθανάτῃς ἁλίῃσιν*. Das zweite Adjectiv steht substantivisch nach dem zu Od. ω, 47=55 Bemerkten. Darum ist auch 139 *κασιγνήτῃσι* al Apposition zu *ἁλίῃσι* zu fassen.

88. *νῦν δ', ἵνα*. Die Rede i elliptisch, da kein Verbum zu *νῦ δέ* folgt; man ergänze: jetzt abe (musste es anders kommen, als ic wünschte; musstest du die Gatti eines sterblichen Mannes werden damit u. s. w. — So erscheint auc das Loos einer **Göttin** in ech **tragischem** Lichte.

90f. *οὐδ' ἐμὲ θυμὸς ἄνωγεν ζώ ειν*, auch ich mag nicht mehr lebe — Zu dem verneinten *ἄνωγεν* vg ρ, 357.

93. *Πατρόκλοιο – ἕλωρα* = q 28 *ποινὴν Πατρόκλοιο Μενοιτιά δαο θανόντος*.

„ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις· 95
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.“ 96
τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
ἔφθιτ', ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι. 100
νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλῳ γενόμην φάος, οὐδ' ἑτάροισιν
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ,
ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων 105
ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,

95. ἔσσεαι, d. h. es wird sich in deinem Schicksale zeigen, dass dir ein solches Verhängniss zugetheilt war; vgl. α, 418, wo die ganze Gedankenverbindung viel Aehnlichkeit mit unserer Stelle hat.

96. πότμος, das Geschick, d. h. die Vollendung desselben, vgl. χ, 359f.

98. αὐτίκα τεθναίην κτἑ. Weit entfernt, durch der Thetis drohende Weissagung abgeschreckt zu werden, erklärt Achilleus sich bereit, auf der Stelle zu sterben, da er doch seinem sterbenden Freunde nicht habe beistehen können.

100. ἐμεῖο δὲ δῆσεν κτἑ., mich musste er missen, mein Beistand war ihm versagt. Vgl. den deutlicheren Ausdruck Od. α, 253 ἦ δὴ πολλὸν ἀποιχομένου Ὀδυσῆος δεύῃ, ὅ κε μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφείη. — ἀρῆς ἀλκτῆρα Schol. βλάβης καὶ κακώσεως ἀποτρεπτικόν, κωλυτήν: Abwehrer des Fluches, des Unheils, vgl. 213.

101. νῦν δ', ἐπεὶ οὐ νέομαί γε. Die Form des Satzes ist anakoluthisch; das fehlende Hauptverbum folgt 114 νῦν δ' εἶμ', ὄφρα — κιχείω Ἕκτορα. Das wiederholte Adverbium νῦν zeigt den Zusammenhang des Gedankens: Da ich ohnehin bald sterben muss und bisher nicht das Rechte geleistet: so will ich doch vor meinem Tode noch etwas Tüchtiges, meiner Würdiges ausrichten und dann den Tod gefasst erwarten.

105. τοῖος ἐών concessiv: obgleich ich, der ich so tapfer bin. In diesen und den vorhergehenden Worten von 102 an spricht Achilleus seine Reue aus, dass er während der Kämpfe der letzten Tage seinem Grolle nachgebend so gar nichts für Freunde und Landsleute gethan habe; daher 107 die Verwünschung des Haders und Zornes.

107. ὡς — ἀπόλοιτο, vgl. Od. α, 47 ὡς ἀπόλοιτο καὶ ἄλλος, wo zwar ὡς unmittelbar mit dem vorhergehenden Satze zusammenhängt.

108f. ὅς τ' ἐφέηκε, vgl. Od. ξ, 464, wo es vom Weine heisst: ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ'

108 *ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο*
110 *ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠύτε καπνός·*
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ·
νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω
115 *Ἕκτορα. κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δή*
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
ὅς περ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης.
120 *ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,*
κείσομ', ἐπεί κε θάνω. νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην
καί τινα Τρωιάδων καὶ Δαρδανίδων βαθυκόλπων,
ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ ὀμορξαμένην, ἁδινὸν στοναχῆσαι ἐφείην·
125 *γνοῖεν δ' ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.*

ἀεῖσαι κτἑ. — *πολὺγλυκίων*, durch die Hoffnung auf Rache.

110. *ἀέξεται ἠύτε καπνός*, wie eine Rauchsäule aufsteigt. Die Vergleichung mit dem Rauche soll die Art und Natur des Zornes, der in einem allmählig wachsenden Wallen und Aufsteigen besteht, anschaulich machen.

111. *ὡς ἐμὲ–Ἀγαμέμνων*. Durch Erwähnung des Agamemnon sucht Achilleus seine vorher eingestandene Schuld wieder zu verkleinern.

112. *ἀλλὰ – ἐάσομεν* = π, 60 und diese ganzen zwei Verse = τ, 65 f. — Unter *τὰ μὲν* versteht Achilleus die Beleidigung des Agamemnon, die er nun ruhen lassen will, um den Tod des Patroklos rächen zu können; dies ist die *ἀνάγκη*, vermöge welcher er seinen frühern Groll aufgiebt.

117. *οὐδὲ – φύγε κῆρα.* Dies Urtheil über Herakles widerspricht im Grunde nicht dem Od. λ, 602 – 604 über ihn Ausgesagten, indem derselbe doch erst nach dem Bestehen der Ker unter die Unsterblichen versetzt werden konnte.

120. *εἰ δή μοι – τέτυκται*, wenn mir denn nun wirklich dasselbe Geschick (wie dem Herakles, nämlich zu sterben) bereitet ist. Denn auf eine gleiche Auszeichnung nach dem Tode kann nicht zum Voraus gezählt werden.

121. *κείσομ', ἐπεί κε θάνω*, ich will liegen und unthätig sein (vgl. 104 *ἧμαι* und 178 *ἄνα μηδ' ἔτι κεῖσο*), nachdem ich gestorben, doch nicht jetzt schon: jetzt möcht' ich noch Ruhm gewinnen.

125. *γνοῖεν* ist dem Sinne nach gewissermassen abhängig von *ἐφείην*: sie mögen (sollen) erkennen, d. h. ich will machen, dass sie erkennen. — *δηρόν* = τ, 46. Den kampflustigen Helden erschien auch

μηδέ μ' ἔρυκε μάχης φιλέουσά περ· οὐδέ με πείσεις." 18
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα
„ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστιν
τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον.
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται, 130
χάλκεα μαρμαίροντα. τὰ μὲν κορυθαίολος Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἕ φημι
δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηος,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι· 135
ἠῶθεν γὰρ νεῦμαι ἅμ' ἠελίῳ ἀνιόντι,
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος."
ὣς ἄρα φωνήσασα πάλιν τράπεθ' υἷος ἑῆος,
καὶ στρεφθεῖσ' ἁλίῃσι κασιγνήτῃσι μετηύδα
„ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον, 140
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός,
καί οἱ πάντ' ἀγορεύσατ'· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴ κ' ἐθέλῃσιν
υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα."
ὣς ἔφαθ', αἱ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν. 145
ἡ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
ἤιεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε' ἐνείκαι.
τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοί
θεσπεσίῳ ἀλαλητῷ ὑφ' Ἕκτορος ἀνδροφόνοιο

die Unthätigkeit von bloss 16 Tagen (s. Einl. S. 31f.) unerträglich lange.

126. *μηδέ μ' ἔρυκε*. Dies musste Achilleus nach den Worten der Thetis 95f. besorgen.

128. *ἐτήτυμον*, Adverb., erg. *εἶπας*, *κατέλεξας*. Thetis erweist sich als eine echte Heldenmutter, indem sie nicht den geringsten Versuch macht, ihren Sohn von seinem Vorsatze abzubringen; nur auf den Mangel an Waffen macht sie ihn aufmerksam.

133. *ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ*, vgl. die Rede des Zeus ρ, 201f.

134. *μή πω καταδύσεο*, vgl. zu δ, 410 *μή μοι – ἔνθεο*.

136. *ἠῶθεν*, am Morgen, morgen, wird erst durch *ἅμ' ἠελίῳ ἀνιόντι* näher bestimmt, wie Od. τ, 320 *ἠῶθεν δὲ μάλ' ἦρι*. — *νεῦμαι* wie 101 *νέομαι*.

138. *πάλιν τράπεθ' υἷος*, vgl. Od. η, 143 *αὐτοῖο πάλιν χύτο – ἀήρ*; zu *ἑῆος* ebend. ϑ, 325.

142. *καί οἱ – ἀγορεύσατε*, nämlich warum ich noch nicht nach Hause kehre.

18 φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
151 οὐδέ κε Πάτροκλόν περ ἐυκνήμιδες Ἀχαιοί
ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο πάις, φλογὶ εἴκελος ἀλκήν.
155 τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,
νεκροῦ ἀπεστυφέλιξαν. ὁ δ' ἔμπεδον, ἀλκὶ πεποιθώς,
ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
160 στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν.
ὡς δ' ἀπὸ σώματος οὔ τι λέοντ' αἴθωνα δύναντα ι
ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,
ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστά
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξασθαι.
165 καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρατο κῦδος,
εἰ μὴ Πηλείωνι ποδήνεμος ὠκέα Ἶρις
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι,
κρύβδα Διὸς ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.

150. *καὶ Ἑλλήσποντον ἵκοντο.* Die Ortsbestimmung *Ἑλλήσποντον* sagt streng genommen etwas zu viel, da die Troer nach ρ, 760, vgl. σ, 215 und 228, nur bis zum Graben vorgedrungen sind, so dass sie den am jenseitigen Rande des Grabens stehenden Achilleus sehen.

151 f. *οὐδέ κε — ἐρύσαντο.* In umgekehrter positiver Wendung wird dieser Gedanke mit Beziehung auf Hektor als Subject unten 165 wiederholt, wo dann der entsprechende Bedingungssatz *εἰ μὴ — ἦλθε* nachfolgt.

153. *λαός*, die troische Mannschaft.

154. *φλογὶ εἴκελος ἀλκήν* = ν, 330. Auch dem Feuer wird also *ἀλκή* zugeschrieben.

155. *μετόπισθε ποδῶν λάβε.* Der Dichter scheint hier und 158 einer andern Vorstellung von der Fortschaffung und Rettung des Leichnames zu folgen, als ρ, 722 f. 735. 746. 752 f.

158. *ὁ δ' ἔμπεδον* geht auf seine beharrliche Richtung gegen den verfolgten Feind = *ὀπίσω δ' οὐ χάζετο πάμπαν* 160.

159. *ἐπαΐξασκε κατὰ μόθον*, vgl. zu η, 240 *ἐπαΐξαι μόθον ἵππων.*

160. *μέγα ἰάχων*, vgl. ρ, 213. 317 und oben 156 *μέγα — ὁμόκλα.*

161 f. *ἀπὸ σώματος*, vgl. zu γ, 23 *ὥς τε λέων — μεγάλῳ ἐπὶ σώματι κύρσας.* Zu dem transitiven *δίεσθαι* vgl. ρ, 110 *ὅν ῥα κύνες τε καὶ ἄνδρες — δίωνται* und unten 164 *δειδίξασθαι.*

165. *εἴρυσσεν* erg. *Ἕκτωρ.*

167. *θωρήσσεσθαι* hängt von *ἄγγελος ἦλθε* ab.

168. *κρύβδα Διός*, ohne Vorwis-

ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα. 18
„ὄρσεο, Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν, 170
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
ἕστηκε πρὸ νεῶν. οἱ δ' ἀλλήλους ὀλέκουσιν,
οἱ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,
οἱ δὲ ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι. μάλιστα δὲ φαίδιμος Ἕκτωρ 175
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει
πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι.
σοὶ λώβη, αἴ κέν τι νέκυς ᾐσχυμμένος ἔλθῃ.“ 180
τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς
„Ἶρι θεά, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκεν;“
τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις
„Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·

sen des Zeus, aus Furcht wegen seiner Drohung *ο*, 16 ff., da sie wohl weiss, dass sie durch ihr Eingreifen über den Plan des Zeus (*ρ*, 453–455) hinausgeht. Indessen musste Zeus, der nach *ρ*, 198, vgl. 331–339, dem Kampfe vom Ida her immer zusieht, die Wirksamkeit seiner Gemahlin bald bemerken; daher sein Verweis 356 ff. — Zu *πρὸ γὰρ ἧκέ μιν Ἥρη* vgl. *α*, 195.

171 f. *Πατρόκλῳ ἐπάμυνον.* Die andere Lesart *Πατρόκλου* wird verglichen mit *π*, 522 *ὁ δ' οὐδ' οὗ παιδὸς ἀμύνει.* Doch scheint der Dativ beim Compositum mit *ἐπὶ* natürlicher. — *φύλοπις – ἕστηκε*, der Kampf steht, besteht, dauert noch ungeschwächt, vgl. zu *ν*, 333 *ὁμὸν ἵστατο νεῖκος.*

174 f. *οἱ δὲ – ἐπιθύουσι.* Veränderte Construction; nach Analogie des ersten Gliedes *οἱ μὲν ἀμυνόμενοι* erwartete man *οἱ δὲ – ἐπιθύοντες.* Zu diesem Verbum (Simplex *ἰθύω*) vgl. Od. *π*, 297 *ἐπιθύσαντες.*

176 f. *κεφαλὴν – δειρῆς*, vgl. 179 *Τρ. κυσὶν μέλπηθρα γενέσθαι.* Eine solche Absicht wird auch *ρ*, 125–127 dem Hektor Schuld gegeben; jedenfalls dient diese Vorstellung den Achilleus anzuspornen.

178. *σέβας – ἱκέσθω*, vgl. zu *ζ*, 167 *σεβάσσατο γὰρ τό γε θυμῷ*, und *ρ*, 254 f. *νεμεσιζέσθω κτἑ.*

180. *σοὶ λώβη* erg. *ἐστίν* oder *ἔσται.* — *ἔλθῃ*, d. h. vom Schlachtfelde zurückgebracht wird.

182. *Ἶρι θεά, τίς – ἧκεν.* Eine ähnlich abgebrochene, aus einem einzigen Vers bestehende Rede finden wir *λ*, 606 *τίπτε με κικλήσκεις κτἑ.* und unten 392, sowie noch einige Male in den letzten Büchern. Die Frage des Achilleus ist aber nicht unnütz, weil er wissen muss, ob er es wagen dürfe, das Verbot seiner Mutter (134 f. vgl. 189 f.) zu übertreten.

184. *Ἥρη με προέηκε.* Hera

18 οὐδ' οἶδε Κρονίδης ὑψίζυγος, οὐδέ τις ἄλλος
186 ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται."
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι.
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
190 πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
ἄλλου δ' οὔ τευ οἶδα τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅδ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
195 ἔγχεϊ δηιόων περὶ Πατρόκλοιο θανόντος."
τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις
„εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται·
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο
200 Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.

thut dies weniger aus Zuneigung zu Achilleus und Patroklos, als weil sie dem Hektor den Ruhm der erbeuteten Leiche missgönnt (vgl. 165).

185. *οὐδ' οἶδε Κρονίδης*. Nach dem bisherigen Gange des Kampfes konnte Achilleus wohl glauben, Zeus begünstige nur den Hektor, und es nicht merken, dass er selbst damit begünstigt wurde, weil diese Gunst für ihn zugleich eine Strafe war.

188. *πῶς τ' ἄρ' ἴω* = Od. *γ*, 22.

190. *αὐτήν*, sie selbst, nach 135 f.

191. *Ἡφαίστοιο πάρ' οἰσέμεν*, vgl. *δ*, 97 *τοῦ κεν δὴ – παρ' ἀγλαὰ δῶρα φέροιο*, und wegen des eigentlich unregelmässigen (aber von Aristarchos überlieferten) Accentes auf *πάρ'* (*πάρα*) zu *α*, 350 *θῖν' ἔφ' ἁλὸς πολιῆς*. In unserer Stelle muss des Verses wegen *πάρ'* beim Vortrage mehr mit *οἰσέμεν* als mit *Ἡφαίστοιο* verbunden werden, obgleich der Sinn derselbe ist wie 137.

192. *ἄλλου δ' οὔ τευ οἶδα τεῦ κτἑ*. Die umgekehrte Assimilation (Attraction) beim Pronomen indirecte interrogativum = relativum, indem der Genitiv *ἄλλου τευ* nicht von *οἶδα*, sondern von *τεῦ* (*τίνος* = *ὅτου*) abhängt, oder genauer wie *τεῦ*, von *κλυτὰ τεύχεα*. Darum folgt auch *εἰ μὴ – σάκος* (*οἶδα*).

194. *αὐτὸς ὅδ' – ὁμιλεῖ*, er selbst weilt, denk' ich (= irr' ich nicht), hier unter den vordersten Kämpfern. Wegen *ὅδε* vgl. zu Od. *α*, 185.

197. *ὅ τοι – ἔχονται* = *ὅτι τὰ κλ. τεύχη σου ἔχονται*, dass deine gepriesenen Waffen im Besitz eines Andern (Hektor's) sind.

198. *αὔτως*, sonst, d. h. ohne Waffen, wie 338 ohne *κτέρεα*. Nach 215 befindet sich Achilleus bei der Mauer.

201. *ὀλίγη – πολέμοιο*, vgl. zu *λ*, 801, wo auch die vorhergehenden Worte von *ἀπόσχωνται* an schon vorkommen.

ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις, 18
αὐτὰρ Ἀχιλλεὺς ὦρτο διίφιλος· ἀμφὶ δ' Ἀθήνη
ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσσανόεσσαν,
ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων 205
χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται,
τηλόθεν ἐκ νήσου, τὴν δήιοι ἀμφιμάχωνται,
οἵ τε πανημέριοι στυγερῷ κρίνονται Ἄρηι
ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι 210
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγή
γίγνεται αἴσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἀρῆς ἀλκτῆρες ἵκωνται·
ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανεν.
στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐς Ἀχαιοὺς 215
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤυσ', ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ

203. *Ἀθήνη*, nach dem Willen der Hera, vgl. *λ*, 45. Die dem Achilleus umgelegte Aegis ist das Mittel zur Hervorbringung der in den folgenden zwei Versen bezeichneten wunderbaren Erscheinungen, womit zu vergleichen ist *ε*, 4–7 (von Diomedes).

207–214. *ὡς δ' ὅτε καπνὸς ἰὼν κτέ.* Die ersten Verse dieses Gleichnisses sind mehr nur als Einleitung zu fassen, der eigentliche Vergleichungspunct liegt in 210–212 *ἅμα δ' ἠελίῳ καταδύντι – αἴσσουσα*. Denn während des Tages sieht man von den Nothfeuern der Belagerten vornehmlich den Rauch, aber mit Anbruch der Nacht flammen die Feuerzeichen hell zum Himmel empor.

208. *τὴν–ἀμφιμάχωνται*, wann Feinde sie umlagern = *ὑπὸ δηίων ἀμφιμαχομένης*.

209. *οἵ τε* bezieht sich nicht auf die nächstgenannten *δήιοι*, die mehr als Nebenpersonen erscheinen, sondern durch Synesis auf die in der Stadt = *οἱ ἐν τῷ ἄστει* (207), die Belagerten, von welchen jene Feuerzeichen ausgehen. So macht auch *πανημέριοι – Ἄρηι* (vgl. zu *β*, 385) einen Gegensatz zu *ἅμα ἠελίῳ καταδύντι*.

211. *ἐπήτριμοι*, Schol. *ἀλλεπάλληλοι*, nahe an oder schnell nach einander.

215. *οὐδὲ – μίσγετο*, vgl. 134 *μή πω καταδύσεο μῶλον Ἄρηος*. Die jetzt beabsichtigte Wirkung, den Feind zu schrecken, konnte er nur aus einer gewissen Ferne hervorbringen; so konnte auch Athene ihre Stimme mit der seinigen vereinen.

219. *ἀριζήλη* mit zu ergänzendem *γίγνηται* ist Prädicat zu *ὡς ὅτε φωνή*. — *σάλπιγξ*, die Trompete, findet sich bei Homer nur

3 *ἄστυ περιπλομένων δηίων ὕπο θυμοραϊστέων,*
1 *ὣς τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.*
οἱ δ' ὡς οὖν ἄιον ὄπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμός. ἀτὰρ καλλίτριχες ἵπποι
ἂψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
5 *ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ*
δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλείωνος
δαιόμενον· τὸ δὲ δαῖε θεὰ γλαυκῶπις Ἀθήνη.
τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς,
τρὶς δὲ κυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι.
ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοὶ
ἀσπασίως Πάτροκλον ὑπὲκ βελέων ἐρύσαντες
κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι
μυρόμενοι. μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεὺς
5 *δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον*
κείμενον ἐν φέρτρῳ δεδαϊγμένον ὀξέι χαλκῷ.
τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
ἐς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη

hier, in einem Gleichnisse, nie von den kämpfenden Parteien selbst gebraucht; ebenso steht *φ*, 388 das Verbum *σάλπιγξεν* nur bildlich. Vgl. das zu Od. *ε*, 371 über das Reiten Bemerkte.

220. *δηίων ὕπο* ist mit *ἴαχε σάλπιγξ* zu construiren. — *περιπλομένων* Schol. *περικαθεζομένων, κυκλούντων.*

222. *ὄπα χάλκεον*, vgl. zu *λ*, 682 *Πύλον Νηλήιον* und *β*, 742.

224. *τρόπεον* von der wiederholten Handlung bei allen einzelnen Wagen. — *ὄσσοντο*, sie ahnten Unglück im Gemüthe, vgl. Od. *σ*, 154 *δὴ γὰρ κακὸν ὄσσετο θυμός* und zur Sache das bei *ρ*, 426 Bemerkte.

230. *καὶ τότε*, auch da (nach allem Vorangegangenen), obgleich bei der allgemeinen Umkehr der Troer und da den Achäern jetzt mehr an dem Leichnam des Patroklos gelegen war (231 ff.), kein eigentlicher Kampf mehr Statt fand. Sie fielen aber auch nicht durch die Feinde, sondern 231 *ἀμφὶ σφοῖς – ἔγχεσιν*, durch eigene Wagen und Lanzen, d. h. unter jenen zermalmt (vgl. *π*, 378 f.) und von diesen gespiesst. — *ἀμφὶ* ist nur durch Zeugma auch mit *ὀχέεσσι* verbunden, zu welchem *ὑπὸ* besser passen würde.

237 f. *τόν ῥ' ἤτοι μὲν ἔπεμπε κτέ.* Wehmüthige Reflexion des Dichters, gleichsam zur Rechtfertigung der heissen Thränen, die Achilleus vergoss.

239 – 242. *ἠέλιον δ' ἀκάμαντα*

πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι. 18
ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοί 241
φυλόπιδος κρατερῆς καὶ ὁμοιίου πολέμοιο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆς ὑσμίνης
χωρήσαντες ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
ἐς δ' ἀγορὴν ἀγέροντο πάρος δόρποιο μέδεσθαι. 245
ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεύς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
Πανθοΐδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω. 250
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο·
ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα.
ὅ σφιν ἐυφρονέων ἀγορήσατο καὶ μετέειπεν
„ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε
ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν 255
ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
τόφρα δὲ ῥηίτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·

– πολέμοιο. Nachdem Hera die von ihr gewünschte Rettung des Patroklos zu Wege gebracht hat, lässt sie die Sonne noch vor der Zeit (darum ἀέκοντα) untergehen und gewährt den Achäern Ruhe vom Kampfe: vgl. Einleit. S. 32 und zu ϑ, 485 – 488.

244. ὑφ' ἅρμασιν ist mit ἵππους zu verbinden, s. v. a. ὑφ' ἅρμασιν οὔσας; mit ἔλυσαν verbunden würde es eher ὑφ' ἁρμάτων heissen.

245. ἐς δ' ἀγορὴν ἀγέροντο, aus eigenem Antrieb in Folge der allgemeinen Bestürzung; darum stehen sie auch in der Versammlung und räth Polydamas zum Rückzug in die Stadt.

246. ὀρθῶν ἑσταότων wird von ἀγορὴ regiert. — Zu οὐδέ τις ἔτλη vgl. Od. δ, 716 οὐδ' ἄρ' ἔτ' ἔτλη δίφρῳ ἐφέζεσθαι.

248. δηρὸν δὲ – ἀλεγεινῆς. Nebenbestimmung zu ἐξεφάνη: nachdem er lange nicht mehr am Kampfe Theil genommen.

254. ἀμφὶ μάλα φράζεσθε Schol. περισκέψασθε τῇ διανοίᾳ, μάλα περισσῶς βουλεύσασθε. ἀμφί, von beiden Seiten d. i. sorgfältig, genau. — Aehnliche Warnungen hatte Polydamas auch μ, 210 ff. ν, 745 ff. ausgesprochen.

255. νῦν hat den Ton und Nachdruck: jetzt, nicht erst morgen, wo es vielleicht zu spät ist, vgl. 270 ff.

257. οὗτος ἀνήρ. Die unbestimmte Bezeichnung drückt mehr Furcht und Grauen, als eine feindselige Stimmung aus.

18 χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων,
260 ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοί
ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται,
265 ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτόν
270 γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρήν
ὅς κε φύγῃ, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο.
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
275 ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῇς ἀραρυῖαι
μακραὶ ἐύξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρῶι δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες

259. *ἐπὶ νηυσὶν ἰαύων*, vgl. *τ*, 71, an, bei den Schiffen, in der Nähe des feindlichen Schiffslagers die Nacht zubringend, vgl. *ι*, 325.

262. *οἷος ἐκείνου θυμὸς ὑπέρβιος*, vgl. zu Od. *ο*, 212.

264. *μένος Ἄρηος δατέονται*, die Kraft des Ares vertheilen, unter sich theilen, d. h. mit wechselndem Glücke, bald siegend, bald besiegt kämpfen; vgl. 209 *στυγερῷ κρίνονται Ἄρηι*.

265. *περὶ πτόλιος – μαχήσεται*, vom Angreifenden wie Od. *λ*, 403 *περὶ πτόλιος μαχεούμενον ἠδὲ γυναικῶν*.

266. *ὧδε γὰρ ἔσται* geht auf den Inhalt von 268 – 272.

269. *σὺν τεύχεσιν*, während er heute nur unbewaffnet war.

270. *ἀσπασίως γὰρ ἀφίξεται κτέ.*, d. h. wer auch nur durch die Flucht sich retten kann, wird den Göttern danken; vgl. zu *η*, 117f.

272. *ἀπ' οὔατος* = *χ*, 454, fern vom Ohr, so dass ich nie etwas davon vernähme, geschweige es selbst sähe. — *ὧδε*, so wie ich gesagt, d. h. das so Geschehende.

274. *νύκτα – σθένος ἕξομεν*, wir werden die Nacht hindurch die Kriegsmacht (*δύναμιν*) auf dem Versammlungsplatz zusammenhalten, beisammen behalten, um auf alle Fälle gerüstet zu sein (z. B. den 278 angedeuteten). — *νύκτα*, Gegensatz von *πρῶι*.

275. *πύλαι σανίδες τε*, vgl. *μ*, 120f. *πύλησιν – ἐπικεκλιμένας σανίδας*.

276. *ἐζευγμέναι*, hier wohl s. v. a. sonst *δικλίδες*; denn zu einem Thore gehört ein Paar Thorflügel.

στησόμεθ' ἂμ πύργους. τῷ δ' ἄλγιον, αἴ κ' ἐθέλῃσιν 18
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους 280
παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων.
εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
οὐδέ ποτ' ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται."
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ
„Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, 285
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
ἦ οὔ πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες μυθέσκοντο πολύχρυσον πολύχαλκον·
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά, 290
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
κῦδος ἀρέσθ' ἐπὶ νηυσί, θαλάσσῃ τ' ἔλσαι Ἀχαιούς,
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ· 295
οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσω.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσιν,

278. *στησόμεθ' ἂμ πύργους*, wir werden uns nicht den Gefahren des offenen Feldes (253f.) aussetzen. — *τῷ*, d. i. *ἐκείνῳ δέ*, vgl. 257.

281. *παντοίου δρόμου ἄσῃ*, d. i. durch alle Versuche, in die Stadt einzudringen, vergeblich ermüdet.

282. *οὔ μιν θυμὸς – ἐάσει*, d. h. selbst sein verwegener Muth, seine Kühnheit wird ihn nicht antreiben, in's Innere der Stadt zu streben, oder vielmehr sein eigener Muth wird ihn davon abmahnen.

283. *πρίν – ἔδονται*, vgl. zu *α*, 29.

285. *Πουλυδάμα, σὺ μὲν – ἀγορεύεις*, vgl. zu *η*, 357 = *μ*, 231.

286. *κατὰ ἄστυ ἀλήμεναι* = *ω*, 662 *κ. ἄ. ἐέλμεθα*, vgl. zu *ε*, 203 *ἀνδρῶν εἰλομένων* und oben 254f.

288. *μέροπες ἄνθρωποι*, nach Analogie des häufigen Versausganges *μερόπων ἀνθρώπων*, z. B. 342, trotz der kurzen Endsylbe in *μέροπες*.

291f. *Φρυγίην καὶ Μῃονίην – ἵκει*, zur Gewinnung und Belohnung der dorther gekommenen Bundesgenossen (*ἐπίκουροι*), vgl. *ρ*, 225 *δώροισι κατατρύχω – λαούς*. — *περνάμενα* gehört zu *ἵκει*, sie kommen (sind gekommen) durch Ausfuhr über die Grenze (*πέρας*), Veräusserung, vgl. zu Od. *ο*, 387 *ἐπέρασσαν*.

294. *θαλάσσῃ τ' ἔλσαι* = *κατὰ* oder *ἀμφὶ θάλασσαν ἔλσαι*, an's Meer hindrängen, vgl. zu *α*, 409.

298f. *νῦν μὲν – ἕκαστος*, vgl. zu *η*, 370f. — *ἐν τελέεσσιν* Schol.

18 καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·
300 Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινὰ βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς.
πρῶι δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα.
305 εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
ἄλγιον, αἴ κ' ἐθέλῃσι, τῷ ἔσσεται. οὔ μιν ἔγωγε
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
στήσομαι, ἤ κε φέρῃσι μέγα κράτος ἤ κε φεροίμην.
ξυνὸς ἐνυάλιος, καί τε κτανέοντα κατέκτα."
310 ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες κελάδησαν
νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη.
Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔ τις, ὃς ἐσθλὴν φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοί
315 παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες.

μὴ λύσαντες τὰς τάξεις.

300. ὃς κτεάτεσσιν — ἀνιάζει, wer durch seine Habe allzusehr belästigt ist, d. h. wen die Sorge für seine Habe und die Furcht vor dem Eindringen der sie erbeutenden Feinde zu sehr beunruhigt. Der Rath des Polydamas soll, wie es scheint, als eine Eingebung des Eigennutzes, ein Beweis der Unfähigkeit ein Opfer zu bringen erscheinen.

302. τῶν (λαῶν = τούτων) hängt von τινὰ ab. — Bei ἐπαυρέμεν ergänze αὐτὰ (τὰ κτέατα) oder αὐτῶν.

303. πρῶι δ' ὑπηοῖοι. Hektor bedient sich mit Fleiss derselben Anfangsworte wie Polydamas 277, um den verschiedenen Schluss desto bemerkbarer zu machen. Vgl. auch 306 mit 278.

305. παρὰ ναῦφιν Schol. ἀπὸ τῶν νεῶν.

306. αἴ κ' ἐθέλῃσι erg. μάχεσθαι nach 278 f.: wenn er es wagt.

308. ἤ κε — φεροίμην (vgl. ν, 486). Relativer Nebensatz, wie Od. ξ, 183 ἢ κεν ἁλῴη ἤ κε φύγοι. Il. χ, 253 ἕλοιμί κεν ἤ κεν ἁλοίην. λ, 410.

309. ξυνὸς ἐνυάλιος, vgl. Od. λ, 537 ἐπιμὶξ δέ τε μαίνεται Ἄρης. — καί τε κτανέοντα κατέκτα, und er mordet auch wohl oft auch den Mordenden. — κτανέοντα scheint nach dem Zusammenhang verstärkte Präsensform zu sein, um das Fortgesetzte der Handlung auszudrücken, vgl. zu κ, 421 ἐπιτραπέουσι. (Nach Buttmann.) Andere: er mordet den, der morden will, schon zu morden meint. Aehnlich Cicero pro T. Ann. Milone 21, 56 *Adde casus, adde incertos exitus pugnarum Martemque communem, qui saepe spoliantem iam et exsultantem evertit et perculit ab abiecto* (*manu abiecti*).

311. εἵλετο Π. Ἀθήνη, zu Gunsten der Achäer. Vgl. δ, 104.

312. ἐπῄνησαν wie 310 ἐπὶ — κελάδησαν (= θ, 542).

τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο, 318
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠυγένειος,
ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
ὕλης ἐκ πυκινῆς· ὁ δέ τ' ἄχνυται ὕστερος ἐλθών, 320
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.
ὣς ὁ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν
„ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν· 325
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα λαχόντα τε ληίδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτοῦ ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα 330
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σοῖο φονῆος· 335
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως,

316 f. τοῖσι – ἑταίρου = ψ, 17 f. χεῖρας ἀνδροφόνους wird ausgeführt ω, 479.

318. λὶς ἠυγένειος. Das Beiwort (vgl. zu Od. δ, 456) passt besonders auf die Löwin, die hier gemeint sein muss nach dem zu ρ, 134 Bemerkten. Schol. αἱ θήλειαι (λέαιναι) κάλλιστον ἔχουσι γένειον.

322. εἴ ποθεν ἐξεύροι. Der Optativ im abhängigen Satze, als ob das regierende Verbum ἐπῆλθε ein eig. historisches Tempus wäre.

324. ἔκβαλον mit dem Nebenbegriff der Unbesonnenheit, des zu grossen Selbstvertrauens.

326. περικλυτὸν scheint Prädicat und mit ἀπάξειν zu verbinden.

329. ἄμφω erg. νῶι. — Zu ἐρεῦσαι vgl. λ, 394 αἵματι γαῖαν ἐρεύθων.

334 ff. οὔ σε πρὶν κτεριῶ. Diese dem Patroklos versprochene Genugthuung ist zugleich eine Ankündigung der folgenden Bücher; mit unserer Stelle vgl. die Ausführung φ, 27–32. ψ, 20–23. 175–183. — Ἕκτορος steht besonders in Beziehung auf κεφαλήν, während die τεύχεα, die ja dem Achilleus gehören, mehr beiläufig genannt werden.

336. ἀποδειροτομήσω, eigentlich von Thieren wie Od. λ, 35.

338. τόφρα δέ μοι – κείσεαι.

18 ἀμφὶ δὲ σὲ Τρωαὶ καὶ Δαρδανίδες βαθύκολποι
340 κλαύσονται νύκτας τε καὶ ἤματα δακρυχέουσαι,
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῷ,
πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων."
ὣς εἰπὼν ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
345 Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα.
οἱ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ,
ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες.
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.
αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
350 καὶ τότε δὴ λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίῳ,
ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο.
ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν
ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῷ.
παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
355 Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες·
Ζεὺς δ' Ἥρην προσέειπε κασιγνήτην ἄλοχόν τε
„ἔπρηξας καὶ ἔπειτα, βοῶπις πότνια Ἥρη,

Achilleus denkt sich die Erfüllung seines Vorsatzes natürlich in naher Zukunft, so dass auch das hier Gesagte weder unwahrscheinlich noch inhuman erscheint. — Zu κείσεαι αὔτως vgl. Od. ν, 281, oben 198.

341. καμόμεσθα prägnant = κάμνοντες ἐκτησάμεθα.

344–348. ἀμφὶ – ὕδωρ, vgl. Od. θ, 434–437, welche Stelle der unsrigen nachgebildet zu sein scheint. — Ueber ἀμφὶ πυρὶ vgl. ebend. zu 426.

350. λίπ' ἐλαίῳ, vgl. zu Od. γ, 466.

351. ἐννεώροιο, vgl. zu Od. κ, 19. Das alte Oel galt, wie es scheint, für köstlicher und wirksamer, um die Fäulniss aufzuhalten.

352. ἑανῷ λιτί. Ueber ἑανός (hier Adjectiv) vgl. zu γ, 385; über τὸ λῖ zu Od. α, 130.

354 f. παννύχιοι – γοῶντες. Schärfer bestimmte Wiederaufnahme des schon 314 f. in ungenauerer Allgemeinheit (von allen Achäern) Ausgesprochenen.

356–368. Ζεὺς – ἀγόρευον. Dieses unerwartete Zwischengespräch steht in Beziehung auf 168 und 185 f., indem Zeus, den man in den Olympos zurückgekehrt denken muss, die geheime Einwirkung der Hera bemerkt hat und ihr darüber einen bittern Vorwurf macht, der nach ihrer ο, 45 f. gethanen Aeusserung allerdings sehr verdient war. — Ζεὺς – ἄλοχόν τε, vgl. π, 432.

357. ἔπρηξας καὶ ἔπειτα Schol. ἐξετέλεσας δὴ καὶ ἤνυσας ὃ ἠβουλήθης, so hast du denn also doch noch (ἔπειτα) ausgerichtet, erreicht (wonach du so lange strebtest). — Mit ἔπρηξας scheint Zeus auf seine eigene Aeusserung gegen Hera α, 562 πρῆξαι δ' ἔμπης οὔ τι δυ-

ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν. ἦ ῥά νυ σεῖο 18
ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη 360
„αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες.
καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδεν·
πῶς δὴ ἔγωγ', ἥ φημι θεάων ἔμμεν ἀρίστη,
ἀμφότερον γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις 365
κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;"
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
ἄφθιτον ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισιν, 370
χάλκεον, ὅν ῥ' αὐτὸς ποιήσατο κυλλοποδίων.
τὸν δ' εὗρ' ἱδρώοντα ἑλισσόμενον περὶ φύσας,
σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν
ἑστάμεναι περὶ τοῖχον ἐυσταθέος μεγάροιο,
χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν, 375

νήσεαι zurückzuweisen. — βοῶπις – Ἥρη im Vocativ wie ϑ, 471.

358 f. ἀνστήσασ' Ἀχιλῆα, nicht sowohl um diesen zu ehren, was Zeus wollte, als um den Troern zu schaden, vgl. 364–367 und zu 184. — ἦ ῥά νυ – Ἀχαιοί, d. h. du sorgst für sie wie für deine eigenen Kinder. σεῖο braucht nicht vom folgenden ἐξ abhängig gemacht zu werden.

361. αἰνότατε – ἔειπες = α, 552.

362 f. καὶ μὲν δή πού τις. Im Gang dieser zwei Verse ist der zähe Trotz der Hera treffend ausgedrückt; vgl. α, 564. — ἀνδρὶ τελέσσαι, gegen einen Mann (Menschen) durchsetzen, nämlich etwas Schlimmes, wie sich aus 367 ergiebt. — ὅς περ geht auf βροτός, vgl. zu Od. γ, 3 θνητοῖσι βροτοῖσιν.

365 f. ἀμφότερον – ἀνάσσεις = δ, 60 f.

368. ὣς – ἀγόρευον. Ein häufig vorkommender Bindevers = ε, 274. Od. δ, 620. — Ueber ἀγορεύω von zweien vgl. zu Od. δ, 465.

369. Ἡφαίστου – δόμον, also in den Olympos nach 148. 616.

370. μεταπρεπέ' ἀθανάτοισιν, d. h. unter den Wohnungen der Unsterblichen, vgl. α, 606–608.

371. κυλλοποδίων, vgl. 397 χωλὸν ἐόντα. 411 χωλεύων.

372. ἑλισσόμενον, Schol. ἐπιστρεφόμενον.

374. περὶ τοῖχον, vgl. Od. η, 95 περὶ τοῖχον ἐρηρέδατο. — μεγάροιο, des Versammlungssaales der Götter (vgl. 376), denen die Dreifüsse vielleicht als Sitze dienten.

375. ὑπὸ gehört zu θῆκε. Durch dieses ὑποτιθέναι κύκλα wurden die τρίποδες selbst ὑπόκυκλοι, vgl. zu Od. δ, 131.

18 ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα
ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔ πω
δαιδάλεα προσέκειτο· τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς.
380 ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσιν,
τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
τὴν δὲ ἴδε προμολοῦσα χάρις λιπαροκρήδεμνος
καλή, τὴν ὤπυιε περικλυτὸς ἀμφιγυήεις·
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
385 „τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.“
ὣς ἄρα φωνήσασα πρόσω ἄγε δῖα θεάων.
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου
390 καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην, εἶπέ τε μῦθον.
„Ἥφαιστε, πρόμολ' ὧδε. Θέτις νύ τι σεῖο χατίζει.“
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις
„ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
395 ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα

376. οἱ = αὐτῷ, dem Werkmeister. — αὐτόματοι, wie von selbst, d. h. nach leichtem Anstosse dahinrollend. — Zu θεῖον – ἀγῶνα vgl. η, 298.

378. τόσσον μέν adverbial, wie unser so weit, insoweit (im Uebrigen). Darauf sollte eigentlich folgen ὅσον τὰ οὔατα οὔπω προσέκειτο oder ὥς τε τὰ οὔατα οὔπω προσκεῖσθαι. Vgl. zu χ, 322 ἄλλο τόσον.

379. τά ῥα, d. i. τὰ οὔατα. — κόπτε – δεσμούς = Od. θ, 274, schmiedete Bande (Nägel?, wie Il. λ, 633), um die Henkel zu befestigen, anzuschweissen oder anzuhämmern.

382 f. χάρις – τὴν ὤπυιε, vgl. zu Od. θ, 268; zu λιπαροκρήδεμνος die λιπαρὰ κρήδεμνα der Penelope Od. α, 334.

385. Θέτι im Vocativ vor einfachem Consonanten = 424. ω, 88. Anders 407 und ψ, 316. 318. Zur ganzen Begrüssung vgl. Od. ε, 87 ff. mit der Anmerkung.

392. πρόμολ' ὧδε, Schol. οὕτως ὡς ἔχεις, οὐδὲν ὑπερθέμενος, vgl. zu Od. α, 182. ζ, 218.

394. δεινή τε καὶ αἰδοίη sind hier nur als Synonyma verbunden; und δεινή nicht so eigentlich zu nehmen als γ, 172. — Dies ruft Hephästos, wie 410 zeigt, noch an der Arbeit sitzend.

395. τῆλε πεσόντα. Nach dem Folgenden fiel er in's Meer; dagegen α, 590–594, von Zeus herabgeworfen, auf Lemnos.

μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλησεν
κρύψαι χωλὸν ἐόντα. τότ' ἂν πάθον ἄλγεα θυμῷ,
εἰ μή μ' Εὐρυνόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
τῇσι παρ' εἰνάετες χάλκευον δαίδαλα πολλά, 400
πόρπας τε γναμπτάς θ' ἕλικας κάλυκάς τε καὶ ὅρμους
ἐν σπῆι γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
ἤδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴσαν, αἵ μ' ἐσάωσαν. 405
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῷ με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήια καλά,
ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα."
ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη 410

396. *κυνῶπις* scheint hier nur den Begriff der rücksichtslosen Verwegenheit (Tollkühnheit) auszudrücken, ungefähr wie sonst *σχέτλιος*.

397. *κρύψαι*, wegen seiner Hässlichkeit, deren sie sich schämte.

398. *Εὐρυνόμη* (die Weitwaltende) scheint eine Bezeichnung des Meeres, und beide Namen (hier und 405) im Grunde nur Ein Wesen anzuzeigen. — Ueber das Verhältniss von Okeanos und Meer vgl. zu Od. *κ*, 508. Die Epanalepsis *Εὐρυνόμη θυγάτηρ* hat hier etwas besonders Gemüthliches.

400. *δαίδαλα*, vgl. *δαίδαλον* Odyss. *τ*, 227.

401. *ἕλικες* können nach der Etymologie und dem Beiwort *γναμπταί* = Hymn. in Vener. 163, vgl. 87 f., Ringe oder Armbänder (sonst *ψέλια*) sein, die sich herumwinden oder schmiegen. — *κάλυκες*, nach dem Namen etwas Gehöhltes, entweder kelchförmige Ohrgehänge (sonst *ἕρματα*) oder eine Art Röhren, um die Haarlocken zusammenzufassen (*σύριγγες περιλαμβάνουσαι τοὺς πλοκάμους*), vgl. *ρ*, 52. — Ueber *ὅρμος* vgl. zu Od. *ο*, 460.

403 f. *οὐδέ — ἤδεεν*, nämlich von meinem verborgenen Aufenthalte.

405. *ἴσαν* wie Od. *δ*, 772 (= *ν*, 170. *ψ*, 152) = *ἔγνωσαν*.

406. *ἣ νῦν — ἵκει* weist auf 395 zurück.

407. *πάντα — ζωάγρια* (vgl. Od. *θ*, 462), jeden, d. h. den ganzen, vollen Dank (Lohn) für das gerettete Leben.

409. *ὅπλα τε πάντα*, vgl. Od. *γ*, 433, *ὅπλ' ἐν χερσὶν ἔχων χαλκήια*, wo im folgenden Verse mehrere genannt werden.

410. *πέλωρ αἴητον*, Bezeichnung des Hephästos: das gewaltige Ungeheuer, das furchtbare, entsetzliche Ungethüm. Für die Deutung des dunkeln *αἴητος* (vgl. *φ*, 395 *θάρσος ἄητον*) empfiehlt sich am meisten die Ansicht Buttmann's, der es mit *αἰνὸς* = *δεινὸς* vergleicht und mit *ἄγαμαι* in Verbindung setzt; vgl. Od. *κ*, 219 *αἰνὰ πέλωρα*, ebendas. *ι*, 190 *θαῦμ' ἐτέτυκτο πελώριον*. Andere: das schnaufende Ungethüm.

18 χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρός, ὅπλα τε πάντα
λάρνακ' ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ
415 αὐχένα τε στιβαρὸν καὶ στήθεα λαχνήεντα,
δῦ δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχύ, βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι
χρύσειαι, ζωῇσι νεήνισιν εἰοικυῖαι.
τῇς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδή
420 καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
αἱ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὁ ἔρρων
πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
„τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ
425 αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν."
τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα
„Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
430 τοσσάδ' ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα λυγρά,
ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν;

411. χωλεύων – ἀραιαί vgl. υ, 37. Nach dieser Verbindung ist der Ausdruck πέλωρ αἴητον besonders auf das Missverhältniss zwischen dem starken Oberleib (415) und den schmächtigen Beinen zu beziehen.

414. ἀμφὶ πρόσωπα, auf beiden Seiten des Gesichtes, d. h. beide Wangen.

416. θύραζε, d. h. aus der Werkstätte in das Wohngemach.

417. ὑπὸ – ῥώοντο, um ihn zu stützen und seinen mühsamen Gang zu erleichtern, vgl. 421 ὕπαιθα ἄνακτος ἐποίπνυον.

418. εἰοικυῖαι gehört zu den sprachlichen Eigenheiten dieses Buches für ἐικυῖαι (vgl. zu ρ, 5), in umgekehrter Richtung als 520 εἶκε für das sonstige ἐῴκει und φ, 254 εἰκώς für ἐοικώς.

419f. τῇς ἐν μὲν νόος ἐστί, vgl. zu Od. θ, 556 über die τιτυσκόμεναι φρεσὶ νῆες der Phäaken.

421. ἔρρων, Schol. διὰ τὴν χωλότητα ἐπαχθῶς βαδίζων.

427. τετελεσμένον, vgl. zu Od. ε, 90.

429. ἦ ἄρα zeigt den Ursprung des fragenden ἄρα, vgl. ε, 421 ἦ ῥα.

431. ὅσσ' ἐμοὶ – Ζεὺς – ἔδωκεν, Zeus als der oberste Geber der Geschicke. Oben 85 wurde die Vermählung der Thetis den Göttern überhaupt zugeschrieben; ω, 60 rühmt sich Hera derselben.

ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν, 18
Αἰακίδῃ Πηλῆι, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ' οὐκ ἐθέλουσα. ὁ μὲν δὴ γήραϊ λυγρῷ
κεῖται ἐνὶ μεγάροις ἀρημένος· ἄλλα δέ μοι νῦν, 435
υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε τραφέμεν τε,
ἔξοχον ἡρώων· ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις 440
οἴκαδε νοστήσαντα, δόμον Πηλήιον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων. 445
ἤτοι ὁ τῆς ἀχέων φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον. οὐδὲ θύραζε
εἴων ἐξιέναι. τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠναίνετο λοιγὸν ἀμῦναι, 450

432. ἐκ μέν μ' ἀλλάων. Zur Wortstellung vgl. Od. ξ, 452 πὰρ δ' ἄρα μιν Ταφίων. — Nach Hesiod. Theog. 1004 wurde auch die Nereide Psamathe einem Sterblichen, dem Aiakos, vermählt.

433. ἔτλην – εὐνήν, vgl. Virg. Aen. 3, 324 *Nec victoris heri tetigit captiva cubile.*

434. πολλὰ μάλα, Verstärkung zu οὐκ ἐθέλουσα, wie sonst πόλλ' ἀέκουσα.

435. ἄλλα δέ μοι νῦν erg. κακὰ γέγονεν oder aus 431 Ζεὺς ἄλγε' ἔδωκεν, da auch im folgenden Verse Zeus wieder Subject ist, vgl. Od. α, 244. ξ, 39.

437 – 443. ἔξοχον – ἰοῦσα ist Wiederholung von 56 – 62, woraus sich auch die theilweise Anakoluthie erklärt.

444 – 456. κούρην ἣν ἄρα. Der Anfang dieser Rede schliesst sich genau an π, 56. 58 an. Wegen dieser und anderer Wiederholungen, so wie wegen der in der Verbindung von 449 f. mit 451 liegenden Ungenauigkeit wird die ganze Stelle von Aristarchos für eingeschoben erklärt. Doch wäre auch der Uebergang von 443 zu 457 unstreitig zu schroff und unvermittelt.

446. φρένας ἔφθιεν, er verzehrte seine Seele, härmte sich das Herz ab, vgl. α, 491 φθινύθεσκε φίλον κῆρ mit Od. κ, 485 οἵ μευ φθινύθουσι φίλον κῆρ.

448 f. λίσσοντο γέρ., während der Einschliessung der Achäer in ihr Lager. γέροντες, die Gesandten Odysseus, Aias (und Phoenix). — ὀνόμαζον, vgl. ι, 121. 515.

18 αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσεν,
πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσεν.
πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσιν·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
455 πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν.
τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας, ἐπισφυρίοις ἀραρυίας,
460 καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος
Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων."
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς ἀμφιγυήεις
„θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
αἲ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
465 νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι,
ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται."
ὣς εἰπὼν τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύσας,
τὰς δ' ἐς πῦρ ἔτρεψε, κέλευσέ τε ἐργάζεσθαι.
470 φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,

451. αὐτὰρ ὁ – ἕσσεν, nämlich nachdem unterdessen die Noth der Achäer auf's Neue gestiegen war, während seine eigene Verweigerung des Beistandes noch fortdauerte.

453. περὶ Σκαιῇσι πύλῃσιν, vgl. π, 698–712; zur Erwähnung des Apollon im Folgenden vgl. π, 849.

458. ἐμῷ ὠκυμόρῳ, Synizese, vgl. ρ, 89 ἀσβέστῳ. οὐδ' υἱόν.

460. ὃ (ὡς) γὰρ ἦν οἱ, (τοῦτον) ἀπώλεσε π. ἑταῖρος. ὃ geht auf den Panzer als dasjenige wesentliche Stück der Bewaffnung, dessen Verlust unter besonders merkwürdigen Umständen Statt fand und von entscheidenden Folgen war, vgl. π, 804–807. 820f.

464–466. ὧδε – ὡς, eben so gewiss als. Die Verbindung νόσφιν ἀποκρύψαι ist prägnant: verbergen und dadurch fern bewahren, getrennt halten. — παρέσσεται οἱ drückt die Gewissheit der Zusage aus. — αὖτε, wieder, wie auch die frühern, ebenfalls von Hephästos verfertigten Waffen.

469. ἐς πῦρ ἔτρεψε, wandte, richtete sie in das Feuer, von dem er sie 412 entfernt hatte.

471. παντοίην wird durch die zwei folgenden Verse erklärt. — εὔπρηστον (πρήθω, vgl. zu Od. β, 81) nach Buttmann „von dem in Fülle herausgetriebenen Luftstrom".

ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι ἄλλοτε δ' αὖτε, 18
ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε
καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα 475
θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, γέντο δὲ χειρί
ῥαιστῆρα κρατερήν, ἑτέρηφι δὲ γέντο πυράγρην.
 ποίει δὲ πρώτιστα σάκος μέγα τε στιβαρόν τε
πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινήν
τρίπλακα μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα. 480
πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
 ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν

472. *ἄλλοτε δ' αὖτε.* Das hierzu erwartete Participium *μεταπαυομένῳ, λήγοντι, ὀκνοῦντι* (als Gegensatz von *σπεύδοντι*) wird durch den ganzen folgenden Vers umschrieben. — *παρέμμεναι* (*εἰς τὸ* oder *ὥς τε*), dass er zu Gebote stand.

473. *ὅππως – ἔργον ἄνοιτο,* wie das Werk vollendet, gefördert wurde, d. h. wie der Fortschritt des Werkes es in jedem Moment erforderte. Die ganze Rüstung lässt der Dichter mit richtigem Tact vor den Augen des Hörers entstehen, statt sie als eine fertige zu beschreiben.

479f. *πάντοσε*, nach allen Seiten hin, in allen Richtungen, also auch allenthalben. — Ueber *ἄντυξ*, der erhöhte Schildrand, vgl. zu *ζ*, 118. — Das Beiwort *τρίπλακα* kann nach seiner Stellung nicht wohl auf drei verschiedene Reife oder Ringe gehen, dergleichen sich *λ*, 33 zehn fanden, sondern auf Einen dreifachen, aus drei Lagen bestehenden oder an Stärke und Dicke dreien gleichkommenden.

480. *ἐκ δέ*, parallel mit *περὶ δέ*, ist ebenfalls auf *σάκος* zu beziehen = *ἐκ τοῦ σάκους δέ*, daran aber. Als Verbum ergänze *ἐποίησε* aus *βάλε*.

481. *αὐτοῦ σάκεος*, am Schilde selbst, im Gegensatz der vorhergenannten Bestandtheile (Aussenwerke) desselben. Die fünf Schichten oder Lagen (*πτύχες*) waren, wie sich aus *υ*, 268 – 272 ergiebt, alle metallen, und zwar die zwei äussersten (die oberste und unterste) aus Erz, die dritte (im Ganzen mittelste) aus Gold, die zwei mittleren, d. h. die in der Mitte befindliche goldene zunächst einschliessenden, aus Zinn. Die goldene scheint besonders fest und undurchdringlich gewesen zu sein.

483. *ἐν μὲν γαῖαν ἔτευξε.* Hier beginnt die bis 608 gehende Beschreibung der einzelnen über den Schild vertheilten Bildwerke, vielleicht ursprünglich nur eine Ausführung der vorhergegangenen allgemeinen Andeutungen *πάντοσε δαιδάλλων* 479 und *δαίδαλα πολλὰ* 482, aber in solcher Anschaulichkeit und lebendiger Wahrheit, dass man allen Grund hat anzunehmen, der Dichter habe schon ähnliche Kunstwerke in der Wirklichkeit gesehen und das Gesehene nur in's Schönere ausgemalt. Am passendsten wird man sich aber diese Bilder vertheilt denken, wenn man

18 ἠέλιόν τ᾽ ἀκάμαντα σελήνην τε πλήθουσαν,
485 ἐν δὲ τὰ τείρεα πάντα, τά τ᾽ οὐρανὸς ἐστεφάνωται,
Πληιάδας θ᾽ Ὑάδας τε τό τε σθένος Ὠρίωνος
ἄρκτον θ᾽, ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ᾽ αὐτοῦ στρέφεται καί τ᾽ Ὠρίωνα δοκεύει,
οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
490 ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
καλάς. ἐν τῇ μέν ῥα γάμοι τ᾽ ἔσαν εἰλαπίναι τε,
νύμφας δ᾽ ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων

nach der sinnreichen Vermuthung von Welcker — genauer ausgeführt und im Einzelnen bestimmt von Pet. Jos. Clemens de Homeri clipeo Achilleo. Bonn. 1844, vgl. Overbeck Geschichte der griech. Plastik S. 49 — annimmt, die über einander gelegten runden und concentrischen Platten des Schildes seien nicht alle gleich gross gewesen, so dass sie einander gedeckt hätten, sondern haben nach der Mitte zu abgenommen, so dass die unterste die grösste, die oberste die kleinste an Umfang war. So war nur diese die Mitte des Schildes, gleichsam den Kern bildende oberste Lage ganz von den auf ihr enthaltenen Bildern ausgefüllt, von den übrigen nur die vorstehenden, bei jeder Schicht schmäler werdenden Ränder oder Ringe, welche — mit Ausnahme der äussersten — um die Bildwerke zu scheiden, in verschiedene Felder eingetheilt waren. Die oberste Platte (die mittlere Rundung) enthielt gleichsam ein Bild des Weltalls, die Erde in einem Umrisse mit dem Meere (*θάλασσα* als Gegensatz von *γαῖα* und *οὐρανός*) in der untern Hälfte des Kreises, darüber den Himmel mit den bekannten Sternbildern und zu beiden Seiten die Sonne (als Strahlenrund) und den vollen Mond.

485. *τὰ τείρεα πάντα*, jene (die bekannten) Zeichen alle. Dieselbe deiktische Kraft hat der Artikel im folgenden *τό τε σθένος Ὠρίωνος*. — *τά τε – ἐστεφάνωται* = Hesiod. Theogon. 382. — *Ὑάδες*, die *suculae* der alten Römer (ein Rudel junger Wildschweine); vgl. überhaupt zu Od. *ε*, 272 – 275.

488. *Ὠρίωνα δοκεύει.* Die beiden Gestirne sind nämlich einander zugewandt, daher auch Manilius sagt: *Arctos et Orion adversis frontibus ibant* (Astronom. I. 502).

490 – 540. *ἐν δὲ δύω ποίησε κτέ.* Bilder des zweiten Streifens, enthaltend eine Stadt im Frieden (bis 508) und eine im Kriege (509 – 540). Zu jedem Bilde scheinen drei Gruppen gehört zu haben, und zwar zum ersten: Ein Hochzeitzug nebst einer Andeutung des Hochzeitmahles (*εἰλαπίναι* 491); ein Rechtsstreit vor versammeltem Volke, und ein Urtheilsspruch; zum zweiten: Eine von feindlichem Heere belagerte Stadt; ein Hinterhalt, den die Belagerten den Belagerern gelegt mit ausgestellten Kundschaftern, und eine Schlacht beider Heere. — *ἐν τῇ μέν* Gegensatz von *τὴν δ᾽ ἑτέρην* 509. Die Plurale *γάμοι*, *εἰλαπίναι*, *νύμφας*, *θαλάμων* (Jungfrauengemach) bezeichnen als Gattungsbegriff das oft Vorkommende, wenn auch jedes nur einfach abgebildet war; ebenso brauchten die zuschauenden Weiber (495) nur durch Eine Figur angedeutet zu sein.

ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει· 18
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες 495
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
ὠρώρει, δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
ἀνδρὸς ἀποφθιμένου. ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι,
δήμῳ πιφαύσκων, ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι· 500
ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι.
λαοὶ δ' ἀμφοτέρωθεν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
κήρυκες δ' ἄρα λαὸν ἐρήτυον. οἱ δὲ γέροντες
εἵατ' ἐπὶ ξεστοῖσι λίθοις ἱερῷ ἐνὶ κύκλῳ,
σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων· 505

493. ἠγίνεον ist dreisilbig zu lesen wie ο, 21 ἠλάστεον. — πολὺς – ὀρώρει = Hesiod. Scut. 274. πολύς, laut, stark. Ueber den Hochzeitreigen u. s. w. vgl. zu Od. ζ, 28 οἵ κέ σ' ἄγωνται.

495. αὐλοὶ φόρμιγγές τε, vgl. zu κ, 13 αὐλῶν συρίγγων τ' ἐνοπήν.

496. θαύμαζον, Schol. ἐθεῶντο, sahen mit Staunen zu. — ἐνὶ προθύροισιν, Paraphr. ἔμπροσθεν τῶν θυρῶν.

498. ἐνείκεον εἵνεκα ποινῆς, nicht ob der Beklagte den Mord wirklich begangen (er war dessen geständig), sondern ob er die gesetzliche Blutsühne schon bezahlt habe. — ἀποφθιμένου = ἀποκταμένου.

499. εὔχετο, er versicherte feierlich, betheuerte. — πάντα, Alles, d. h. so viel immer der Andere zu fordern berechtigt sei.

500. δήμῳ, dem Volke, namentlich dem ihm günstigen Theile desselben.

501. ἄμφω δ' ἱέσθην κτέ., beide verlangten bei einem Zeugen, d. h. es auf den Ausspruch eines Zeugen ankommen lassend oder durch Stellung eines Zeugen (vgl. ψ, 486) das Ziel zu gewinnen, d. h. im Rechtsstreit zu siegen. Gerade dadurch ab[illegible], dass beide den Zeugenbeweis leisten wollten, wurde die Entscheidung so schwierig; daher sich das Volk in seiner Zustimmung theilte.

502f. ἀμφοτέρωθεν, indem sich das Volk zu beiden Seiten je um seinen Schützling gruppirte. — γέροντες, die Richter.

504. ἱερῷ ἐνὶ κύκλῳ. Denn der Platz der Volksversammlung und des Gerichts ist dem Zeus und der Themis heilig, vgl. Od. β, 68f.

505. σκῆπτρα – ἔχον, d. h. sie (die Richter) hatten, wenn sie nun jeder sein Urtheil aussprechen sollten, den Heroldstab in der Hand, (vgl. ψ, 567 und zu Od. β, 37) und mit diesem (τοῖσιν = σὺν τοῖσιν, τοῖς σκήπτροις = ταῦτα ἔχοντες) erhoben sie sich rasch, schnell einer nach dem andern (ἤισσον wie sonst ἀνήισσον) und thaten wechselnd ihren Ausspruch (wie es mit den zwei Streitenden zu halten sei). In letzter Instanz entschied dann das Volk, ob einer und welcher dieser Aussprüche anzunehmen sei.

18 τοῖσιν ἔπειτ' ἤισσον, ἀμοιβηδὶς δὲ δίκαζον.
κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα,
τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.
τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν
510 τεύχεσι λαμπόμενοι. δίχα δέ σφισιν ἥνδανε βουλή,
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι,
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργοι.
οἱ δ' οὔ πω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.

507 f. *ἐν μέσσοισι* erg. *τοῖς δικασταῖς*. — *κεῖτο, praemium propositum erat.* — *τῷ*, demjenigen aus den Richtern. — *δίκην - εἴποι* = *δικάσειε*. Auf die Richter weist entschieden der Ausdruck *ἰθύντατα* (auch der Superlativ), und *δίκην εἰπεῖν* vom Spruche des Richters findet sich auch bei Apollonius Rhod. *δ*, 1201 *ὡς τὰ πρῶτα δίκης ἀνὰ πείρατ' ἔειπεν ἰθείης*. Für die geschickte Lösung der schwierigen Frage, welche durch gewöhnliche Handhabung der Rechtspflege nicht entschieden werden konnte, war ein ausserordentlicher, ohne Zweifel vom Volke selbst zuzusprechender Preis ausgesetzt, zwei Talente, woran vielleicht jeder der Streitenden Eines beitragen musste. Das Goldtalent bei Homer wird übrigens auf nur zwei attische Drachmen geschätzt; vgl. zu *ι*, 122.

509. *τὴν δ' ἑτέρην πόλιν*. Gegenstück des vorigen Bildes, wobei die zwei Heere (das der Belagerer und das der Belagerten) nur mit Rücksicht auf den Gesammtinhalt des ganzen Bildes gleich von Anfang an genannt werden; wirklich sichtbar werden sie einander gegenüber erst in der dritten Gruppe, während vorher nur abwechselnd das eine oder andere auf der Scene erscheint; doch mag vielleicht schon in der ersten Gruppe das eingeschlossene Heer der Belagerten irgendwie angedeutet gewesen sein.

510. *δίχα δέ σφισιν ἥνδανε βουλή κτέ.* (vgl. Od. *γ*, 150) ist nach der Natur der Sache auf die Belagerer (die auch im vorigen Verse vorzüglich gemeint sind) zu beziehen: Getheilt (zwiefach) war ihr Rathschlag (Plan), entweder die Stadt zu zerstören oder Alles (das ganze bewegliche Eigenthum der belagerten Städter) zur Hälfte zu theilen (zwischen sich und jenen), und demgemäss eröffneten sie den Belagerten die Wahl zwischem dem einen und andern. Es war, wie es scheint, ein alter Kriegsbrauch, auf diese Art durch freiwillige Abtretung des halben Eigenthums den Abzug eines belagernden Heeres zu erkaufen, wie auch Hektor *χ*, 117–120 den Gedanken, auf diesem Wege die Feindseligkeiten zwischen den Achäern und seinem Volke beizulegen, bei sich überlegt.

513. *οἱ δ' οὔ πω πείθοντο*, jene aber (die Städter) willfahrten noch nicht, ergaben sich nicht unter Annahme der vorgeschlagenen Gütertheilung, sondern rüsteten sich zu einem Hinterhalte (*λόχῳ* = *εἰς λόχον*), den sie den Belagerern legen wollten, um ihnen die bisher gemachte Beute (Viehheerden) wieder abzunehmen. Während sie also die Stadt den Weibern, Minderjährigen und Greisen zur Vertheidigung überliessen (vgl. *θ*, 517–522), zogen sie selbst aus (516 *οἱ δ' ἴσαν*) und legten sich in den Hinterhalt am Flusse, wo die Feinde ihre Heerden tränken mussten (521 f. *ἐν ποταμῷ – χαλ-*

τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα 18
ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας· 515
οἱ δ' ἴσαν. ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν ὥς τε θεώ περ,
ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.
οἱ δ' ὅτε δή ῥ' ἵκανον ὅθι σφίσιν εἶκε λοχῆσαι, 520
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
ἔνθ' ἄρα τοί γ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῷ.
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες 525
τερπόμενοι σύριγξι· δόλον δ' οὔ τι προνόησαν.
οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλά
ἀργεννέων οἰῶν, κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας·
οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν 530
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων

κῷ).

515. ἐφεσταότες. Das **Masculinum**, weil durch beide vorhergehende Nomina (ἄλοχοι, τέκνα) **Personen** bezeichnet werden.

517. ἕσθην für εἵσθην = εἱμένοι ἦσαν.

518. σὺν τεύχεσιν. Auch die Waffen waren schön und ausgezeichnet, wie es Göttern ziemte.

519. ὑπολίζονες, etwas kleiner, also auch nicht so deutlich und bestimmt ausgeprägt (ἧττον ἀρίζηλοι). Das zu allgemein verkleinernde ὀλίζονες soll durch ὑπό etwas gemildert werden.

520. εἶκε nach Bekker von εἴκειν weichen, auch = ἐνδέχεσθαι, προχωρεῖν (gelegen sein, gut angehen).

523. τοῖσι δ' – εἵατο. Die im Hinterhalte Liegenden stellten zwei Späher aus in einiger Entfernung von ihrem Standorte (ἀπάνευθε λαῶν), welche das Herannahen der Heerden erspähen und ihnen melden sollten.

525. οἱ δέ, d. i. die βοῦς mit den μήλοις.

526. τερπόμενοι – προνόησαν. Im Blasen ihrer Schalmeien vertieft, merkten die Hirten nichts vom Hinterhalt, bis sie davon überfallen und umzingelt waren.

528. τάμνοντ' ἀμφὶ, vgl. zu Od. λ, 402 βοῦς περιταμνόμενον ἠδ' οἰῶν πώεα καλά: **sie schnitten durch Umzingelung ab.**

529. μελοβοτῆρας, wie vorher 525 νομῆες, Hirten überhaupt.

530. οἱ δέ, im Gegensatz von 527 οἱ μέν: die Feinde, welche noch überlegten, wie sie der Hartnäckigkeit der Belagerten beikommen könnten.

531. εἰράων (Schol. τῶν βουλευτηρίων oder ἀγορῶν) προπάροιθε, vor dem **Versammlungs-**

18 βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.
535 ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ κήρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.
ὡμίλευν δ' ὥς τε ζωοὶ βροτοὶ ἠδ' ἐμάχοντο,
540 νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνηῶτας.
ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν,
εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
545 τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου
δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,

platze, dem Sammelplatze des Volkes im Lager, o. Z. im Vordergrunde desselben. Vgl. λ, 807 ἵνα σφ' ἀγορή τε θέμις τε ἤην. Der Plural εἰράων scheint für den Singular zu stehen, wie auch ἀγοραί, vgl. zu Od. θ, 16.

532. ἵκοντο, die in Einen Moment zusammengefasste Wirkung von μετεκίαθον, welches eine Dauer, das fortwährende Nacheilen (vgl. λ, 635 νεμέθοντο) bezeichnet.

533f. στησάμενοι – ἐγχείῃσιν, vgl. zu Od. ι, 54f.

535–538. ἐν δ' ἔρις – φωτῶν = Hesiod. Scut. Herc. 156–159, nur mit dem Verbum ἐθύνεον. Vgl. zu ε, 593 ἡ μὲν ἔχουσα κυδοιμόν.

536. ἔχουσα, welche in ihrer Gewalt hatte, sich bemächtigt hatte. Der folgende Accusativ ἄλλον ἄουτον (δ, 540 ἀνούτατος) hängt auch von ἔχουσα ab, aber nur durch ein Zeugma, = ἐῶσα, indem sie ihn einstweilen noch verschonte und für ein anderes Mal aufsparte. — ἕλκε für ἕλκουσα, veränderte Construction.

538. ἔχε erg. κήρ. — δαφοινεόν, Schol. φόνου πλῆρες, σφόδρα φοινικόν.

539. ὡμίλευν, nämlich die Bilder alle in dieser Gruppe.

541–572. ἐν δ' ἐτίθει. Drittes Bild wieder in drei Gruppen, enthaltend Vorstellungen aus dem Landleben — Pflügen, Ernte mit Schnittern und Weinlese —, welche die drei Jahreszeiten, Frühling, Sommer und Herbst, repräsentiren. — Zu νειὸν und τρίπολον vgl. κ, 353 und Od. ε, 127.

543. ἐλάστρεον Frequentativform von ἤλαυνον. — ἔνθα καὶ ἔνθα, hinauf und hinunter, vorwärts und rückwärts; denn es waren mehrere Pflüge.

544. ὁπότε στρέψαντες ἱκοίατο τ. ἀ., so oft sie, gewendet (nachdem sie am hintern Ende des Ackers den Pflug umgewandt hatten), an die (vordere) Grenze (den Ausgangspunct) gekommen waren.

546. ἐπιών, an sie herangehend, sich ihnen nähernd, um sie gleich-

ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι. 18
ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει
χρυσείη περ ἐοῦσα· τὸ δὴ πέρι θαῦμα τέτυκτο.
ἐν δ' ἐτίθει τέμενος βαθυλήιον· ἔνθα δ' ἔριθοι 550
ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες.
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πῖπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθεν
παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες, 555
ἀσπερχὲς πάρεχον. βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες
δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πολλὰ πάλυνον. 560
ἐν δ' ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν
καλὴν χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν,
ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.

sam zu bewillkommen. — *στρέψασκον ἀν' ὄγμους*, sie wandten sich (wieder und nun in umgekehrter Richtung) durch die Furchen hin, den Furchen entlang, also feldeinwärts.

547. *ἱέμενοι – ἱκέσθαι*, d. h. um bald wieder des ihnen winkenden Trunkes theilhaftig zu werden.

548. *ἡ δὲ* (*ἄρουρα*) *μελαίνετ' ὄπισθεν*, der Grund des gepflügten Ackers färbte sich schwarz oder wurde dunkel hinter dem Pfluge her. Ein Merkmal der täuschenden Nachahmung der Natur.

549. *χρυσείη – ἐοῦσα*, weil die Schicht dieses Bildes ganz aus Gold war; daher ist auch der Weingarten 561f. von Gold. — Zu *πέρι θαῦμα τέτυκτο* vgl. Od. *θ*, 281 *πέρι γὰρ δολόεντα τέτυκτο* und ebendas. *γ*, 95.

550. *τέμενος*. Das einem König (556 *βασιλεύς*) angewiesene Landstück war voraus geeignet, als Muster eines schönen Saatfeldes abgebildet zu werden.

552. *δράγματα δ' ἄλλα κτέ.*, vgl. zu Il. *λ*, 68 f. Der *ἔριθοι* sind dreierlei, Schnitter, Garbenbinder und Knaben, welche das Geschnittene aufheben und den Bindern eifrig darreichen. — *μετ' ὄγμον*, der Reihe nach, in Schwade gereiht.

557. *ἐπ' ὄγμου*, am Schwad, d. h. je auf dem Puncte, wo sich gerade die Schnitter befanden.

559. *αἱ δὲ γυναῖκες*. Die Weiber thun noch das Letzte, um das Mahl zum Genusse fertig zu machen (vgl. zu Od. *ξ*, 77): sie streuen reichlich Mehl auf das Fleisch, zum Mahl für die Arbeiter. — Ueber *δεῖπνον* (hier Appositionsaccusativ der zu *γ*, 50 f. erklärten Art) vgl. zu *λ*, 86.

562. *ἀνά*, durch den Weingarten hin, an den Reben. Ebenso sind beim folgenden *ἑστήκει* eigentlich die Reben als Subject zu denken.

563. *κάμαξι*, vgl. Plin. Hist. nat. 17, 24, 36 *Viti adminicula addenda, quae scandat apprehensa, si*

18 ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσεν
565 κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτήν,
τῇ νίσσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες
πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
570 ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδεν
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ἁμαρτῇ
μολπῇ τ' ἰυγμῷ τε ποσὶ σκαίροντες ἕποντο.
ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων.
αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε,
575 μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε

maiora sint.

564. *ἀμφὶ — περὶ* gehören beide zu *ἔλασσεν*, vgl. zu *ρ*, 4. 6 und *μ*, 5 *ἀμφὶ δὲ τάφρον ἤλασαν.* — Bemerkenswerth ist Stoff und Farbe des Grabens (*κυανέην*), da in der übersichtlichen Angabe der Metalle 474f. der Blaustahl (*κύανος*) nicht genannt ist.

565. *ἐπ' αὐτήν*, über denselben (den Weinberg) hin, durch denselben. Die Träger wandeln wie bei uns auf einem einzigen schmalen Pfade, während die übrigen Weinleser durch die Reben zerstreut sind.

567. *ἀταλὰ φρονέοντες*, vgl. *ζ*, 400 *ἀταλάφρων.*

570. *λίνον*, eigentlich ein Klagegesang (*αἴλινος* aus dem semitischen אי לנו, wehe uns) um einen frühverstorbenen Jüngling (vgl. Herodot. 2, 79. Pausan. 9, 29, 6–9), worunter ursprünglich die scheidende schöne Jahreszeit scheint verstanden gewesen zu sein; dann auch bei freudigen Anlässen und Volksfesten gesungen.

571. *τοὶ δέ*, die andern Jünglinge und Mädchen. — *ῥήσσοντες ἁμαρτῇ* erg. *τὸ πέδον, simul terram pulsantes.* Sie folgen dem Liede, indem sie in tactmässigem Tritte sich tanzend fortbewegen. Vgl. Apollon. Rhod. 1, 536–539 *ὥστ' ἠΐθεοι — φόρμιγγος ὕπαι περὶ βωμὸν ὁμαρτῇ ἐμμελέως κραιπνοῖσι πέδον ῥήσσωσι πόδεσσιν.*

572. *μολπῇ τ' ἰυγμῷ τε — ἕποντο*, sie folgten ihm, begleiteten ihn mit dem tanzenden Schritt und Gejauchz (Gejodel), womit sie wohl einzelne von dem Vorsänger angegebene Töne mit lang aushaltender Stimme als Refrain wiederholten.

573–606. Vierte Bilderreihe, grösstentheils aus dem Gebiete des Hirtenlebens genommen, und zwar erstens von einer Rinderheerde, zweitens von einer Schafheerde. Das Bild der erstern bietet zwei Gruppen, die Heerde, wie sie zahlreich unter vier Hirten und mit neun Hunden auf die Weide zieht; und den Ueberfall derselben durch zwei Löwen, wobei ein Stier zerfleischt wird. — *χρυσοῖο — κασσιτέρου τε.* Ein Theil aus Gold, andere aus Zinn — braune (röthliche) und weisse.

575. *μυκηθμῷ*, wodurch sich ihre Lust, aus dem Stalle ins Freie zu kommen, zu erkennen giebt; dieselbe drückt sich auch in allen ihren Bewegungen aus. — *ἀπὸ κόπρου*, vgl. Od. *κ*, 411 *ἐλθούσας ἐς κό-*

πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα. 18
χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσιν
τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσιν
ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ μακρὰ μεμυκὼς 580
ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί.
τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην
ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες.
οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων, 585
ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον ἔκ τ' ἀλέοντο.
ἐν δὲ νομὸν ποίησε περικλυτὸς ἀμφιγυήεις,
ἐν καλῇ βήσσῃ, μέγαν οἰῶν ἀργεννάων,
σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς.
ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις, 590

προν, ἐπὴν βοτάνης κορέσωνται.

576. *πὰρ ποταμὸν – παρὰ δονακῆα.* Gewissermassen ein *ἓν διὰ δυοῖν*, indem die erste allgemeinere Ortsangabe durch die zweite näher bestimmt wird, s. v. a. neben dem schwanken Röhricht des rauschenden Flusses hin, vgl. ξ, 154 *ἐξ Οὐλύμποιο ἀπὸ ῥίου.*

579. *ἐν πρώτῃσι βόεσσιν.* Da man aus dem Folgenden sieht, dass die Hirten dem Stiere zu Hülfe kommen (*μετεκίαθον*), so muss man sich diese *πρῶται βόες* wohl auf der rechten Seite der Gruppe, die Hirten und die übrige Heerde aber in der Mitte und auf der linken Seite derselben denken.

580. *ἐρύγμηλος* zunächst von *ἐρυγμός* (*ἐρυγεῖν*), das Gebrüll.

581 ff. *ἕλκετο*, von den Löwen. — *βοείην* = ρ, 389. — Zu *λαφύσσετον* vgl. κ, 364 *διώκετον.*

584. *αὔτως*, sonst, nichts weiter als, lediglich; denn sie fürchteten sich, selbst hinter die Löwen zu gehen.

585. *δακέειν μὲν ἀπετρωπῶντο λεόντων.* Eine, wenn auch grammatisch etwas harte, doch für die lebendige Anschauung sehr bezeichnende Verbindung: zu beissen zwar (zum Beissen), d. h. wenn es an's Beissen ging oder wenn sie hätten anbeissen sollen, wandten sie sich (jedes Mal) weg von den Löwen, indem sie, wenn sie ihnen näher kamen, zurückschraken.

586. *ὑλάκτεον ἔκ τ' ἀλέοντο.* Durch das letzte Verbum wird der Begriff von *ἀπετρωπῶντο* noch einmal wiederholt: sie bellten und wichen zugleich aus, *ὑλάκτεον καί περ ἐξαλεόμενοι.*

587 f. *νομὸν – μέγαν.* Auch diesem Theile muss eine den vorigen Gruppen entsprechende Ausdehnung beigemessen werden.

589. *σταθμούς – σηκούς*, diese zur Rechten oder Linken im Hintergrunde der Heerde selbst. — *σταθμοί* sind wohl ganze Gehöfte, als Aufenthalt für Hirten und Heerden, *κλισίαι* Hütten für die Hirten (daher *κατηρεφέες*), *σηκοί* unbedeckte Gehege für die Heerden.

590–606. *ἐν δὲ χορὸν ποίκιλλε.* Ein Reigen- oder Tanzplatz (*χορός*,

18 τῷ ἴκελον οἷόν ποτ' ἐνὶ Κνωσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.
595 τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
εἵατ' ἐννήτους, ἦκα στίλβοντας ἐλαίῳ·
καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας

vgl. Od. ϑ, 260. μ, 4.318) mit Jünglingen und Jungfrauen, die künstliche (verschlungene) Tänze aufführen. Nach der ganzen Oekonomie des Schildes und der Bildergruppen müsste dieses Bild zur vierten Reihe (573–589) mit Vorstellungen aus dem Hirtenleben gehören, zu welchem aber der Gegenstand sich ganz fremdartig verhält: während auf der andern Seite Tanzende auch schon 494 und 571 f. aufgeführt sind. Zudem sind bei allen Tänzen, die sonst bei Homer erwähnt werden, die tanzenden Personen alle von Einem Geschlecht, nicht wie hier von beiden Geschlechtern gemischt. Endlich wird durch das hier 590 gebrauchte Verbum ποίκιλλε die Symmetrie der übrigen Darstellung auch in so fern gestört, als sonst immer in der Beschreibung der Bilder jeder Abtheilung auch bei verschiedenen Gruppen von der Arbeit des Hephästos nur Ein und dasselbe Verbum gebraucht ist, nämlich 483 ἔτευξε von der Mittelrundung; 490 ποίησε vom ersten Ringe; 541, 550 und 561 ἐτίθει von den Bildern des zweiten Ringes, 573 und 587 von den folgenden dritten wieder ποίησε, endlich 607 wieder ἐτίθει vom äussersten Ringe. Darum dürfte wohl dieser Theil des Bildwerkes mit Clemens als eine spätere Erweiterung zu betrachten sein. Ueber einen andern untergeordneten Grund zu dieser Annahme vgl. zu 597.

591. τῷ ἴκελον κτέ. Durch Verweisung auf das den Hörern bekanntere, von vielen gesehene Werk des Dädalos (des **Künstlers**) soll das von Niemanden gesehene Werk des Hephästos anschaulich gemacht werden. Uebrigens scheint diese Sage vom Tanzplatz der Ariadne (Pausanias 9, 40, 3 sah ihn bei den Knossiern in weissem Stein abgebildet) eine Variation der Sage vom Labyrinth, dessen Homer nirgends erwähnt.

593. ἔνθα, auf diesem Reigenplatze. — ἀλφεσίβοιαι, d. i. βόας εἰς τιμὴν εὑρίσκουσαι.

594. ἀλλήλων – ἔχοντες, d. h. doch wohl: alle Jünglinge auf der einen, alle Mädchen auf der andern Seite; vgl. übrigens Hymn. in Apoll. 194–199.

596. εἵατο = εἱμένοι ἦσαν von ἕννυμι. — ἦκα στίλβοντας ἐλαίῳ, vgl. Od. γ, 408 λευκοὶ ἀποστίλβοντες ἀλείφατος (ξεστοὶ λίθοι). Vielleicht wurde der Faden dieser Gewebe wirklich bei der Zubereitung mit Oel besprengt, um ihm einen Glanz zu geben: welche Vermuthung Povelsen auch auf Od. η, 107 anwendet.

597. στεφάνας, vgl. Od. β, 120 ἐυστέφανος Μυκήνη. Der Gebrauch der μάχαιραι beim Tanze scheint ein späterer, speciell kretischer (über den homerischen Gebrauch von μάχαιρα vgl. zu γ, 271). Daher wurden diese zwei Verse schon von Aristophanes und Aristarchos verworfen.

εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων. 598
οἱ δ' ὁτὲ μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσιν
ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν 600
ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν·
ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισιν.
πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος
τερπόμενοι· μετὰ δέ σφιν ἐμέλπετο θεῖος ἀοιδός
φορμίζων· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτούς 605
μολπῆς ἐξάρχοντος ἐδίνευον κατὰ μέσσους.
ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο
ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,
τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς, 610
τεῦξε δέ οἱ κόρυθα βριαρήν, κροτάφοις ἀραρυῖαν,
καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκεν,
τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς ἀμφιγυήεις,
μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας. 615
ἡ δ' ἴρηξ ὣς ἆλτο κατ' Οὐλύμπου νιφόεντος,
τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα.

599. ὁτὲ μὲν θρέξασκον bezeichnet, wie die folgende Vergleichung ὡς ὅτε – θέῃσιν zeigt, den Rundtanz, dagegen 602 θρέξασκον ἐπὶ στίχας den Reihentanz: sie hüpften gereiht, in Reihen gegen einander, vgl. zu β, 687.

601. πειρήσεται – θέῃσιν, wobei er ihr die grösste Schnelligkeit zumuthet, deren sie überhaupt fähig ist. — πειρᾶσθαι hier mit dem Accusativ eines Substantivs, Od. δ, 119 = ω, 238 nur mit dem eines Pron. adi. neutr.

604. μετὰ δέ σφιν, d. h. innerhalb des Chors sitzt oder steht der Kitharspieler. Eben da befanden sich die κυβιστητῆρες, eine Art Gaukler, die besonders in Kreta einheimisch waren und ihre Geberden und Bewegungen ohne Zweifel nach der Musik (und dem Gesange) einrichteten. Die Worte μετὰ – φορμίζων sind aus Athenäus hier wieder aufgenommen, da sie Aristarchos in die Odyssee δ, 18 verwiesen hatte. Vgl. zu Od. δ, 17–19 und als Gegenstück zu unserer Stelle Hymn. in Apoll. 200f.

608. ἄντυγα πὰρ πυμάτην, zuäusserst, zunächst am Rande, vgl. zu ζ, 118.

613. ἑανοῦ κασσιτέροιο, vgl. zu γ, 385.

Τ.

19 ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν·
ἡ δ' ἐς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.
εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν
5 κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
μύρονθ'. ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
„τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
10 τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
καλὰ μάλ', οἷ' οὔ πώ τις ἀνὴρ ὤμοισι φόρησεν."
ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκεν
πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
15 ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν. αὐτὰρ Ἀχιλλεύς

Die vier nun folgenden Bücher können zusammen als der Gesang von Achill's Aussöhnung und Rache bezeichnet werden. Das neunzehnte insbesondere enthält den unentbehrlichen Uebergang von den Zurüstungen der frühern und namentlich des achtzehnten zu den nachher geschilderten Kämpfen des Achilleus, auf welche der Hörer schon lange gespannt ist. Es fehlt auch nicht an zahlreichen Zurückweisungen auf die frühern Gesänge, nicht nur in Betreff der bekannten Hauptsage, sondern auch in speciellern und weniger wesentlichen Puncten, in denen eine gewisse Absichtlichkeit zu erkennen ist, vgl. 47–53. Mag daher auch dieser Gesang zum Theil spätern Ursprunges sein, so ist ihm doch seine Stellung zu den übrigen Büchern vom Ordner des Ganzen planmässig angewiesen worden. Eigenthümliche und für die Erklärung schwierige Ausdrücke sind κλοτοπεύειν 149 und ἄκμηνος 163.

3. ἐς νῆας, d. h. in den Ring oder Halbkreis der Schiffe, vgl. 42 νεῶν ἐν ἀγῶνι.

4. Πατρόκλῳ περικείμενον, vgl. 284 ἀμφ' αὐτῷ χυμένη.

6. ἐν τοῖσι παρίστατο erg. αὐτῷ, sie trat in ihrer Mitte, vor ihnen zu ihm hin, an seine Seite, vgl. σ, 70.

9. ἐπεὶ δὴ πρῶτα, vgl. α, 235.

13. τὰ δὲ geht nicht auf τεύχεα im vorigen Verse, sondern ist Vorläufer zu δαίδαλα πάντα: da erklirrten alle die Wundergebilde.

14. πάντας ἕλε τρόμος, nicht über die Erscheinung der Thetis, noch eigentlich den blossen Anblick der Waffen, sondern mehr vor dem Geklirr derselben, das ihrem göttlichen Ursprung entsprechend war.

ὡς εἶδ᾽, ὥς μιν μᾶλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε 19
δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν·
τέρπετο δ᾽ ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο δαίδαλα λεύσσων,
αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα. 20
„μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ᾽ ἐπιεικές
ἔργ᾽ ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ᾽ ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ᾽ αἰνῶς
δείδω μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱόν
μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς 25
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν —
ἐκ δ᾽ αἰὼν πέφαται —, κατὰ δὲ χρόα πάντα σαπήῃ."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα
„τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα, 30
μυίας, αἵ ῥά τε φῶτας ἀρηιφάτους κατέδουσιν·
ἤν περ γὰρ κῆταί γε τελεσφόρον εἰς ἐνιαυτόν,
αἰεὶ τῷδ᾽ ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.

16f. *ὡς εἶδ᾽, ὥς μιν μᾶλλον ἔδυ χόλος.* Der Anblick der Waffen entzündete in ihm immer mehr die Kampflust, also auch den Zorn (*χόλος*) über die Troianer (Hektor), die den Patroklos getödtet hatten. — *ἐν δέ οἱ. ἐν* ist mehr Adverbium, als Präposition, so dass *οἱ* zu *ἐξεφάανθεν* zu ziehen ist; natürlicher ist es Od. *κ*, 247 *ἐν δέ οἱ ὄσσε δακρυόφιν πίμπλαντο.*

18. *ἐν χείρεσσιν ἔχων*, vgl. Virg. Aen. 8, 619f. *Miraturque interque manus et brachia versat Terribilem cristis galeam flammasque vomentem* cet.

19. *τετάρπετο – λεύσσων*, vgl. Od. *υ*, 59 *κλαίουσα κορέσσατο ὃν κατὰ θυμόν* und Il. *ω*, 513.

22. *μηδὲ βροτὸν ἄνδρα τελέσσαι* ist auch von *ἐπιεικές* (*ἐστιν*) abhängig = *καὶ οἷα μὴ τελέσαι ἄνδρα βροτὸν ἐπιεικές ἐστιν.*

24. *τόφρα*, unterdessen, während ich in der Rüstung, also in der Schlacht abwesend bin.

25. *χαλκοτύπους*, Schol. *τὰς ὑπὸ τοῦ χαλκοῦ τετυπωμένας.*

26. *ἐγγείνωνται, ἐγγεννήσωσι*, vgl. Od. *υ*, 202 *ἐπὴν δὴ γείνεαι αὐτός.*

27. *ἐκ δ᾽ αἰὼν πέφαται.* Die ganz objective Bezeichnung des Leichnams (*νεκρόν*) presst dem Sprechenden den schmerzlichen Ausruf aus: Ach, dahin, entschwunden ist ja sein Leben. Daher kann auch der Leib sich auf keine Weise gegen die Maden schützen! — *κατὰ* gehört zu *σαπήῃ*, erg. *ὁ νεκρός.*

30. *τῷ*, d. i. *τούτῳ, τῷ νεκρῷ* (abhängig von *ἀλαλκεῖν*), vgl. 33 *τῷδε.*

32. *τελεσφόρον εἰς ἐνιαυτόν*, vgl. zu Od. *δ*, 86.

19 ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς,
35 μῆνιν ἀποειπὼν Ἀγαμέμνονι ποιμένι λαῶν,
αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν."
ὣς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκεν,
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
40 αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς
σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιούς.
καί ῥ' οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήια νηῶν
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες,
45 καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς,
ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·

34. ἥρωας Ἀχαιούς, d. h. das ganze Heer = 41.

35. μῆνιν ἀποειπών = 75 ἀπειπόντος. Daher die Ueberschrift des Buches μήνιδος ἀπόρρησις. Zur Verlängerung der zweiten Sylbe in ἀποειπών vor dem Digamma vgl. φ, 283 ἀποέρσῃ = 329.

38. ἀμβροσίην, vgl. zu Od. δ, 445.

39. στάξε κατὰ ῥινῶν, sie träufelte in oder durch die Nase hinab (in den Kopf oder das Gehirn). Der Dichter scheint sich eine Art von Einbalsamiren zu denken, wie es Herodotos 2, 86 als bei den Aegyptiern gebräuchlich beschreibt: πρῶτα μὲν σκολιῷ σιδήρῳ διὰ τῶν μυξωτήρων ἐξάγουσι τὸν ἐγκέφαλον, τὰ μὲν αὐτοῦ οὕτω ἐξάγοντες, τὰ δὲ ἐγχέοντες φάρμακα. — Nach diesem Acte kehrt Thetis natürlich in's Meer zurück, was zwar sonst gewöhnlich bemerkt wird, aber auch noch ω, 142 nicht besonders erwähnt ist.

41. σμερδαλέα ἰάχων. Zur Beschleunigung der Sache ruft Achilleus mit seiner gewaltigen Stimme das Heer selbst zusammen, was α, 54 kaum zu verstehen ist.

42. καί, und auch: wie sich aus 45 καὶ μὴν οἱ ergiebt.

43 f. οἵ τε κυβερνῆται — καὶ ταμίαι hängen beide mit dem Verbum ἔσαν zusammen, während καὶ ἔχον οἰήια νηῶν nur eine Nebenbestimmung des ersten Gliedes ist, wie wenn es hiesse ἔχοντες οἰήια νηῶν. Beide Glieder aber bilden Unterabtheilungen zu 42 οἵ περ — μένεσκον.

47. τὼ δὲ δύω σκάζοντε. Eigentlich war nur Diomedes in den Fuss verwundet (λ, 377 ταρσὸν δεξιτεροῖο ποδός), Odysseus dagegen in die Seite (λ, 437); σκάζοντε fasst beide Verwundungen unter Einen Begriff zusammen.

49. ἔτι γὰρ ἔχον ἕλκεα λ. Zwei Tage nachher nehmen beide als ganz hergestellt an den Leichenspielen Theil (ψ, 509 und 709), worauf das ἔτι unserer Stelle schon hinzuweisen scheint.

κὰδ δὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες. 19
αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων, 51
ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἀολλίσθησαν Ἀχαιοί,
τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς. 55
„Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
ἔπλετο, σοὶ καὶ ἐμοί, ὅτε νῶΐ περ ἀχνυμένω κῆρ
θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης;
τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
ἤματι τῷ ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας· 60
τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας
δυσμενέων ὑπὸ χερσίν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιούς
δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀίω.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ, 65
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ·

53. *οὖτα Κόων*, vgl. λ, 248 – 253, nach welcher Stelle Agamemnon in den Arm — möglicher Weise den linken — verwundet oder eigentlich derselbe durchstochen war; vgl. unten 252 – 266.

56f. *ἦ ἄρ τι τόδ' – ἄρειον ἔπλετο κτέ.* ist ein Fragsatz, der dem Sinne nach einer verneinenden Behauptung gleichkommt. Der Sinn ist nämlich: War es wohl in irgend einer Beziehung für uns beide besser, als wir – wegen des Mädchens kämpften, d. h. haben wir irgend etwas dadurch gewonnen? Schol. *ἆρά τι κρεῖσσον ἐκ τῆς ἔριδος ἐγένετο ἡμῖν; τόδε* kündigt als formelles Subject den folgenden Satz *ὅτε νῶΐ περ – μενεήναμεν* an.

59. *τὴν ὄφελ' – ἰῷ.* Aus dieser Verwünschung der Briseis darf man nicht schliessen, dass Achilleus gegen sie selbst erbittert sei; er will nur sagen, dass selbst ihr Tod für beide Kämpfende sowie für ihre Völker zuträglicher gewesen wäre, als ihr Besitz für den einen oder andern von ihnen. — *ἐν νήεσσι*, bei den Schiffen, d. h. sobald sie mit der übrigen Beute in unser Schiffslager gebracht wurde.

60. *Λυρνησσόν*, vgl. zu β, 690 – 692.

61. *τῷ*, dann, erg. *εἰ Ἄρτεμις αὐτὴν κατέκτα.*

62. *ἐμεῦ ἀπομηνίσαντος*, vgl. zu β, 772. Der Groll des Achilleus hätte dann, da es ihm an einer Veranlassung fehlte, gar nicht eintreten können.

63. *τὸ* (*τοῦτο*) *κέρδιον* erg. *ἦν, ἔπλετο.* Die Feinde konnten unsers Zwistes sich freuen; vgl. α, 255 – 258.

65f. *ἀλλὰ – ἀνάγκῃ* = σ, 112f., wo Achilleus beim Anblick von Patroklos' Leichnam zuerst die Nothwendigkeit, sich mit Agamemnon auszusöhnen, erkennt.

19 νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ' ἄγε θᾶσσον
ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιούς,
70 ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθών,
αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν. ἀλλά τιν' οἴω
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσιν
δηίου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο."
ὣς ἔφαθ', οἱ δ' ἐχάρησαν ἐυκνήμιδες Ἀχαιοί
75 μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
„ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἑσταότος μὲν καλὸν ἀκούειν, οὐδὲ ἔοικεν

67. *οὐδέ τι – χρή*, ich brauche nicht, *non est opus*, es frommt mir nicht, ich darf nicht. Vgl. π, 721 *τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή*.

71. *αἴ κ' ἐθέλωσ' – ἰαύειν*, ironisch fragend: ob sie noch ferner bei unsern Schiffen, in der Nähe der Schiffe, ihr Nachtlager halten wollen, dessen Polydamas σ, 259 in Bezug auf die frühere Zeit sich rühmte.

72f. *ἀσπασίως – ἐκ πολέμοιο*, vgl. zu η, 117f.

73. *ὑπ' ἔγχεος ἡμ.*, unter unserm Speere, von ihm gescheucht, vor demselben.

75. *ἀπειπόντος* fällt auf nach 35 *ἀποειπών*, doch vgl. α, 555 *παρείπῃ* mit kurzer Anfangssylbe, und zum Wechsel der Formen α, 182 *ἀφαιρεῖται* neben 230 *ἀποαιρεῖσθαι*.

77. *αὐτόθεν ἐξ ἕδρης κτέ.*, gerade vom Sitze aus, nicht in die Mitte tretend, vgl. Od. ν, 56 *αὐτόθεν ἐξ ἑδρέων*. Gleichwohl stand Agamemnon ohne Zweifel zum Sprechen auf, wie auch *ἑσταότος* 79 andeutet; aber er trat nicht in die Versammlung hervor, weil er seine Rede zunächst nur an Achilleus richten wollte (83). Es lässt sich auch kein Grund denken, warum Agamemnon sollte sitzen bleiben, da er nur am Arme verwundet war.

78. *ὦ φίλοι – Ἄρηος*. Agamemnon redet zuerst doch die ganze Versammlung an, weil ihm daran gelegen sein musste, sich ihrer Ruhe und Stille während seiner längern Rede zu versichern. Da nämlich die Achäer durch ihr zahlreiches Erscheinen (42 – 46) und die über seine Umstimmung geäusserte Freude (74f.) ihre fortwährende Anhänglichkeit an Achilleus deutlich genug ausgesprochen hatten, musste jener besorgen, er werde Vorwürfe wegen seines frühern Uebermuthes gegen Achilleus zu hören bekommen. Darum ermahnt er die Versammlung so vorsichtig und weit ausholend zum stillen Zuhören.

79f. *ἑσταότος – ἀκούειν*, einen Stehenden (d. h. der zum Reden in der Versammlung aufsteht, auftritt) ziemt es sich anzuhören, und es ist ungehörig ihm (zurechtweisend und erinnernd) in die Rede zu fallen (vgl. α, 292 *ὑποβλήδην*), wodurch Er am Sprechen, die andern am Hören und Verstehen gehindert

ὑββάλλειν· χαλεπὸν γάρ ἐπιστάμενόν περ ἐόντα. 19

ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι 81

ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.

Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι

σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.

πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον, 85

καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,

ἀλλὰ Ζεὺς καὶ μοῖρα καὶ ἠεροφοῖτις ἐρινύς,

οἵ τέ μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,

ἤματι τῷ ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.

ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ. 90

πρέσβα Διὸς θυγάτηρ ἄτη, ἣ πάντας ἀᾶται,

werden — (81 f.) *χαλεπὸν γάρ – ἐόντα* erg. *λέξαι*, *εἰπεῖν*, schwer (ja unmöglich) ist es, so auch als geübter Redner fortzusprechen. Denselben Gedanken als den ihm wesentlichen drückt 82 *βλάβεται – ἀγορητής* nochmals aus.

81 f. *πῶς κέν τις ἀκούσαι ἢ εἴποι;* d. h. ihr selbst könntet dabei eben so wenig etwas verstehen als ich mit einiger Genugthuung sprechen. *λιγὺς – ἀγορητής* = *β*, 246.

83. *Πηλείδῃ – ἐνδείξομαι*, gegen den Peliden will ich mich erklären, mich mit ihm aus einander setzen. Auch durch diese Wendung lehnt Agamemnon die Einmischung oder gar die letztinstanzliche Entscheidung des versammelten Heeres ab; sie sollen nur aufmerksam zuhören und Alles wohl beherzigen.

85 f. *πολλάκι δή – νεικείεσκον.* Durch dieses Geständniss begegnet Agamemnon allfälligen Vorwürfen der Achäer und nimmt ihnen die Spitze. — *τοῦτον – μῦθον* gleichsam: das was ihr mir jetzt sagen könntet und was nach der ganzen Sachlage gesagt werden kann, dass ich dem Achilleus Unrecht gethan (89). Vgl. *ι*, 109 – 111. *β*, 239 f. *ν*, 107 – 114. Das Verbum *νεικείεσκον* giebt also den Inhalt des *μῦθος* an.

87. *ἠεροφοῖτις ἐρινύς.* Auch Od. *ο*, 233 f. flösst die Erinys die *ἄτη* ein, als Strafgeist der vorhergegangenen *ὕβρις*, welche hier sich des Agamemnon im Verhältniss zu Achilleus bemächtigt hatte. Uebrigens sind *μοῖρα* und *ἐρινὺς* im Grunde nur Thätigkeiten und Eigenschaften des Zeus.

89. *Ἀχιλλῆος* muss von *ἀπηύρων* abhängig gemacht werden; vgl. Od. *σ*, 273 *τῆς τε Ζεὺς ὄλβον ἀπηύρα.*

90. *τί κεν ῥέξαιμι; quid facerem?* was sollte oder konnte ich thun? Ich musste Folge leisten. — *θεὸς* im Allgemeinen: die höhere, göttliche Macht. — *διὰ πάντα* eine distributive Verstärkung des Objectes zu *τελευτᾷ.* Vgl. zu Od. *δ*, 44 *θαύμαζον κατὰ δῶμα.*

91. *πρέσβα – ἄτη* erg. *ἐστί.* Damit wird eines der wirksamsten Werkzeuge der Gottheit für Bestrafung der menschlichen *ὕβρις* namhaft gemacht; über *πρέσβα* vgl. *ε*, 721 (des Zeus ehrwürdige Tochter). — *ἀᾶται* soll offenbar etymologisch den Begriff von *ἄτη* der Anschauung näher bringen.

19 οὐλομένη· τῇ μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει,
βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδησεν.
95 καὶ γάρ δή νύ ποτε Ζῆν' ἄσατο, τόν περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνῃς ἀπάτησεν,
ἤματι τῷ ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐυστεφάνῳ ἐνὶ Θήβῃ.
100 ἤτοι ὅ γ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσιν
,κέκλυτέ μευ, πάντες τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φόωσδε μογοστόκος εἰλείθυια
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,

92f. *τῇ μέν θ' ἁπαλοὶ πόδες*, zart (sanft in der Berührung) sind ihre Füsse: sofern ihre ersten Einwirkungen auf das Gemüth immer gefällig und einschmeichelnd sind und eben dadurch sie dasselbe bethören kann. In anderer Beziehung heisst sie *ι*, 505 *σθεναρή τε καὶ ἀρτίπος*. — Die folgende Begründung dieses Satzes: *οὐ γὰρ ἐπ' οὔδει κτέ.* klingt wie ein Spott auf die thörichten Sterblichen, dass sie sich die verderbliche *ἄτη* auf den Köpfen herumwandeln lassen. Der letzte Ausdruck hat aber auch den Sinn, dass die Ate (Verschuldung) immer auf das Haupt ihres Urhebers zurückfalle: darum *βλάπτουσ' ἀνθρώπους*. — *ἄρα ἥ γε* ein ungewöhnlicher Hiatus.

94. *κατὰ δ' οὖν – πέδησεν* soll das vorhergehende zu allgemeine und in einzelnen Fällen vielleicht nicht eintreffende Prädicat *βλάπτουσ' ἀνθρώπους* durch Einschränkung berichtigen: wenigstens den einen von beiden verstrickt oder umschlingt sie: mit Bezug auf zwei leidenschaftlich Streitende, weil sie gewöhnlich bei einem Streit ihre verblendende Gewalt am auffallendsten zu erkennen giebt, wie jetzt an Agamemnon gegen Achilleus. — Zu *ἕτερόν γε* in diesem Sinne vgl. *ε*, 258. 288.

95. *καὶ γὰρ – Ζῆν' ἄσατο* (erg. *ἄτη*) steigernd: denn sie hat sogar einst den Zeus bethört, in Schaden gebracht. Die folgende Erzählung bis 133 — wenn sie auch nebst den vorhergehenden Versen von 91 an einem ältern Gedichte entnommen sein sollte — ist für den Zweck des Sprechenden und den Zusammenhang wesentlich, indem sie durch den Nachweis, dass Zeus selbst einmal der Ate verfallen ist, trotz der Verschiedenheit des Falles am ehesten den Agamemnon entschuldigen kann.

96. *φασ' ἔμμεναι*, vgl. Virg. Aen. 1, 731 *Juppiter — hospitibus nam te dare iura loquuntur.*

97. *θῆλυς ἐοῦσα*, obwohl nur ein Weib, freilich unter den Göttern, aber dann auch im Verhältniss zu Zeus.

100. *εὐχόμενος*. Dieses Grosssprechen und der nachherige leichtsinnige Schwur (113) war des Zeus Verschuldung (*ἄτη*).

101. *κέκλυτέ – θέαιναι* = *θ*, 5.

103. *μογοστόκος εἰλείθυια*, vgl. zu *λ*, 270.

τῶν ἀνδρῶν γενεῆς οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσίν.' 19
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη 106
,ψευστήσεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις.
εἰ δ' ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικός 110
τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.'
ὣς ἔφατο· Ζεὺς δ' οὔ τι δολοφροσύνην ἐνόησεν,
ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιικόν, ἔνθ' ἄρα ἤδη 115
ἰφθίμην ἄλοχον Σθενέλου Περσηιάδαο.
ἡ δ' ἐκύει φίλον υἱόν, ὁ δ' ἕβδομος ἑστήκει μείς·
ἐκ δ' ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα,
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' εἰλειθυίας.

105. *τῶν ἀνδρῶν γενεῆς* erg. *ὄντα*, als nähere Bestimmung zu *ἄνδρα*. Der Genitiv *τῶν ἀνδρῶν* hängt von dem zweiten *γενεῆς* ab, vgl. zu Od. *β*, 206 *εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν*. — Das *θ'* (*τε*) in *οἵ θ' αἵματος* soll hauptsächlich zur Vermeidung des Hiatus dienen. — Die Wortfolge aber ist: *οἵ τε αἵματος ἐξ ἐμεῦ εἰσίν* (nicht *ἐξ ἐμοῦ αἵματος*), d. h. welche des Blutes von mir sind, zu dem Blute von mir her oder meinem Geblüte gehören, = *οἷς τὸ αἷμα ἐξ ἐμοῦ ἐστιν*. Ebenso 111 *οἳ σῆς – γενέθλης* = *οἳ ἐκ τῆς σῆς σπορᾶς τὸ αἷμα ἔχουσιν* (*οἳ αἵματός εἰσιν ἐκ σῆς γενέθλης*).

107. *ψευστήσεις*, du wirst zum Lügner werden, als Lügner erscheinen. Durch diese Zumuthung reizt Hera den Zeus zu seinem unbesonnenen Schwure. — *οὐδ' αὖτε*, und nicht hinwieder, und nicht auch. *αὖτε* bezeichnet gleichsam die Wechselbeziehung zwischen Vorhersagung und Erfüllung.

108. *εἰ δ' ἄγε*, deutlich s. v. a. *εἰ δὲ ἐθέλεις ἄγε κτέ.*, wenn du aber zeigen willst, dass es dir Ernst sei, dass du das Versprechen auch erfüllen wollest, wohlan u. s. w.; vgl. zu Od. *α*, 271, unten 142.

110. *πέσῃ μετὰ ποσσὶ γυναικός*. Eben so sagen die spätern lateinischen Dichter *de matre cadere* oder *matre cadere* für: geboren werden.

111. *οἳ σῆς ἐξ – γενέθλης*. Der Ausdruck scheint absichtlich unbestimmter als 105. Denn während Zeus seinen eigenen Sohn verstand, deutet ihn Hera auf den Urenkel (Zeus, Perseus, Sthenelos, Eurystheus).

114. *Ἥρη – Οὐλύμποιο* = *ξ*, 225.

115. *Ἄργος Ἀχαιικόν*, d. i. in den Peloponnes, vgl. zu *β*, 681. — Zu *ἤδη* erg. *ἐοῦσαν* oder bestimmter *κυοῦσαν* aus der Vervollständigung im folgenden Verse (117).

117. *ἑστήκει μείς* kann auf die Dauer des ganzen Monats, bis wieder ein anderer beginnt, bezogen werden.

118. *ἐκ δ' ἄγαγε πρὸ φόωσδε*, vgl. zu *π*, 188.

119. *σχέθε*. Vgl. Od. *ψ*, 243

119 αὐτὴ δ᾽ ἀγγελέουσα Δία Κρονίωνα προσηύδα
121 ,Ζεῦ πάτερ ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω.
ἤδη ἀνὴρ γέγον᾽ ἐσθλός, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεὺς Σθενέλοιο πάις Περσηιάδαο,
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.'
125 ὣς φάτο, τὸν δ᾽ ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν.
αὐτίκα δ᾽ εἷλ᾽ ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον
μή ποτ᾽ ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι ἄτην, ἣ πάντας ἀᾶται.
130 ὣς εἰπὼν ἔρριψεν ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
χειρὶ περιστρέψας· τάχα δ᾽ ἵκετο ἔργ᾽ ἀνθρώπων.
τὴν αἰεὶ στενάχεσχ᾽, ὅθ᾽ ἑὸν φίλον υἱὸν ὁρῷτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ᾽ Εὐρυσθῆος ἀέθλων.
ὣς καὶ ἐγών, ὅτε δ᾽ αὖτε μέγας κορυθαίολος Ἕκτωρ
135 Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν,

νύκτα μὲν – δολιχὴν σχέθεν, d. h. sie hielt dauernd zurück.

120. αὐτὴ δ᾽ ἀγγελέουσα – προσηύδα. Eine ganz ungewöhnliche Brachylogie. Nach der sonstigen Ausführlichkeit der homerischen Darstellung sollte man nach ἀγγελέουσα zuerst erwarten, sie sei von Argos wieder in den Olympos zurückgekehrt, woran sich die Anrede des Zeus erst passend anschliessen würde, wie z. B. ϑ, 409–412.

121. ἀργικέραυνε, vgl. ϑ, 133 ἀφῆκ᾽ ἀργῆτα κεραυνόν.

124. σὸν γένος. Eine nachdrückliche Apposition zum Vorigen: Dein Geschlecht! mit Hinweisung auf 104f. Der folgende Satz enthält die Schlussfolgerung daraus.

125. κατὰ φρένα βαθεῖαν. Vgl. Virg. Aen. 1, 26 *manet alta mente repostum.*

126. λιπαροπλοκάμοιο. Dies Beiwort soll wohl auch das Einnehmende und Verführerische der bethörenden Ate andeuten, vgl. zu 92 ἁπαλοὶ πόδες. Er schwört aber bei der Ate selbst, dass sie für immer aus dem Olympos verbannt sein solle.

131. χειρὶ περιστρέψας, wie Odysseus Od. ϑ, 189 die Wurfscheibe, vgl. auch unten 268 ῥῖψ᾽ ἐπιδινήσας.

132. τὴν (ἄτην) στενάχεσκε = Od. δ, 261 ἄτην δὲ μετέστενον, ἣν Ἀφροδίτη δῶκεν.

133. ἔργον ἀεικὲς κτἑ. Vgl. ϑ, 363 und Od. λ, 621 μάλα γὰρ πολὺ χείρονι φωτὶ δεδμήμην, worauf einer der von Eurystheus auferlegten ἆθλοι angeführt wird.

134. δ᾽ αὖτε (δὴ αὖτε, vgl. zu α, 340), nun wieder, hinwieder, als Gegenstück zu dem, was nach 132 Zeus an Herakles sehen und erleben musste.

135. ὀλέεσκεν. Die ungewöhnliche Form wird geschützt theils durch Quint. Smyrn. 2, 414 τίπτε σὺ Τρῶας ἀνηλεγέως ὀλέεσκες; theils durch κ, 127 ἠγερέεσθαι

οὐ δυνάμην λελαθέσθ' ἄτης, ᾗ πρῶτον ἀάσθην. 139
ἀλλ' ἐπεὶ ἀασάμην καί μευ φρένας ἐξέλετο Ζεύς,
ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα·
ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς.
δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχεῖν, ὅσσα τοι ἐλθὼν 140
χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον ἐπειγόμενός περ Ἄρηος,
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
οἴσουσ', ὄφρα ἴδηαι ὅ τοι μενοεικέα δώσω."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς 145
„Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μέν, αἴ κ' ἐθέλῃσθα, παρασχέμεν, ὡς ἐπιεικές,
ἤ τ' ἐχέμεν· πάρα σοί. νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ'· οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας
οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον· 150
ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται

und 421 ἐπιτραπέουσι, vgl. zu σ, 309.

137f. ἀλλ' ἐπεὶ – ἄποινα, ähnlich wie ι, 119f., wo auch die anerbotenen Geschenke aufgezählt werden.

140. ἐγὼν ὅδε – παρασχεῖν, ich bin da zu geben s. v. a. ἑτοῖμός εἰμι παρασχεῖν, *adsum ut dem.*

141. χθιζός = 195, d. h. in der Nacht vor dem gestrigen Tage, in der Nacht auf gestern, ehe Patroklos auftrat. Denn den Griechen gehörte die Zeit nach Sonnenuntergang schon zum folgenden Tage; vgl. Einleit. S. 31f. zu ϑ, 485 ff.; ausserdem ι, 260–274 (= 122–132 und unten 243–246).

142. εἰ δ' ἐθέλεις wie sonst εἰ δ' ἄγε νῦν (vgl. zu 108), wenn es dir aber gefällt, in Beziehung auf ἐπίμεινον als Gegensatz zu 139 ὄρσευ πόλεμόνδε.

143. θεράποντες ist hier im weitern Sinne gebraucht. Denn nach 238–240 werden beinahe lauter namhafte Führer zur Abholung dieser Geschenke abgeordnet.

147f. παρασχέμεν – ἤ τ' ἐχέμεν. Beide Infinitive für den Imperativ. — Ueber ἤ τε vgl. zu Od. π, 216 und unten 177 = ι, 276. — πάρα σοί, d. i. πάρεστί σοι, vgl. Od. γ, 324 πάρα τοι δίφρος τε καὶ ἵπποι κτέ.

149. κλοτοπεύειν scheint der weniger gewöhnliche bildliche Ausdruck für das nachher folgende διατρίβειν; wahrscheinlich s. v. a. στραγγεύεσθαι, *tergiversari*, sich unentschlossen hin und her wenden, oder: die Sache in die Länge ziehen, *trahere*. Vielleicht ist τολυπεύειν, aufwickeln, daraus entstanden und der Stamm in κλώθω *glomero*.

150. μέγα ἔργον, die Rache an Hektor für Patroklos.

151. Ἀχιλῆα. Der Name statt des Pronomens (ἐμέ) als Ausdruck des stolzen Selbstgefühles. Vgl. ϑ, 22 Ζῆν' ὕπατον μήστωρα.

19 ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας.
ὧδέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
155 „μὴ δ' οὕτως ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχησομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν·
160 ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιούς
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
εἴ περ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν,
165 ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμός, βλάβεται δέ τε γούνατ' ἰόντι.
ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ,
θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα
170 πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
ἀλλ' ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω ἐς μέσσην ἀγορήν, ἵνα πάντες Ἀχαιοί
ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.

153. *ὧδε*, auf die zwei vorhergehenden Verse zurückweisend: so wie ihr mich werdet kämpfen sehen. — Ueber *μεμνημένος* vgl. zu Od. α, 343.

155. *μὴ δ' οὕτως – Ἀχιλλεῦ* = α, 131.

156. *προτὶ Ἴλιον* gehört zum Prädicat *ὄτρυνε*, *μαχησομένους* ist Apposition.

158. *ὁμιλήσωσι*, an einander gerathen, handgemein werden, *εἰς ταὐτὸ συνέλθωσι*.

163. *ἄκμηνος σίτοιο*. Das Adjectiv *ἄκμηνος* = *νῆστις*, *ἄγευστος* (zu unterscheiden von *ἀκμηνός* Od. ψ, 191) kommt bei Homer nur in diesem Buche vor, 207. 320. 346. Es soll wie *ἄκμη*, ἡ *ἀσιτία*, ein äolischer Ausdruck sein, eig. wohl unbefriedigt, ungesättigt (*οὐ κορεσσάμενος*, vgl. 167).

165. *γυῖα*, vgl. zu Od. κ, 363. *κιχάνει*, ihn erreicht, vgl. Od. ι, 477 *καὶ λίην σέ γ' ἔμελλε κιχήσεσθαι κακὰ ἔργα*.

166. *βλάβεται – ἰόντι* = Od. ν, 34.

170. *πρὶν – πολέμοιο*, d. h. bis die Schlacht wirklich zu Ende und entschieden ist.

171 f. *δεῖπνον – ὅπλεσθαι* = ψ, 159, vgl. Od. ζ, 73 *ἄμαξαν – ὅπλεον*.

ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστάς, 175
μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι
[ἣ θέμις ἐστίν, ἄναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν]·
καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω
πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα. 180
Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ
ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
„χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας· 185
ἐν μοίρῃ γὰρ πάντα διίκεο καὶ κατέλεξας.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμός,
οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεὺς
μιμνέτω αὖθι τέως [καὶ] ἐπειγόμενός περ Ἄρηος·
μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα 190
ἐκ κλισίης ἔλθῃσι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·

175–177. *ὀμνυέτω – γυναικῶν*, vgl. ι, 274–276. Doch wird 177 hier von den besten Handschriften ausgelassen.

180. *ἵνα μή τι – ἔχῃσθα*, *ἵνα μηδὲν δέῃ σοι τοῦ δικαίου*. — *δίκης* (der Gebühr, der schuldigen Ehre) hängt von *ἐπιδευὲς* ab, und dieses gehört als Adverbium zu *ἔχῃσθα*.

181f. *Ἀτρείδη, σὺ δ' ἔπειτα κτέ.*, d. h. auch du selbst wirst dadurch für dein künftiges Vernehmen mit Andern gewinnen, und hast dich wegen deiner anscheinenden Demüthigung vor Achilleus gar nicht zu schämen; du vergiebst dir nicht zu viel damit.

182f. *βασιλῆα ἄνδρα* ist Object zu *ἀπαρέσσασθαι*, dem verstärkten *ἀρέσασθαι* (179): einen königlichen Mann (wie Achilleus) zu versöhnen; sein Unrecht gegen ihn wieder gut zu machen. — *ὅτε τις – χαλεπήνῃ*, wann einer, wann man (und selbst als noch mächtigerer König) (ihm) eine Beleidigung zugefügt hat; vgl. β, 378 *ἐγὼ δ' ἦρχον χαλεπαίνων*. Der Vers ist gebildet nach dem mehrmals (z. B. ω, 369) vorkommenden *ἄνδρ' ἀπαμύνασθαι ὅτε τ. π. χ.*, aber das Verhältniss des letzten Gliedes ist hier verschieden.

186. *π. διίκεο καὶ κατέλεξας*, vgl. ι, 61 *ἐξείπω καὶ πάντα διίξομαι*.

189. *καὶ ἐπειγόμενός περ Ἄ.*, wie sehr ihn verlangt nach dem Kampfe. — *καὶ* bieten zwar nur wenige Handschriften und der Paraphrast: *καί περ σπεύδων εἰς τὸν πόλεμον*, doch scheint es wenigstens vorzüglicher als das *γε* oder *περ* der andern.

192. *σοὶ δ' αὐτῷ*. Er wendet sich wieder an Odysseus wie 185.

19 κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ᾽ Ἀχιλῆι
195 χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμασάτω, ταμέειν Διί τ᾽ ἠελίῳ τε."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
200 ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται
καὶ μένος οὐ τόσον ᾖσιν ἐνὶ στήθεσσιν ἐμοῖσιν.
νῦν δ᾽ οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν,
205 ὑμεῖς δ᾽ ἐς βρωτὺν ὀτρύνετον. ἦ τ᾽ ἂν ἔγωγε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
νήστιας ἀκμήνους, ἅμα δ᾽ ἠελίῳ καταδύντι
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην.
πρὶν δ᾽ οὔ πως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη
210 οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνηῶτος,
ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέι χαλκῷ
κεῖται, ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ᾽ ἑταῖροι

193. *κούρητας*. Diese Form bei Homer nur hier und 248 = *κούρους*.

195. *ἀγέμεν* steht parallel mit *ἐνεικέμεν* (für den Imperativ).

197. *κάπρον – Διί*, wie bei Pausan. 5, 24, 9. 10 ein Eber dem *Ζεὺς ὅρκιος* geopfert wird.

200. *ἄλλοτέ περ*, vgl. zu *α*, 353. — *ὀφέλλετε* ist Präsens: ihr sollt, d. h. es ist besser. — *ταῦτα πένεσθαι*, nämlich die Herbeischaffung der Geschenke und die Darbringung des Opfers.

202. *ᾖσιν*, vgl. Od. *θ*, 580 *ἵνα ᾖσι* und Il. *ξ*, 274 *μάρτυροι ὦσ᾽ οἱ ἔνερθε θεοί*.

205 f. *ὑμεῖς*, Agamemnon und Odysseus. — *ἂν – ἀνώγοιμι*, ich möchte ermahnen.

208. *τεύξεσθαι*, auch von *ἀνώγοιμι* abhängig, weil die Verwirklichung dieser Ermahnung ausdrücklich erst auf den Abend, also in der Zukunft erfolgen, bis dahin aber noch hinausgezogen werden soll. — *ἐπὴν τισαίμεθα λώβην*, nachdem wir, vorausgesetzt, dass wir die Schmach gerächt hätten; der Optativ wegen des vorhergehenden Hauptsatzes *ἦ τ᾽ ἂν – ἀνώγοιμι*. Vgl. Od. *δ*, 222 *ἐπὴν κρητῆρι μιγείη*.

209. *ἰείη*. Ungewöhnliche, doch ganz der Analogie gemässe Form von *εἶμι*.

212. *ἀνὰ πρόθυρον τετραμμένος*, (mit dem Gesicht) gegen die Thüre gewandt, so dass die Füsse (als eines Herausgehenden) unter der Thüre sind. So sagt auch Per-

μύρονται· τό μοι οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλεν, 19
ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς 215
„ὦ Ἀχιλεῦ Πηλέος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν. 220
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα

sius von einer Leiche: *In portam rigidos calces extendit.*

213. τό μοι = διό μοι, vgl. η, 239 τό μοι ἔστι ταλαύρινον πολεμίζειν. — ταῦτα, d. i. πόσις καὶ βρῶσις.

219. πολλὸν soll nur das richtige Verhältniss gegenüber dem οὐκ ὀλίγον περ 217 wahren, und kann also auch für Achilleus nichts Verletzendes haben; zumal da dieser σ, 106 dasselbe von sich zugiebt. Vgl. σ, 252 ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα. — ἐπεὶ – οἶδα, vgl. zu ν, 355.

220. ἐπιτλήτω – ἐμοῖσιν, wie Od. α, 353 σοὶ δ' ἐπιτολμάτω κραδίη καὶ θυμὸς ἀκούειν, höre mich willig an.

221 f. αἶψά τε scheint unmittelbar zusammen zu gehören und eine gewisse Verstärkung von αἶψα zu sein. So wohl auch Od. α, 392 αἶψά τέ οἱ δῶ ἀφνειὸν πέλεται; Hesiod. Theogon. 87 ὁ δ' ἀσφαλέως ἀγορεύων αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε; vgl. πρόκατε bei Herodot. Der eigentliche Gedanke dieses und der folgenden Verse scheint aber zu sein: Das Kämpfen in der Schlacht erregt alsbald Ueberdruss, d. h. es ist an und für sich durch seine Gefahren und Schrecken so unerfreulich und der Neigung des menschlichen Herzens zuwider, dass man nicht es den Kriegern noch dadurch erschweren muss, dass man ihnen zumuthet, mit hungrigem Magen in den Kampf zu gehen. — ἧς τε (φυλόπιδος) κτέ., von welcher, d. h. in welcher sehr viele Halme das Erz zu Boden legt (wie in dem Erntefelde die Sichel, vgl. λ, 67-71), aber sehr klein die Ernte oder der Ertrag ist, wann nun Zeus die Wage neigt und dem einen oder andern der Kämpfenden den Sieg verleiht. Das Treffende des durch eine Vergleichung ausgedrückten Gedankens beruht auf einem gewissen Wortspiel zwischen πλείστη καλάμη und ἄμητος ὀλίγιστος (222 f.). Während nämlich bei einer eigentlichen und gewöhnlichen guten Ernte die Grösse des Ertrages, also des bleibenden Gewinnes mit der Menge der Halme im geraden Verhältniss steht, ist es umgekehrt schon bei einer schlechten Ernte (viel Halme = Stroh, wenig Körner), noch mehr aber bei dem Niedermähen der Krieger in der Schlacht: da fallen zwar auch viele Halme, aber welcher der kriegführenden Theile ist gewiss, dass er dabei eine gute Ernte macht?

223. ἐπὴν κλίνῃσι – Ζεύς, bedingende Zeitbestimmung zum ganzen vorhergehenden Relativsatz.

224 Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
225 γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς·
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνῃσιν,
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
230 ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην
λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω·
235 ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἐπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα."
ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο
Φυλείδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
240 καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον.
βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο.

224. ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τ. Desshalb können die Menschen auch bei der grössten Tapferkeit den Erfolg des Krieges nicht erzwingen.

225. γαστέρι, mit dem Magen, dadurch, dass man ihn gleichsam Leid tragen, Hunger leiden und darben lässt.

226ff. λίην — πίπτουσιν, das Hungern und Fasten nähme gar kein Ende; wie könnte man also wieder zu Kräften kommen? Die Verse 226-229 übersetzt Cicero Tuscul. 3, 27, 65 so: *Namque nimis multos atque omni luce cadentes Cernimus, ut nemo possit moerore vacare. Quo magis est aequom tumulis mandare peremptos Firmo animo et luctum lacrimis finire diurnis* (auf die Thränen eines Tages beschränken). — Zu καταθάπτειν vgl. Od. μ, 11f. φιτροὺς δ' αἶψα ταμόντες — θάπτομεν; zu ἐπ' ἤματι Od. β, 284 ἐπ' ἤματι πάντας ὀλέσθαι. Als Subject zu καταθάπτειν und den folgenden Participien schwebt dem Dichter ἡμᾶς vor = 225 Ἀχαιούς, ebenso bei μεμνῆσθαι 231, daher denn mit μαχώμεθα wirklich in die erste Person übergegangen wird.

233f. ἄλλην — ὀτρυντύν, eine andere als die jetzt schon ausgesprochene Aufforderung zum Kampfe.

235. ἥδε — ὀτρυντύς, dieser erwartete zweite Befehl d. h. das Erwarten eines solchen wird zum Verderben gereichen jedem, der deswegen zurückbleibt. Eine Drohung ähnlich der frühern β, 391-393.

238. ὀπάσσατο, er liess sich folgen, nahm mit sich, wie κ, 238 χεῖρον' ὀπάσσεαι.

αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον. 19
ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὕς οἱ ὑπέστη,
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργα ἰδυίας 245
ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηίδα καλλιπάρῃον.
χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα
ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν, ἂν δ' Ἀγαμέμνων
ἵστατο· Ταλθύβιος δὲ θεῷ ἐναλίγκιος αὐδὴν 250
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
η οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διὶ χεῖρας ἀνασχὼν
εὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῇ 255
Ἀργεῖοι κατὰ μοῖραν, ἀκούοντες βασιλῆος.
εὐξάμενος δ' ἄρα εἶπεν ἰδὼν εἰς οὐρανὸν εὐρύν,
„ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
γῆ τε καὶ ἠέλιος καὶ ἐρινύες, αἵ θ' ὑπὸ γαῖαν
ἀνθρώπους τίνυνται, ὅ τίς κ' ἐπίορκον ὀμόσσῃ, 260
μὴ μὲν ἐγὼ κούρῃ Βρισηίδι χεῖρ' ἐπενεῖκαι,

242. *αὐτίκ' – τετέλεστο δὲ ἔργον.* Parataxis, s. v. a. *αὐτίκ' ἔπειτα ἐτετέλεστο ἔργον ὥσπερ εἴρητο. ἅμα — δὲ* abgekürzt für *ἅμα μέν, ἅμα δέ.*

243–248. *ἑπτὰ μὲν – Ἀχαιῶν,* vgl. *ι* 122–132.

246. *ἕπτ', ἀτὰρ ὀγδοάτην,* vgl. *ι,* 131 *μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων.*

250. *θεῷ ἐναλ. αὐδήν,* weil er als Herold eine helle, durchdringende Stimme haben musste.

251. *κάπρον ἔχων ἐν χερσί,* nach Agamemnon's Anordnung 197.

252f. *Ἀτρείδης – ἄωρτο = γ,* 271f. mit dem Bemerkten.

254. *ἀπὸ τρίχας ἀρξάμενος.* Schol. *ἀπαρξάμενος τρίχας, τεμὼν ὡς ἀπαρχήν,* nachdem er sie abgeschnitten und als Erstlingsopfer geweiht hatte. Vgl. Od. *ξ,* 422 *ἀπαρχόμενος κεφαλῆς τρίχας ἐν πυρὶ βάλλεν.*

255. *ἐπ' αὐτόφιν εἵατο σιγῇ,* d. i. *ἐπ' αὐτῶν (= ἑαυτῶν) ἧντο σιγῇ,* sie sassen alle für sich (eig. auf sich, jeder an seinem Platze) in der Stille, vgl. *η,* 195 *εὔχεσθε – σιγῇ ἐφ' ὑμείων.* Herodot. 9, 17 *πέμψας ὁ Μαρδόνιος ἱππέας ἐκέλευσέ σφεας ἐπ' ἑωυτῶν ἐν τῷ πεδίῳ ἵζεσθαι* (= 2, 2. 5, 98).

257. *εὐξάμενος – εἶπεν,* vgl. Od. *ξ,* 463 *εὐξάμενός τι ἔπος ἐρέω.*

259f. *αἵ θ' ὑπὸ γαῖαν – ὀμόσσῃ,* vgl. zu *γ,* 278 *καὶ οἳ ὑπένερθε καμόντας – τίνυσθον κτέ. — ὑπὸ γαῖαν* gehört zu *τίνυνται.*

261. *μὴ μὲν ἐγὼ – ἐπενεῖκαι.* Der Nominativ beim Infinitiv kann

262 οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε τευ ἄλλου·
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
265 πολλὰ μάλ', ὅσσα διδοῦσιν ὅ τίς σφ' ἀλίτηται ὀμόσσας."
ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέι χαλκῷ.
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
ῥῖψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεύς
ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα
270 „Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα.
οὐκ ἂν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρείδης ὤρινε διαμπερές, οὐδέ κε κούρην
ἦγεν ἐμεῦ ἀέκοντος ἀμήχανος· ἀλλά ποθι Ζεύς
ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
275 νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα."
ὣς ἄρ' ἐφώνησεν, λῦσεν δ' ἀγορὴν αἰψηρήν.
οἱ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,
βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο.
280 καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκας,
ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.

stehen, weil in dem regierenden Verbum ἴστω Ζεύς u. s. w. auch das Verbum ὄμνυμι (φημὶ) enthalten ist.

262. *εὐνῆς πρόφασιν κεχρημένος.* Die Genitive *εὐνῆς* und *τευ ἄλλου* hängen von *κεχρημένος* in der bei Homer gewöhnlichen Bedeutung verlangend, begehrend ab; diesem ist noch das adverbiale *πρόφασιν* (= 302) beigegeben in dem Sinne wie in Prosa *ἀπὸ προφάσεως, ἐπὶ προφάσει.*

265. *σφέ, τοὺς θεούς.*

266. *ἦ, καὶ – χαλκῷ*, vgl. *γ*, 292.

267. *τὸν μὲν* erg. *κάπρον.* Vgl. zu *γ*, 310 *ἐς δίφρον ἄρνας θέτο.*

268. *ῥῖψ' ἐπιδινήσας*, hier weniger eigentlich als *γ*, 378 von einem Helme.

270. *Ζεῦ πάτερ – διδοῖσθα.* Indem Achilleus den Ursprung seiner leidenschaftlichen Bethörung auf Zeus zurückführt, ladet er alle Schuld von Agamemnon ab und erklärt sich für ausgesöhnt mit ihm. – *διδοῖσθα* vgl. mit *ι*, 164 *διδοῖς* und 519 *διδοῖ.*

272. *διαμπερές*, immerfort d. h. so nachhaltig. Parallel damit steht 273 *ἀμήχανος*, zu erklären nach *ν*, 726 *ἀμήχανος παραρρητοῖσι πιθέσθαι.* Vgl. zu *κ*, 164.

276. *ὣς ἄρ' – αἰψηρήν*, vgl. zu Od. *β*, 257. *θ*, 38 *θοὴν ἀλεγύνετε δαῖτα.*

279. *ἐπὶ νῆα*, nach dem Schiffe, d. h. in die Gegend desselben, nicht auf dasselbe, wie der folgende Vers zeigt.

281. *ἵππους*, ohne Zweifel er-

Βρισηὶς δ' ἄρ' ἔπειτ', ἰκέλη χρυσέῃ Ἀφροδίτῃ, 19
ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέι χαλκῷ,
ἀμφ' αὐτῷ χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσεν
στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα. 285
εἶπε δ' ἄρα κλαίουσα γυνὴ ἐικυῖα θεῇσιν
„Πάτροκλέ μοι δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
ἂψ ἀνιοῦσ'· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί. 290
ἄνδρα μέν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέι χαλκῷ,
τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεύς 295
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο

beutete Kriegspferde. — θεράποντες, die unten 392 genannten Automedon und Alkimos.

282–302. Βρισηὶς – ἑκάστη. Eine liebliche Episode, die mit dem übrigen kriegerischen Inhalt des Buches einen angenehmen Contrast bildet. Die Klage der Briseis selbst hat grosse Wahrheit und Natürlichkeit.

284. ἀμφ' αὐτῷ χυμένη – ἐκώκυε, vgl. Od. θ, 527. — χερσὶ δ' ἄμυσσεν κτέ. vgl. Virg. Aen. 4, 673 *Unguibus ora soror foedans et pectora pugnis.*

286. γ. ἐικυῖα θεῇσιν, vgl. γ, 158 ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

287. Πάτροκλέ μοι δειλῇ κτέ. für δειλῇ μοι πλεῖστον κεχαρισμένε θ. Eine ähnliche Verschiebung der Enclitica φ, 347 χαίρει δέ μιν ὅς τις ἐθείρῃ.

290. δέχεται κακὸν ἐκ κακοῦ. Eine verdeutlichende Construction nach dem Sinn, wie Hesiod. Theogon. 800 ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἆθλος. Die Grammatik würde statt ἐκ an beiden Stellen den Accusativ (κακόν, ἄλλον) erfordern.

291. ἄνδρα = 295, den 296 genannten Mynes.

293 f. τρεῖς τε κασιγνήτους – οἳ πάντες ἐπέσπον, d. i. οὗτοι πάντες. Veränderte Construction, zu vergleichen mit Od. α, 275 f. μητέρα δ' – ἂψ ἴτω ἐς μέγαρον. — μοι μία brachylogisch = ἡ αὐτὴ ἣ καὶ ἐμὲ ἐγείνατο, Eine und dieselbe Mutter, die mich gebar.

294. κηδείους, (von mir) innig geliebt. Vgl. Od. θ, 583 κήδιστοι – μεθ' αἷμά τε καὶ γένος αὐτῶν.

295 ff. οὐδὲ μὲν οὐδέ μ' ἔασκες – κλαίειν, vgl. Od. δ, 805 οὐ μέν σ' οὐδὲ ἐῶσι θεοὶ ῥεῖα ζώοντες κλαίειν. Hier ist οὐδὲ μέν s. v. a. ἀλλ' οὐ μέν, aber doch nicht, in Beziehung auf 291 f. ἄνδρα μὲν – εἶδον δεδαϊγμένον, worin nach dem Urtheil der Sprechenden Grund genug zum Weinen lag; aber nicht

299 κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νηυσὶν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.
300 τῷ σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί."
ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες,
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων.
305 „λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει.
δύντα δ' ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης."
ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
310 δοιὼ δ' Ἀτρείδα μενέτην καὶ δῖος Ὀδυσσεύς,
Νέστωρ Ἰδομενεύς τε γέρων θ' ἱππηλάτα Φοῖνιξ,
τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
τέρπετο πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
μνησάμενος δ' ἀδινῶς ἀνενείκατο φώνησέν τε
315 „ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,

einmal das (*οὐδὲ – ἔασκες*) wollte Patroklos geschehen lassen.

300. *τῷ σ' ἄμοτον κλαίω.* Ein Zeichen, dass Wiederherstellung ihrer Ehre ihr höchster Wunsch gewesen wäre.

302. *σφῶν δ' αὐτῶν κήδεα*, ihr eigenes Leid, um die verlorenen Männer, Brüder, Söhne. — Der ganze Vers ist ein Ausdruck tiefer Empfindung und voll psychologischer Wahrheit.

303. *αὐτόν*, ihn selbst, Achilleus als Hauptperson. — *γέροντες* nach 309 = *βασιλῆες*. Das Factum scheint dasselbe, das schon 221–232, vgl. mit 160–170, berührt war: ein erneuerter Versuch, ihn zum Essen zu bewegen.

305. *εἴ τις – ἐπιπείθεται*, d. h. wenn ihr mir in irgend etwas gefällig werden wollt.

308. *δύντα δ' ἐς ἠέλιον* = 207 *ἅμα δ' ἠελίῳ καταδύντι κτἑ.*

310f. *δοιὼ – Φοῖνιξ.* Es kann auffallen, dass der grosse Aias und Diomedes hier nicht auch genannt werden; sollte der Dichter vielleicht eine gewisse Eifersucht dieser beiden gegen Achilleus andeuten wollen?

312. *τέρποντες*, d. i. *πειρώμενοι τέρπειν*, ihn zu erheitern suchend, tröstend. Vgl. ο, 393 *ἧστό τε καὶ τὸν ἔτερπε λόγοις.*

313. *πολέμου στόμα*, vgl. zu κ, 8. Durch diesen bildlichen Ausdruck wird auch die Wahl des Verbi (*δύμεναι*) bestimmt: sich in den Rachen des Krieges stürzen.

314. *ἀδινῶς ἀνενείκατο*, Schol. *οἱονεὶ ἀνεστέναξε καὶ πολὺ ἤγαγε πνεῦμα, ἐστέναξεν ἐκ βάθους*: er athmete tief auf. Vgl. Herodot. 1, 86 *ἀνενεικάμενόν τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίης.*

αὐτὸς ἐνὶ κλισίῃ λαρὸν παρὰ δεῖπνον ἔθηκας 19
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα.
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων, 320
σῇ ποθῇ. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτεϊ τοιοῦδ' υἷος· ὁ δ' ἀλλοδαπῷ ἐνὶ δήμῳ
εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω· 325
ἠὲ τὸν ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱός.
[εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.]
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
οἶον ἐμὲ φθίσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι, 330
ὡς ἄν μοι τὸν παῖδα θοῇ ἐνὶ νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀίομαι ἢ κατὰ πάμπαν

316. δεῖπνον ἔθηκας, nicht nur Einmal, sondern so oft es galt in die Schlacht zu ziehen.

320. ἔνδον ἐόντων, concessiv: obgleich ich im Vorrath, reichlich und im Ueberfluss habe. Vgl. Od. ο, 78.

322. τοῦ πατρός, von jenem Vater, d. h. dem bekannten, trefflichen, so geliebten; vgl. Od. β, 134.

324 f. ὁ δὲ – πολεμίζω, d. h. ἐγὼ δ' ὅδε (ἐνταῦθα) πολεμίζω, ich kämpfe hier unter fremdem Volke.

326. ἠὲ τόν, erg. ἀποφθίσθαι. ebenfalls von πυθοίμην 322 abhängig, aber mit veränderter Construction. Ueber das Zeitverhältniss zwischen Achilleus und seinem Sohn Neoptolemos vgl. zu Od. λ, 506–516. γ, 189 und Einleit. S. 19 f.; auch in unserer Stelle erscheint der letztere als minderjähriger Knabe. Von den bei spätern Dichtern (den Kyklikern) ausgeführten Sagen, die sich auf den hier und Od. λ, 509 erwähnten Aufenthalt des Neoptolemos auf der Insel Skyros beziehen, thut Homer keine Erwähnung, aber der Verfasser unserer Stelle muss sie gekannt haben.

327. εἴ που – θεοειδής. Ein in dieser Verbindung unpassendes, schon von Aristophanes und Aristarch verworfenes Einschiebsel.

329. οἶον, d. h. ohne dich, Patroklos.

332 f. ἐξαγάγοις, nämlich nach Phthia. — κτῆσιν – δῶμα = Od. η, 225 und τ, 526. Unter dem Masculinum δμῶας sind natürlich Sclaven beider Geschlechter zu verstehen.

334 f. ἢ κατὰ – τεθνάμεν, d. h. wenn er nicht schon ganz todt ist,

19 τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχησθαι,
336 γήραΐ τε στυγερῷ καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται."
ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες,
μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον.
340 μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα.
„τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
345 ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὁ δ' ἄκμηνος καὶ ἄπαστος.
ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται."
ὣς εἰπὼν ὄτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
350 ἡ δ' ἅρπῃ ἐικυῖα τανυπτέρυγι λιγυφώνῳ
οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέρος. αὐτὰρ Ἀχαιοὶ
αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ' Ἀχιλῆι

doch gewiss u. s. w.

336. *γήραΐ* und *ποτιδέγμενον* bezeichnen zwei Gründe der traurigen und gedrückten Stimmung des Peleus. — *ἐμὴν* – *λυγρὴν ἀγγελίην*, die traurige Botschaft von mir.

339 f. *μνησάμενοι* – *ἔλειπον*, vgl. 302. — *μυρομένους* – *Κρονίων* = ρ, 441 *μυρομένω δ' ἄρα τώ γε κτέ.*

342. *δὴ πάμπαν* – *ἑῆος*. Vorwurf in der Form eines Ausrufs (ähnlich wie Od. α, 59 f.): so hast du denn ganz den edeln Mann (Helden) im Stiche gelassen. — Ueber *ἑῆος* vgl. zu α, 393. Erst der folgende Vers fragt nach dem Grunde.

344. *κεῖνος ὅ γε*, vgl. zu γ, 391 *κεῖνος ὅ γ' ἐν θαλάμῳ*. Das prädicative *κεῖνος* wird durch *προπάροιθε νεῶν* erklärt.

347 f. *ἴθι οἱ* – *στάξον*. Betreffend Wortstellung und Interpunction vgl. zu Od. ρ, 544; zu *ἀμβροσίην ἐρατεινήν* Il. ι, 228 *δαιτὸς ἐπηράτου ἔργα*. — Das folgende *στάξον* ist durch ein Zeugma auch auf *ἀμβροσίην*, einen festen, trokkenen Stoff bezogen, wie schon oben 38 f., doch bei umgekehrter Stellung der Objectsaccusative. Vgl. zu Od. ι, 359.

349. *ὣς* – *Ἀθήνην* = δ, 73.

350. *ἅρπη*, ein Raubvogel, wahrscheinlich eine Falkenart; dem Falken ist auch ein helles Geschrei im Fliegen eigen (*λιγύφωνος*).

351. *ἐκκατέπαλτο* (*πάλλω*), sie schwang sich herunter, wie der Raubvogel auf seine ersehene Beute beinahe senkrecht herabschiesst. Zur Construction vgl. 357 *Διὸς ἐκποτέονται* und 360; über *δι' αἰθέρος* zu β, 458.

νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινήν 19
στάξ᾽, ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ᾽ ἵκοιτο,
αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ 355
ᾤχετο. τοὶ δ᾽ ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
ὡς δ᾽ ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται,
ψυχραί, ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
ὣς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι
νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι 360
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ᾽ οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.
[τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε 365
λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ
δῦν᾽ ἄχος ἄτλητον· ὁ δ᾽ ἄρα Τρωσὶν μενεαίνων
δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.]
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν
καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας· 370
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν.
ἀμφὶ δ᾽ ἄρ᾽ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
εἵλετο, τοῦ δ᾽ ἀπάνευθε σέλας γένετ᾽ ἠύτε μήνης.
ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ πόντοιο σέλας ναύτῃσι φανήῃ 375

354. *λιμὸς – γούναθ᾽ ἵκοιτο*, d. i. die durch den Hunger verursachte Erschöpfung, Ermattung.

356. *τοὶ δ᾽* (*Ἀχαιοί* 351) *ἐχέοντο*, jene ergossen sich, strömten fernhin von den Schiffen gegen das Schlachtfeld.

358. *αἰθρηγενέος Βορ.*, vgl. zu Od. ε, 296.

361. *κραταιγύαλοι*, Schol. *ἰσχυρὰ γύαλα ἔχοντες*.

365–368. *τοῦ καὶ – τεύχων*. Vier Verse, die schon von den Alten mit Recht für unächt erklärt werden; ihr Inhalt ist, wenn auch nicht an sich unpassend, doch hier wenigstens nicht am Platze, namentlich das Zähneknirschen. Zur Verbindung *τοῦ καὶ ὀδόντων* vgl. übrigens α, 249 *τοῦ καὶ ἀπὸ γλώσσης*. Darin jedoch scheint der Urheber des Zusatzes ein richtiges Gefühl gehabt zu haben, dass er die Rüstung des Hephästos hier im G a n z e n erwähnen zu müssen glaubte.

369 – 373. *κνημῖδας – στιβαρόν τε*, vgl. γ, 330–335 und Einleit. S. 6.

375–380. *ὡς δ᾽ ὅτ᾽ ἂν ἐκ πόντοιο κτἑ.* Die Vergleichung mit dem milden Glanze des Mondes schien dem prachtvollen Schilde des Achilleus nicht genug Ehre anzu-

19 καιομένοιο πυρός· τὸ δὲ καίεται ὑψόθ' ὄρεσφιν
σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·
ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανεν
380 καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας
κρατὶ θέτο βριαρήν· ἡ δ' ἀστὴρ ὣς ἀπέλαμπεν
ἵππουρις τρυφάλεια, περισσείοντο δ' ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
πειρήθη δ' ἕο αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
385 εἰ οἷ ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῷ δ' ηὖτε πτερὰ γίγνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα σύριγγος πατρώιον ἐσπάσατ' ἔγχος,
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
390 Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν, ἐν δὲ χαλινούς

thun; darum wird zur Steigerung noch ein zweites grossartigeres Gleichniss hinzugefügt, wiewohl die Erwähnung der Schiffer auf stürmischem Meere eigentlich fremdartig, jedenfalls für den Zweck der Vergleichung zu ausführlich ist (377f.). — *ἐκ πόντοιο*, vom Meere aus gesehen. — *τὸ δὲ καίεται*, vgl. Od. *κ*, 30 *πυρπολέοντας ἐλεύσσομεν*. An beiden Stellen ist von einem Hirtenfeuer die Rede (*σταθμῷ ἐν οἰοπόλῳ*).

377f. *τοὺς δ' οὐκ ἐθέλοντας — φέρουσιν*. Gerade deswegen aber können sie um so länger das Feuer aus der Ferne beobachten.

381. *ἀστὴρ ὥς*. Diese Vergleichung steht in guter Harmonie mit *ἠύτε μήνης* 374.

382f. *περισσείοντο — θαμειάς* vgl. *χ*, 315f.

384. *πειρήθη δ' ἕο αὐτοῦ*. Einziges Beispiel des vernachlässigten Digamma in *ἕο*, wogegen Od. *θ*, 211 *ἕο δ' αὐτοῦ πάντα κολούει*.

385. *εἰ οἷ ἐφαρμόσσειε*, vgl. *ρ*, 210 *Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ*.

386. *τῷ δ' ηὖτε* = *ἠύτε*, *ὡσεί*, *καθάπερ πτερὰ ἐγίγνετο*, gleich Fittigen wurden, erwiesen sie sich ihm, förderten ihn wie Flügel; vgl Od. *ψ*, 272 *ἐρετμά*, *τά τε πτερὰ νηυσὶ πέλονται*, und über *ἠύτε* zu Il. *γ*, 10.

388–391. *βριθὺ — ἡρώεσσιν* = *π*, 141–144. Hier sind diese Verse eben so wenig entbehrlich als dort bei Patroklos.

392. *Ἄλκιμος*, wohl derselbe der *π*, 197. *ρ*, 467 *Ἀλκιμέδων* hiess, vgl. *ω*, 474. 574.

393. *ἀμφὶ — ἕσαν* (*ἕννυμι*), erg. die Diener, die auch vorher und nachher Subject sind. — Ueber *λέπαδνα* vgl. zu *ε*, 730. — *χαλι-*

γαμφηλῆς ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω 19
κολλητὸν ποτὶ δίφρον. ὁ δὲ μάστιγα φαεινήν 395
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς,
τεύχεσι παμφαίνων ὥς τ' ἠλέκτωρ Ὑπερίων.
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο.
„Ξάνθε τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης, 400
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἕωμεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα."
τὸν δ' ἄρ' ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι· πᾶσα δὲ χαίτη 405
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν.
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη.
„καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον. οὐδέ τοι ἡμεῖς
αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή. 410

νούς, den Zaum mit dem Gebiss. Der Ausdruck χαλινοὶ kommt nur hier vor, obgleich vom Anschirren der Pferde oft die Rede ist; ebenso σύριγξ 387 als Speerbehälter (Futteral).

394f. κατὰ δ' ἡνία τεῖναν, vgl. zu ε, 262, wo ἐξ ἄντυγος unserm κολλητὸν ποτὶ δίφρον entspricht.

396. χειρὶ-ἀραρυῖαν, wie γ, 338 ἔγχος ὅ οἱ παλάμηφιν ἀρήρει; χειρὶ ist also zweimal zu denken. — Zu μάστιγα φαεινὴν vgl. Od. ζ, 316. — ἐφ' ἵπποιιν ἀνόρουσεν, er schwang sich auf den Wagen hinauf.

397. ὄπιθεν βῆ, hinter und nach ihm stieg hinauf, aber er trat dann doch neben ihn als παραιβάτης.

398. τεύχεσι - ἠλέκτωρ = ζ, 513. — Ueber Ὑπερίων vgl. zu Od. α, 8.

400f. Ξάνθε τε καὶ Βαλίε, vgl. zu π, 149f. — ἄλλως - σαωσέμεν, denket darauf, sorget dafür, anders (besser) zu retten, nämlich als den Patroklos (403).

401. ἡνιοχῆα im weitern Sinne, vgl. θ, 89f.

402. ἐπεί χ' ἕωμεν πολέμοιο wird nach ziemlich übereinstimmender Ueberlieferung erklärt durch ἅδην ἔχωμεν, κορεσθῶμεν, πληρωθῶμεν (von ἄω, sättigen).

403. μηδ' ὡς - λίπετ' α. τ. Brachylogisch für: und macht es nicht wie (als) ihr den Patroklos todt dort zurückliesset (ὡς ἐλίπετε = ὡς ἐποιήσατε λιπόντες). Vgl. zu Od. φ, 427.

405. ἤμυσε καρήατι, vgl. zu ρ, 437 οὔδει ἐνισκίμψαντε καρήατα, und über die folgenden Worte ebend. zu 440.

407. αὐδήεντα, vgl. zu Od. ε, 334. Offenbar soll diese von der Hera (als Schutzgöttin) eingegebene Weissagung eine Auszeichnung für Achilleus sein.

409. ἀλλά - ὀλέθριον, vgl. die Voraussagung der Thetis σ, 96.

19 οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε
Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο·
ἀλλὰ θεῶν ὤριστος, ὃν ἠύκομος τέκε Λητώ,
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν.
415 νῶι δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
ἥν περ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ
μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι."
ὣς ἄρα φωνήσαντος ἐρινύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
420 „Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νύ τοι οἶδα καὶ αὐτὸς ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω πρὶν Τρῶας ἅδην ἐλάσαι πολέμοιο."
ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

Υ.

20 ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητον Ἀχαιοί,
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο·

416. ἥν περ – φάσ' ἔμμεναι, vgl. oben 96. — σοὶ αὐτῷ, also ohne dass wir einen Antheil daran haben.

417. θεῷ τε καὶ ἀνέρι, also wie Patroklos nach 413f. Die Erklärung giebt die Weissagung des sterbenden Hektor χ, 359.

418. ἐρινύες, (vgl. 87) gleichsam als Wächterinnen der festen Ordnung der Natur, also verwandter Function mit der Μοῖρα.

423. ἅδην ἐλάσαι πολ., vgl. zu Od. ε, 290 mit Il. ν, 315.

Was in allen früheren Gesängen vorbereitet wurde, kommt seiner endlichen Entscheidung näher; darum müssen sich hier alle Kräfte, und namentlich die mächtigsten, concentriren, und eine vermehrte Einwirkung der Götter ist nicht blos natürlich, sondern durch das Gesetz des Fortschrittes gefordert. Besonders grossartig ist die Darstellung im Anfange unseres Buches und dadurch der Bedeutung des Momentes ganz angemessen. Vgl. Hoffmann Progr. des Johanneums zu Lüneburg. Ostern 1850. S. 5. Ebenso natürlich ist es, dass die achäischen Helden jetzt neben Achilleus verschwinden und dieser allein noch eigentlich handelt. Im Allgemeinen sei noch bemerkt, dass der Dichter unseres Gesanges eine Neigung zu längeren Reden und eine gewisse Vorliebe für Aeneas zeigt. Auf einige eigenthümliche und seltene Ausdrücke werden wir bei Gelegenheit hinweisen.

3. Τρῶες – πεδίοιο = λ, 56, vgl. zu κ, 160.

Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι 20
κρατὸς ἀπ᾽ Οὐλύμποιο πολυπτύχου· ἡ δ᾽ ἄρα πάντη 5
φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ᾽ Ὠκεανοῖο,
οὔτ᾽ ἄρα νυμφάων, αἵ τ᾽ ἄλσεα καλὰ νέμονται
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.
ἐλθόντες δ᾽ ἐς δῶμα Διὸς νεφεληγερέταο 10
ξεστῇς αἰθούσῃσιν ἐφίζανον, ἃς Διὶ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ᾽· οὐδ᾽ ἐνοσίχθων
νηκούστησε θεᾶς, ἀλλ᾽ ἐξ ἁλὸς ἦλθε μετ᾽ αὐτούς,
ἷζε δ᾽ ἄρ᾽ ἐν μέσσοισι, Διὸς δ᾽ ἐξείρετο βουλήν. 15
„τίπτ᾽ αὖτ᾽, ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηεν.“
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς
„ἔγνως, ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν, 20
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.

4. *Θέμιστα – καλέσσαι*, gemäss der Od. *β*, 69 bezeichneten Thätigkeit dieser Göttin: *ἥ τ᾽ ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει.* Sie ist nicht blosse Botin wie Iris.

5. *κρατὸς ἀπ᾽ Οὐλύμποιο π.* ist zu verbinden mit *κέλευσε*; von seinem Wohnsitze aus gab Zeus den Befehl.

7. *νόσφ᾽ Ὠκεανοῖο.* Der Okeanos, gleichsam ein Ring der Welt, darf seine Stelle nicht verlassen, wenn nicht Zusammenhang und Bestand des Ganzen gefährdet werden soll. Durch die Erwähnung der Flüsse aber bereitet der Dichter das Auftreten des Xanthos (40) vor.

9. *καὶ πηγὰς – ποιήεντα* = Od. *ζ*, 124. — *πίσεα*, Schol. *τὰ ὑδρηλὰ χωρία, τοὺς καθύγρους τόπους.*

11. *αἰθούσῃσιν ἐφίζανον* wird passender mit Od. *γ*, 406 *κατ᾽ ἄρ᾽ ἕζετ᾽ ἐπὶ ξεστοῖσι λίθοισιν* als mit Il. *κ*, 578 *δείπνῳ ἐφιζανέτην* verglichen. Der Sinn des brachylogischen Ausdrucks scheint nämlich: sie setzten sich auf die geglätteten steinernen Sitze in der Vorhalle (*ξεστῇς αἰθούσῃσι* auch Il. *ζ*, 243). Die befestigten Sitze sind nämlich auch Theile der Hallen.

13. *Διὸς ἔνδον* = *ἐν Διός*, *ἐν Διὸς δώμασι.*

18. *ἄγχιστα μάχη – δέδηεν*, ihr Kampf ist ganz nahe (der Zeit nach) entbrannt, d. h. dem Ausbruch ganz nahe gekommen (vgl. 31). Zu *ἄγχιστα* vgl. Od. *τ*, 301 *ἐλεύσεται ἤδη ἄγχι μάλα.* Poseidon's Kommen wird besonders erwähnt, weil dieser Gott vor Kurzem (*ο*, 218 f.) auf Befehl des Zeus die Schlacht verlassen hatte.

21. *ὧν* ist natürlich Neutrum. Denn dieser Satz ist nur die Erklärung von *ἐμὴν – βουλήν.* — *μέ-*

20 ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ' ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
25 ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπῃ νόος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα.
καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
30 δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ."
ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρεν.
βὰν δ' ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντες,
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη
ἠδὲ Ποσειδάων γαιήοχος ἠδ' ἐριούνης
35 Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Ἥφαιστος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων,
χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί·

λουσι erg. Τρῶες, wie schon aus 26–30 hervorgeht.

23. φρένα τέρψομαι, sofern nun das Verhängniss und Zeus' eigener Rathschluss in Erfüllung geht.

25. ἀμφοτέροισι δ' ἀρήγ. κτέ. Wie Zeus früher (θ, 7 ff.) es den Göttern insgesammt untersagt hatte, am Kampfe Theil zu nehmen, so giebt er ihnen jetzt offen die Erlaubniss dazu. Dem allen seinen Gegnern überlegenen Achilleus (26–30) soll der Sieg erschwert und begrenzt, und so das rechte Mass und Gleichgewicht gesichert werden.

28. καὶ πρόσθεν, von der Zeit, wie προπάροιθεν κ, 476. Den Gegensatz macht νῦν δέ.

29. καὶ θυμὸν ἑταίρου. Das steigernde καὶ gehört zu ἑταίρου χώεται zusammengenommen, wie im folgenden Verse zu τεῖχος ἐξαλαπάξῃ. Das adverbielle θυμὸν hat also nicht den Hauptton, sondern der Objectsgenitiv ἑταίρου.

30. ὑπὲρ μόρον, vgl. zu Od. α, 34; unten 336 ὑπὲρ μοῖραν.

33–36. Ἥρη – Ἥφαιστος. Diese fünf Götter werden auch schon ο, 213 f. als auf der Seite der Achäer stehend zusammengefasst; die andern (38–40), mit Ausnahme des Xanthos, haben sich ebenfalls schon in den früheren Büchern gelegentlich zu Gunsten der Troer in den Kampf gemischt, Leto wenigstens (ε, 447 f.) an der Heilung des Aeneas Theil genommen.

34. ἐριούνης und ἐριούνιος (72) kommt bei Homer ausser Od. θ, 322 nur in diesem und dem letzten Gesange der Ilias (ω, 360. 440. 457. 679) so wie in den Hymnen vor. Ueber den Begriff vgl. das zu Od. ω, 10 über ἀκάχητα Bemerkte.

35. ἐπὶ φρεσὶ – κέκασται. ἐπὶ gehört als Adverb. zum Verbum: vgl. ω, 535 πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο ὄλβῳ κτέ.

36 f. σθένεϊ βλεμεαίνων, vgl. zu θ, 337. — χωλεύων – ἀραιαί = σ, 411.

ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος, αὐτὰρ ἅμ' αὐτῷ **20**
Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα
Λητώ τε Ξάνθος τε φιλομμειδής τ' Ἀφροδίτη. 40
εἵως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
τόφρα δ' Ἀχαιοὶ μὲν μέγα κύδανον, οὕνεκ' Ἀχιλλεύς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα 45
τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἄρηι.
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' ἔρις κρατερὴ λαοσσόος, αὖε δ' Ἀθήνη,
στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,
ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἄυτει. 50
αὖε δ' Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος,
ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.

39. ἀκερσεκόμης findet sich in dieser einzigen Stelle der beiden grossen homerischen Gedichte.

41 f. εἵως μέν. Diesem Vordersatz entspricht als Gegensatz 47 αὐτὰρ ἐπεὶ – ἤλυθον; der durch δὲ hervorgehobene Nachsatz zu jenem zerfällt in zwei Glieder τόφρα δ' Ἀχαιοὶ μὲν — Τρῶας δὲ κτὲ. — κύδανον, vgl. zu η, 64 μελάνει: sie prangten herrlich, gebarten sich stolz.

45. ὅθ' ὁρῶντο, d. i. ὅτε.

48. ὦρτο δ' ἔρις κρατερὴ κτὲ. Nachsatz zu αὐτὰρ ἐπεὶ – ἀνδρῶν, da begann der gewaltige Kampf (während vorher die beiden Heere noch in einer gewissen Entfernung von einander waren). Durch αὖε δ' Ἀθήνη und 51 αὖε δ' Ἄρης werden die Mittel bezeichnet, welche den Kampf immerfort anregen und steigern.

49. στᾶσ' – παρὰ τάφρον, vgl. σ, 215 στῆ δ' ἐπὶ τάφρον ἰών.

50. ἄλλοτ' – ἄυτει. Veränderte Construction (vgl. zu γ, 80 λάεσσί τ' ἔβαλλον) = ὁτὲ δὲ ἐπ' ἀκτάων (στᾶσα oder μ. ἀυτοῦσα); d. h. auf den beiden Höhen, welche Schiffe und Lager einschliessen.

52. κατ' ἀκροτάτης πόλιος. Steigerung von κατ' ἄκρης πόλιος: zu oberst, von der obersten Höhe der Burg herab. — Uebrigens ist vor ὀξὺ – κελεύων, im Gegensatz des folgenden ἄλλοτε θέων, auch ein ἄλλοτε hineinzudenken oder ὁτὲ μέν, wie 49 f.

53. Καλλικολώνῃ, auf Seite der westlichen Anhöhen nördlich von Ilios, nach Welcker's Vermuthung derselbe Hügel, der β, 793 durch τύμβος Αἰσυήταο bezeichnet wird, so dass Καλλικολώνη (vgl. 151) nur ein anderer Name oder Beiname desselben wäre. Durch die **Burg** (52) und den **Schönbühl** (53) werden die äussersten Puncte des Feldes, über welches sich der Kampf erstreckt und das von den Troern besetzt ist, bezeichnet.

20 ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες
55 σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν.
δεινὸν δὲ βρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξεν
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα.
πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης
60 καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν.
ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀιδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθεν
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
65 σμερδαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
70 Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινή
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,

54f. τοὺς – σύμβαλον, vgl. α, 8 τίς τ' ἄρ – ξυνέηκε μάχεσθαι; Der folgende Satz drückt die Wirkung aus: sie liessen den Streit unter ihnen hervorbrechen.

56ff. δεινὸν δὲ βρόντησε. Auch hier gemahnt es den Leser, als ob ein ungeheures Gewitter mit Erderschütterungen und Austreten der Meerfluth dem Dichter Veranlassung zu seiner Schilderung gegeben, wo nicht die Sage selbst erzeugt hätte; vgl. zu ξ, 392.

59. πάντες – πόδες. Der ungewöhnliche Plural geht wohl auf die verschiedenen Höhen der Idakette, in welchem Sinne einem Gebirge ebenso viele πόδες als κορυφαὶ zugeschrieben werden können.

65. σμερδαλέα – θεοί περ, vgl. Hesiod. Theogon. 739 ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ. — εὐρώεις findet sich in dieser einzigen Stelle der Ilias, dreimal in der Odyssee. Nachgeahmt hat unsere Stelle Virgil. Aen. 8, 243–246.

66. τόσσος – ξυνιόντων, vgl. Hesiod. Theogon. 705 τόσσος δοῦπος ἔγεντο θ. ἔ. ξ.

67f. ἔναντα Ποσειδάωνος – Φοῖβος. Man bemerke die keineswegs zufällige Gegenüberstellung der Götter; doch kämpfen sie eigentlich auch hier nicht selbst mit einander (vergl. 119f. 134–137), sondern wollen nur durch ihre Anwesenheit und imponirende Stellung die von ihnen begünstigte Partei ermuthigen und stärken. Die metaplastische Form ἰὰ für ἰούς findet sich nur hier.

72. σῶκος (σαόω, σώζω) scheint verwandten Begriffs mit dem sonstigen Beiwort des Hermes διάκτορος, und synonym mit den Epithetis ἐριούνιος, ἀκάκητα.

ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης, | 20
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.
ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς | 75
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ἑ θυμὸς ἀνώγει
αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
ἀντία Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠύ· | 80
υἱεῖ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν.
τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων
„Αἰνεία Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πολεμίζειν;“ | 85
τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπεν
„Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν | 90
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσιν,
πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.

74. ὃν Ξάνθον – Σκάμανδρον. Ueber das Verhältniss solcher Doppelbenennungen vgl. zu β, 813.

77. τοῦ hängt vom folgenden αἵματος ab.

78. αἵματος – πολεμιστήν = ε, 289, wo die Anmerkung zu vergleichen ist. Vom Blute eines Feindes gesättigt wird Ares erst beim Tode desselben in der Schlacht.

80. ἀντία Πηλείωνος, um so den Achilleus von Hektor abzulenken, oder diesem doch Erleichterung zu verschaffen.

83. ἀπειλαί, d. i. λαμπραὶ ὑποσχέσεις.

84. βασιλεῦσιν, d. i. γέρουσιν, δημογέρουσιν, vgl. zu Od. θ, 390. — οἰνοποτάζων, bei einem öffentlichen Gastmahle oder Gelage (auf Kosten des Volkes).

85. Πηλείδεω – πολεμίζειν. Der Infinitiv hängt von ποῦ τοι ἀπειλαί ab: Wo sind deine Grosssprechereien, wo ist das Prahlen, vermöge dessen du dich vermassest zu kämpfen u. s. w. Vgl. Herodot. 7, 10 οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι.

87. τί με ταῦτα – κελεύεις, vgl. Od. θ, 153 τί με ταῦτα κελεύετε κερτομέοντες; Hier wird ταῦτα durch den folgenden Infinitiv noch erklärt.

90–93. ἀλλ' ἤδη με – γοῦνα, vgl. die Erzählung des Achilleus selbst unten 187–194. — ἐπῶρσε, ist durch Zeugma auch mit λ. γοῦνα verbunden.

20 ἤ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
95 ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος ἠδ' ἐκέλευεν
ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τῷ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει
100 πρὶν χροὸς ἀνδρομέοιο διελθεῖν. εἰ δὲ θεός περ
ἶσον τείνειεν πολέμου τέλος, οὔ με μάλα ῥέα
νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι."
τὸν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων
„ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
105 εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν·
ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ."
110 ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
οὐδ' ἔλαθ' Ἀγχίσαο πάις λευκώλενον Ἥρην
ἀντία Πηλείωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν.
ἡ δ' ἄμυδις στήσασα θεοὺς μετὰ μῦθον ἔειπεν.

96. *Λέλεγας*, vgl. zu *β*, 816 und *κ*, 430.

98. *αἰεὶ – ἀμύνει* = *ε*, 603 *τῷ δ' αἰεὶ πάρα κτέ.*

99. *καὶ δ' ἄλλως*, aber auch sonst, abgesehen von dem Beistande der Götter. — *τοῦ γε* hängt von *βέλος* ab.

101. *ἶσον – πολέμου τέλος*, vgl. zu *λ*, 336 *κατὰ ἶσα μάχην ἐτάνυσσε Κρονίων*. Der Nachdruck ruht ganz auf *ἶσον*, d. h. nicht ungleich, nicht einseitig den Feind begünstigend: „wenn nur ein Gott uns gleich zumässe des Krieges Entscheidung." — *νικήσει* s. v. a. *νικήσειεν ἄν*.

104. *ἥρως* als Anrede nur hier und *κ*, 416. — *καὶ σὺ – εὔχεο*, vgl. Od. *γ*, 47 *ἐπεὶ καὶ τοῦτον ὀίομαι ἀθανάτοισιν εὔχεσθαι*.

106. *χερείονος ἐκ θεοῦ*, der Thetis, einer geringeren Göttin, weil sie nach *α*, 538 nur *θυγάτηρ ἁλίοιο γέροντος* ist.

109. *λευγαλέοις ἐπέεσσιν* mit Beziehung auf ihre Wirkung: durch verderbliche d. h. Furcht und Feigheit einflössende, entmuthigende Reden; vgl. *ι*, 119 *φρεσὶ λευγαλέῃσι πιθήσας*.

111. *βῆ δέ*, näml. Aeneas, nachdem er von Apollon mit Muth erfüllt war, vgl. 112 f. 117.

114. *ἄμυδις στήσασα*, d. i. *ὁμόσε ἀγείρασα, εἰς ἓν συναγαγοῦσα*, vgl. zu *κ*, 300 *ἄμυδις κικλήσκετο*. *ν*, 336 *ἄμυδις ἱστᾶσιν*. — Zu *με-*

„φράζεσθον δὴ σφῶϊ, Ποσείδαον καὶ Ἀθήνη, 20
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα. 116
Αἰνείας ὅδ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῷ
ἀντία Πηλείωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ 120
παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
δευέσθω, ἵνα εἰδῇ ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἱ δ' αὖτ' ἀνεμώλιοι οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηιοτῆτα.
πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες 125
τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσιν
σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἅσσα οἱ αἶσα
γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.
εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκ πεύσεται ὀμφῆς,
δείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ 130
ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς."
τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων
„Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.

τὰ μῦθον ἔειπεν versteht sich aus dem vorhergehenden θεοὺς der Dativ αὐτοῖς, vgl. Od. μ, 319.

115. Ποσείδαον καὶ Ἀθήνη. Diese werden als die bedeutendsten von ihrer Partei angeredet; doch nehmen auch die andern und sogar die von der Gegenpartei an der Berathung Theil, vgl. 135 – 137. 144 – 152.

120. αὐτόθεν, von dort, d. i. von dem Peliden hinweg. — καὶ ἡμείων, wie Aeneas durch Apollon ermuthigt worden ist.

121. μηδέ τι – δευέσθω erg. κράτεος, und nicht ermangle er (durch das Bewusstsein des göttlichen Beistandes) der Kraft in seinem Gemüthe.

123. οἱ δ' αὖτ' ἀνεμώλιοι. Hera redet so unbefangen, als wären die Götter der Gegenpartei nicht zugegen, um sie gleichsam einzuschüchtern. Darum sagt sie 125 πάντες – κατήλθομεν, als ob alle Götter darüber Eines Sinnes wären, und nimmt auf Zeus' Rede oben 26 – 30 keine Rücksicht.

127 f. πείσεται – μήτηρ, vgl. Od. η, 197 f.

129. θεῶν ἐκ – ὀμφῆς einfach: durch die Mittheilung, durch den Mund eines Gottes (eines von uns Göttern).

131. χαλεποὶ – ἐναργεῖς für χαλεπὸν δὲ θεοὺς φαίνεσθαι ἐναργεῖς (wie Od. λ, 156 χαλεπὸν δὲ τάδε ζωοῖσιν ὁρᾶσθαι) oder χαλεποὶ θεοὶ φαινόμενοι ἐναργεῖς. Der Sinn ist nämlich: Schwer, gefährlich ist's, wenn (einem) die Götter leibhaftig erscheinen: wogegen er jedoch durch besondere Fürsorge oder Warnung eines Gottes geschützt werden kann (129).

133. μὴ χαλέπαινε παρὲκ νόον,

20 οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι·
135 [ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν·]
ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου ἐς σκοπιήν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἢ Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
140 αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀίω
ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
ἡμετέρης ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας."
ὣς ἄρα φωνήσας ἡγήσατο κυανοχαίτης
145 τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο,
ὑψηλόν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,
ὁππότε μιν σεύαιτο ἀπ' ἠιόνος πεδίονδε.
ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
150 ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισιν ἕσαντο.

ereifre dich nicht unverständig, zürne nicht unbedacht, nämlich dass Apollon den Aeneas zum Kampfe getrieben hat.

134. θεοὺς ist auf alle auf dem Schlachtfeld anwesenden Götter zu beziehen; der besonnene Gott wünscht, dass sie überhaupt nicht ohne die äusserste Noth (138 – 141) sich in den Kampf mischen. Der folgende Vers (ἡμέας τοὺς ἄλλους) hat ganz das Ansehen einer nachträglichen Verdeutlichung, u. bringt nichts wesentlich Neues bei.

136. ἔπειτα wird durch κιόντες – ἐς σκοπιήν erklärt, aber es sollte diesem nachstehen.

138. εἰ δέ κ' – ἄρχωσι, wenn sie aber (die andern uns entgegenstehenden Götter), sei es Ares oder Apollon, den Kampf beginnen. So ist hier das s. g. Schema Alcmanicum gerechtfertigt; vgl. indess Od. κ, 513. ξ, 216, wo die Subjecte durch τὲ — τὲ und τὲ — καὶ verbunden sind.

140. καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται, auch uns (von unserer Seite) wird sich der Kampf bei ihnen d. i. gegen sie erheben. — παρ' αὐτόφι, d. i. παρ' αὐτοῖς, πρὸς αὐτούς, gegen Ares, Apollon und ihre Genossen; vgl. ρ, 421 παρ' ἀνέρι τῷδε δαμῆναι. — διακρινθέντας erg. τοὺς ἄλλους θεούς.

143. ἀναγκαίηφι, Dativ wie βίηφι.

145. τεῖχος ἐς ἀμφίχυτον, auf den aufgeschütteten, aufgeworfenen Wall, der von den Troern zum Schutz für Herakles errichtet worden war, als er die Hesione vor jenem Seeungeheuer (τὸ κῆτος) retten wollte, also ohne Zweifel nahe am Meere (vgl. 50 ἐπ' ἀκτάων ἐριδούπων), doch etwas landeinwärts (vgl. 148 ἀπ' ἠιόνος πεδίονδε). Die andern Götter sitzen an den Abhängen der Kallikolone (151, vgl. 53).

150. ἀμφὶ womit zu verbinden?

οἱ δ' ἑτέρωσε καθῖζον ἐπ' ὀφρύσι Καλλικολώνης 20
ἀμφὶ σέ, ἤιε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
ὣς οἱ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
ὤκνεον ἀμφότεροι, Ζεὺς δ' ἥμενος ὕψι κέλευεν. 155
τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ λάμπετο χαλκῷ,
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
ὀρνυμένων ἄμυδις. δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι,
Αἰνείας τ' Ἀγχισιάδης καὶ δῖος Ἀχιλλεύς. 160
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν
πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.
Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὥς
σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν 165
ἀγρόμενοι, πᾶς δῆμος· ὁ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηιθόων αἰζηῶν
δουρὶ βάλῃ, ἐάλη τε χανών, περί τ' ἀφρὸς ὀδόντας
γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,

152. ἀμφὶ σέ, ἤιε Φοῖβε, vgl. zu ο, 365 ὡς ῥα σύ, ἤιε Φοῖβε.

154. δυσηλεγέος (vgl. Od. χ, 325 δυσηλεγέα θάνατον): des schlecht oder traurig bettenden.

155. ὤκνεον ἀμφότεροι ist nicht ein Hauptsatz, der einen Fortschritt bezeichnete, sondern mehr recapitulirende Begründung des vorhergehenden Satzes, vgl. 134 - 137. — Ζεὺς - κέλευεν, concessiv: obgleich Zeus sie (25) aufgefordert, es ihnen freigestellt hatte und fortwährend freistellte.

156. τῶν δ' ἅπαν ἐπλήσθη – knüpft an die 54f. angefangene Beschreibung der Menschenschlacht an. Die Worte καὶ λάμπετο χαλκῷ bezeichnen parenthetisch eine Folge des Hauptsatzes.

157. κάρκαιρε, ἅπ. εἰρημένον, nach Schol. ἐκραδαίνετο, ἐσείετο. Vgl. *krachen*, *craquer*, *crepare*.

158. δύο δ' ἀνέρες κτέ. Gleichsam ein zweiter und etwas verschiedener Anfang der Erzählung von 75 – 78 und 111f.

164 – 173. λέων ὥς – – ὁμίλῳ. Eine der lebenvollsten Ausführungen des Gleichnisses vom kämpfenden Löwen. — καί, auch, d. h. in Uebereinstimmung mit seiner Eigenschaft als σίντης, vgl. zu α, 249. Der Nachdruck ruht auf ἀγρόμενοι: geschaart, vereint. — πᾶς δῆμος, ein ganzes Volk, d. h. die Bewohner eines ganzen Bezirkes, eines Thales. — ἀτίζων, Schol. ἀτιμάζων, καταφρονῶν.

168. ἐάλη (vgl. ε, 823 ἀλήμεναι), Schol. συνεστράφη πρὸς τὸ πηδῆσαι. Der Aorist bezeichnet die schnell und unfehlbar eintretende Folge.

170 οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
171 μαστίεται, ἑὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι,
γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
ἀνδρῶν ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ.
ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
175 ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς
„Αἰνεία, τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν
ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει
180 ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισιν
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξῃς,
οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
εἰσὶν γάρ οἱ παῖδες, ὁ δ' ἔμπεδος οὐδ' ἀεσίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,
185 καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
ἤδη μὲν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.

170. *οὐρῇ – μαστίεται*, vgl. Hesiod. Scut. Herc. 430.

171. *ἑέ* nur hier und ω, 134 = ἕ, nach Analogie von ἑός = ὅς, die aber nicht ganz zutrifft.

173. *φθίεται = φθίηται*, auch von ἤν abhängig, vgl. ξ, 87 *ὄφρα φθιόμεσθα ἕκαστος*.

176 f. *οἱ δ' ὅτε – προσέειπε* = ζ, 121 f.

178. *τόσσον ὁμίλου πολλὸν ἐπελθών*, eine so grosse Strecke des Schlachtgetümmels weit durchwandelnd. Durch *πολλὸν* wird der schon in *τόσσον* liegende Hauptbegriff nachdrücklich wiederholt. Vgl. Od. δ, 75 *ὅσσα τάδ' ἄσπετα πολλά*.

180. *ἐλπόμενον – ἀνάξειν κτέ.* In seinem Kraftgefühl und der Gewissheit des Sieges spottet Achilleus der wohlgemeinten, aber nach seinem Massstabe schwachen Bemühungen des Aeneas ihn zu besiegen, als ob er dabei nur von Selbstsucht und kleinlichem Ehrgeiz geleitet würde. Zugleich dürfte auch eine Anspielung auf die unten 302 – 308 ausgesprochene und, wie es scheint, schon früh herrschende Meinung von einer höhern Bestimmung des Aeneas in diesen Worten liegen.

181. *τιμῆς τῆς Πριάμου*, in der Ehre des Priamos, d. h. im Besitze seiner (jetzigen) Würde. Vgl. Od. ω, 30 *τιμῆς ἀπονήμενος, ἧς περ ἄνασσες*.

183. *ἔμπεδος* erg. *τὰς φρένας*, was aus *ἀεσίφρων* (= *βεβλαμμένος τὰς φρένας*) herauszunehmen ist. Den Gegensatz von *ἔμπεδος* drückt γ, 108 *φρένες ἠερέθονται* aus.

184 f. *τέμενος – νέμηαι*, vgl. ζ, 194 f. *τέμενος – νέμοιτο*.

187 – 194. *ἤδη μὲν σέ γε – ἄλ-*

μέμνῃ ὅτε πέρ σε βοῶν ἄπο, μοῦνον ἐόντα, 20
κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσιν
ταλίμως; τότε δ' οὔ τι μετατροπαλίζεο φεύγων. 190
ν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τήν
τα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
δας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
οὐ νῦν σε ῥύεσθαι ὀίομαι, ὡς ἐνὶ θυμῷ 195
εαι· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
ληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
ὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο φώνησέν τε
λείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὣς 200
ο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτός
κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
ν δ' ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆας,
ιλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ' ἄρ' ἐγὼ σούς. 205
; σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
ὸς δ' ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης·
ρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο

gl. oben 90–93. — οὔ τι με-
παλίζεο (vgl. λ, 546 f.), d. h.
hest ohne Unterbruch und un-
tsam. — Zu der Verbindung
ῃ καὶ Διὶ vgl. ψ, 307 Ζεύς
σειδάων τε.
–198. ἀλλά σ' ἔγωγ' - ἔγνω
0–32. Die vier Verse 195 –
nd als Schluss der Rede kaum
behren.
. νηπύτιον ὣς vgl. ν, 292
ιοι ὥς. — νηπύτιος, Verlän-
g von νήπιος (vielleicht mit
elung auf ἠπύω, ἠπύτα),
t bei Homer, ausser ν, 292,
ı diesem und dem folgenden
, im Ganzen neunmal vor.
f. σάφα οἶδα–μυθήσασθαι.
s will sich dessen nicht rüh-
sondern nur den Achilleus ta-
deln, dass er bloss Schmähungen,
Spott (180–186) und frevele Worte
(Lästerungen, wie 195) gegen ihn
ausgesprochen, welche zu erwie-
dern auch ihm nicht schwer fallen
würde (246 – 255).

203. ἴδμεν - τοκῆας. Damit giebt Aeneas die frühere Begegnung mit Achilleus (187–194) auch ohne ausdrückliche Berührung derselben zu, vgl. aber auch 89 – 100.

204. πρόκλυτα, aus der Vorzeit durch den Ruf überlieferte. Schol. ὑπὸ τῶν προτέρων πεφημισμένα.

207. ἁλοσύδνης, vgl. Od. δ, 404. So heissen Apollon. Rhod. 4, 1599 die sämmtlichen Nereiden in Bezug auf ihren Vater θύγατρες ἁλοσύδναι.

20 εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ' Ἀφροδίτη
210 τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
ὧδε διακρινθέντε μάχης ἐξαπονέεσθαι.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν·
215 Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς,
κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιος ἱρή
ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπίδακος Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
220 ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσιν.
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,

210. *τῶν* (d. h. der in den vorhergehenden Versen genannten zwei Elternpaare) hängt von *ἕτεροι* ab. — *τῶν – κλαύσονται σήμερον* ist dichterischer Ausdruck für: Einer von uns beiden wird heute fallen. Peleus könnte wegen der Entfernung die Nachricht nicht am gleichen Tage erhalten, vgl. *ι*, 363.

211. *ἐπέεσσι – νηπυτίοισιν*. Er setzt voraus, dass Achilleus jedenfalls auch nicht zurücktreten werde.

213f. *εἰ δ' ἐθέλεις – ἴσασιν* scheint aus *ζ*, 150f. entlehnt. — *ταῦτα*, d. h. meine und meines Vaters entferntere Abstammung. Auf diesen Gegensatz zwischen der nähern und entferntern Abstammung deutet auch das folgende *αὖ*, dann.

216. *Δαρδανίη* ist nicht da zu denken, wo das spätere historische Dardanos lag, nämlich am Hellespont, unter Abydos, sondern mitten im Idagebirge hinter dem später gegründeten Ilios (vgl. *β*, 821 *Ἴδης ἐν κνημοῖσι*), welches letztere vergleichungsweise *ἐν πεδίῳ* lag, d. h. an die Ebene anstossend und a[n] den Vorbergen (vgl. Einleit. S. 33[)]. Die *ὑπώρειαι* sind also in der Mitt[e] zwischen der Ebene und den eigen[t]lichen Idahöhen zu denken, als d[ie] *κνημοί*, Abhänge der letztern (Un[ter]terberge).

220. *δὴ ἀφνειότατος*. Synizes[e] vgl. zu *θ*, 237 *ἄτῃ ἄασας*.

221. *ἕλος κάτα*, weil die Pfer[de] wasserreiche Gegenden lieben.

223. *τάων*, von diesen, d. h. ei[ne] Anzahl derselben (*ἵππων*, Stuten[)]. Denn er liebte doch nicht all[e]. Ebenso ist *αἱ δὲ* 225 nur auf di[e]sen Theil der Stuten zu beziehe[n]. — *Βορέης*, vgl. zu *π*, 150. So sa[gt] noch Virgil Georg. 3, 272 von brü[n]stigen Stuten: *illae Ore omn[es] versae in Zephyrum stant rup[i]bus altis Exceptantque leves a[u]ras: et saepe sine ullis Coniugi[is] vento gravidae mirabile dictu Sa[xa] per et scopulos et depressas co[n]valles Diffugiunt* cet. — *παρ[ε]λέξατο*, als ob von Menschen d[ie] Rede wäre.

ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ· 20
αἱ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους. 225
αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·
ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα· 230
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ' Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη. 235
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα,
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπον τε Κλυτίον θ' Ἱκετάονά τ' ὄζον Ἄρηος.
Ἀσσάρακος δὲ Κάπυν, ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον. 240

226. αἱ δέ, αἱ δυοκαίδεκα πῶλοι. Diese Schilderung erinnert an eine theilweise ähnliche Notiz ε, 265–272. — ἐπὶ ζείδωρον ἄρουραν, d. i. wie das Folgende zeigt: über ein Saatfeld.

227. ἄκρον – κατέκλων, vgl. das Fragment des Hesiodos (Fr. 156 Göttling) über den schnellfüssigen Iphiklos: ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα, ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων φοίτασκε πόδεσσιν .... καὶ οὐ σινέσκετο καρπόν.

229. ἄκρον ἐπὶ ῥηγμῖνος. Verschiedene Construction von 227. Dort ist nämlich ἐπ' ἀνθερίκων καρπὸν über die Frucht hin, hier aber ἐπὶ ῥηγμῖνος auf der Brandung, der brandenden, wogenden Fläche. So muss ἄκρον an der letztern Stelle als Adverbium gefasst werden: obenher, zu oberst, nur die Spitzen berührend. Doch würde die Concinnität der Rede sehr gewinnen, wenn man, dem Vers 227 genau entsprechend, mit H. L. Ahrens läse ἄκρον ἐπὶ ῥηγμῖνα. — ἁλὸς πολιοῖο = Od. ε, 410. Eine Paraphrase unserer Stelle giebt Apoll. Rhod. 1, 182 κεῖνος ἀνὴρ καὶ πόντου ἐπὶ γλαυκοῖο θέεσκεν οἴδματος, οὐδὲ θοοὺς βάπτεν πόδας, ἀλλ' ὅσον ἄκροις ἴχνεσι τεγγόμενος διερῇ πεφόρητο κελεύθῳ, vgl. Virg. Aen. 7, 808–811.

234. τὸν καὶ ἀνηρείψαντο, d. i. ἀνήρπασαν, vgl. Od. ο, 250f. — καὶ drückt die Beziehung auf κάλλιστος aus, wie es auch durch κάλλεος εἵνεκα οἷο nochmals erklärt wird. Da aber hier Ganymedes zum Mundschenk nur des Zeus bestimmt wird, so ist es nicht im Widerspruch damit, wenn δ, 2f. Hebe die Mundschenkin sämmtlicher Götter macht. Der Raub des Ganymedes wird auch ε, 265f. bezeugt.

238. Λάμπον – Ἄρηος = γ, 147.

240. Πρίαμος – Ἕκτορα. Der bedeutendste Gegner darf gerade

20 ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς,
245 ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δηιοτῆτος.
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
250 ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.
ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶιν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥς τε γυναῖκας,
αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
νεικεῦσ' ἀλλήλῃσι μέσην ἐς ἄγυιαν ἰοῦσαι,
255 πόλλ' ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα
πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον. ἀλλ' ἄγε θᾶσσον
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν."

Achilleus gegenüber nicht unerwähnt bleiben, vertritt aber die sämmtlichen Brüder.

242. *Ζεὺς – μινύθει τε.* Damit beantwortet Aeneas auch den ihm 187 ff. gemachten Vorwurf der Flucht; vgl. *ρ*, 177.

244. *μηκέτι ταῦτα λεγώμεθα*, vgl. zu Od. *γ*, 240.

245. *ἑσταότ' ἐν μ. ὑ. δ.*, d. h. in einem so wichtigen, Thaten fordernden Augenblick.

246. *ἔστι – ἀμφοτέροισιν*, wir können beide, ich so gut als du; vgl. zu 201 f.

247. *νηῦς ἑκατόζυγος.* Eine hyperbolische, wohl nur aus der Phantasie genommene Bezeichnung des grössten denkbaren Schiffes; denn Schiffe mit hundert Ruderbänken kannte das Zeitalter des Dichters nicht. Vgl. den *ἑκατόγχειρος Βριάρεως α*, 402.

249. *ἐπέων δὲ πολὺς νομὸς ἔ. κ. ἔ.*, vielfach ist, reich ist die Austheilung, der Wechsel der Worte (= *νώμησις*, Schol. *νέμησις*) hüben und drüben, hin und her; man giebt so viel zurück, als man empfängt. Hesiod. opp. e. d. 402 f. *σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις· ἀχρεῖος δ' ἔσται ἐπέων νομός.*

250. *ὁπποῖον – ἐπακούσαις.* Hesiod. opp. 721 *εἰ δὲ κακὸν εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.*

251–255. *ἀλλὰ τίη – κελεύει.* Der Gedanke von 244 wird von Aeneas in seiner Aufregung nochmals und in grösserer Ausführlichkeit wiederholt. — *νῶιν* hängt mit *ἀνάγκη* (*ἐστί*) zusammen, dagegen *ὥ. γυναῖκας* mit dem Infinitiv *νεικεῖν*, als Bestimmung des ausgelassenen Subjectes *ἡμᾶς* (*νῶι*).

255. *καὶ τὰ κελεύει*, d. i. *κελεύει νεικεῖν καὶ ταῦτα, τὰ οὐκὶ ἐτεά.*

ἦ ῥα, καὶ ἐν δεινῷ σάκεϊ ἔλασ' ὄβριμον ἔγχος, — 20
σμερδαλέῳ· μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ. — 260
Πηλείδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
ῥέα διελεύσεσθαι μεγαλήτορος Αἰνείαο,
νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμόν
ὡς οὐ ῥηίδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα — 265
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποείκειν.
οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων, — 270
τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην, τῇ ῥ' ἔσχετο μείλινον ἔγχος.
δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' εἴσην,
ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος θέε χαλκός, — 275

259. *ἐν δεινῷ σάκεϊ.* Zur Prosodie vgl. ω, 285 *χρυσέῳ ἐν δέπαϊ ὄφρα κτέ.* φ, 241 *ἐν σάκεϊ πίπτων.* Der Bau des Verses scheint das gewaltsame Abschnellen des Speeres anzudeuten.

260. *μέγα – ἀκωκῇ.* Das Verbum *μύκε* (Schol. *ἤχησε καὶ οὐ διεκόπη*) wird durch die adverbiellen Ausdrücke *μέγα* und *ἀμφὶ – ἀκωκῇ* näher bestimmt: laut dröhnte der Schild von der Spitze getroffen. Vgl. übrigens ν, 704.

262. *ἔσχετο,* Schol. *ἔξω ἀνέτεινεν ἑαυτοῦ,* vgl. 278. μ. 294 *ἀσπίδα πρόσθ' ἔσχετο* mit 298. Od. γ, 8 *προὔχοντο.*

265f. *οὐ ῥηίδι' ἐστὶ – δαμήμεναι,* vgl. 131 *χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.* Der Ausdruck *οὐ ῥηίδια* enthält eine gewisse Meiosis, indem die Ueberwältigung der göttlichen Waffen geradezu verneint werden soll. — Achilleus selbst kannte noch nicht den ganzen Werth des erhaltenen Geschenkes.

267f. *οὐδὲ τότ' – ῥῆξε σ.* Anwendung des allgemeinen Satzes (265f.) auf den vorliegenden Fall = *οὕτως οὐδὲ τότε ῥ.*, so durchbrach auch damals nicht. Ein wirkliches *ῥῆξαι* wäre es gewesen, wenn der Speer durch alle fünf Schichten gedrungen wäre. — *ῥῆξε – θεοῖο* = φ, 165, vgl. 594.

269. *ἔλασσε διὰ πτύχας,* nämlich *ἔγχος,* sie schlug, drang hindurch. Ein Beweis, dass es dem Wurf des Aeneas doch nicht an Nachdruck fehlte.

270. *ἐπεὶ πέντε πτύχας.* Ueber Lage und Folge dieser Schichten vgl. zu σ, 481.

272. *τῇ* = *ᾗ* (*μιᾷ χρυσέῃ*), Pronomen relat. — *ἔσχετο,* Schol. *τῆς ὁρμῆς ἐπαύσατο.*

274. *βάλεν Αἰνείαο κατ' ἀσπίδα* vgl η, 250 und ε, 305 *βάλεν Αἰνείαο κατ' ἰσχίον.*

275. *ἄντυγ' ὕπο πρώτην,* vgl. zu ζ, 118 *ἄντυξ πυμάτη,* und über den Gebrauch von *πρῶτος* ebend.

20 λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διαπρό
Πηλιὰς ἤιξεν μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχεν
δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
280 ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
ἀσπίδος ἀμφιβρότης. ὁ δ' ἀλευάμενος δόρυ μακρόν
ἔστη, κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσιν,
ταρβήσας ὅ οἱ ἄγχι πάγη βέλος. αὐτὰρ Ἀχιλλεύς
ἐμμεμαὼς ἐπόρουσεν, ἐρυσσάμενος ξίφος ὀξύ,
285 σμερδαλέα ἰάχων. ὁ δὲ χερμάδιον λάβε χειρί
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
ἔνθα κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ
ἢ κόρυθ' ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον,
290 τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων.
αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν.
„ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,

40 ἐν πρώτῳ ῥυμῷ. — ὑπό bezeichnet die Nähe.

276. ἐπέην ῥινός. Das Rindsfell war also hier über der Erzschicht und bildete die Aussenseite; anders als η, 223. 246 f.

277. λάκε, vgl. ν, 616 λάκε δ' ὀστέα.

278. ἐάλη, vgl. ν, 408 τῇ ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος.

279. ὑπὲρ νώτου verbinde mit ἱεμένη.

280. διὰ – κύκλους, sie trennte (durch die Erschütterung), riss auseinander die beiden Scheiben des Schildes, die rindslederne und die eherne: natürlich ehe das ἔστη eintrat. So braucht auch Aeschylos κύκλος und ἀσπίδος κύκλος.

282 f. κὰδ' δ' ἄχος οἱ χύτο – ὀφθαλμοῖσιν. Ein parenthetischer Nebensatz = während unendliche Bestürzung sich über seine Augen ergoss (und sie verdunkelte). — ταρβήσας hängt wieder mit dem Hauptverbum ἔστη zusammen.

285–287. σμερδαλέα – οἶος = ε, 302–304.

288. ἔνθα κεν Αἰνείας κτἑ. steht wie der folgende Satz τὸν δέ κε – ἀπηύρα schon in Beziehung auf 291 εἰ μὴ – νόησε.

289. τό geht auf σάκος, „welcher ihm abgewehrt hatte" nach 267–272.

290. σχεδὸν auch hier in der eigentlichen räumlichen Bedeutung σχεδὸν ἐλθὼν αὐτῷ (= φ, 179): in der Nähe und aus der Nähe, nach 283 f.

293. ἦ μοι ἄχος erg. ἐστίν oder γίγνεται. Die lange Rede in einem so entscheidenden Augenblicke ist mit Recht anstössig gefunden worden; denn die rettende That wird dadurch gegen das Verlangen des Lesers hinausgezogen. Merkwürdig ist aber und charakteristisch

ὃς τάχα Πηλείωνι δαμεὶς Ἄιδόσδε κάτεισιν, 20
πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο, 295
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεί
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ὑπὲκ θανάτου ἀγάγωμεν, 300
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεύς
τόνδε κατακτείνῃ. μόριμον δέ οἵ ἐστ' ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων. 305
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει
καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη
„ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον 310
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι ἦ κεν ἐάσεις.
[Πηλείδῃ Ἀχιλῆι δαμήμεναι ἐσθλὸν ἐόντα.]

für die Unbefangenheit des Dichters, dass er einen Gott, der sonst für die Feinde Partei nimmt, dem Aeneas zu Hülfe kommen lässt.

296. οὐδέ τί οἱ χραισμήσει λ. ὄ. erg. Ἀπόλλων. Der mit οὐδὲ beginnende Satz ist auch hier Begründung des durch νήπιος ausgesprochenen Urtheils, wie z. B. 264. 466. φ, 410.

298f. ἕνεκ' ἀλλοτρίων ἀχέων, wegen fremder Bekümmernisse (Noth), nämlich des Priamos von Paris und Helena her. — κεχαρισμένα - δίδωσι, vgl. Od. α, 60f. οὔ νύ τ' Ὀδυσσεύς - χαρίζετο ἱερὰ ῥέζων und ebend. 66f. — Ueber die Bezeichnung τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, die in der Iliade nur noch φ, 267 vorkommt, vgl. Einleit. zu Odyss. S. 17.

302. μόριμον für das gewöhnliche μόρσιμον kommt bei Homer nur hier vor.

303. ὄφρα μὴ - ὄληται, Grund des Verhängnisses. — Ueber ἄφαντος vgl. zu ζ, 60.

306. ἤδη γὰρ - Κρονίων, d. h. das Geschlecht des Priamos ist dem Untergange bestimmt.

307. νῦν δὲ δὴ - ἀνάξει. Mit dieser Stelle wurde die Sage von den verschiedenen angeblichen Niederlassungen der Troer (Teukrer) unter Aeneas, zuletzt auch der in Italien vorzüglich begründet. Vgl. Virg. Aen. 3, 97 *Hic domus Aeneae cunctis dominabitur oris, Et nati natorum et qui nascentur ab illis.*

310. αὐτὸς σὺ - νόησον, d. h. das überlassen wir dir, wir nehmen uns der Sache nicht an.

312. Πηλείδῃ - ἐόντα. Durch Weglassung dieses in den besten Handschriften fehlenden Verses er-

20 ἤτοι μὲν γὰρ νῶι πολέας ὠμόσσαμεν ὅρκους
πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
315 μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
δαιομένη, δαίωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
320 ἶξε δ' ὅθ' Αἰνείας ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλύν,
Πηλείδῃ Ἀχιλῆι· ὁ δὲ μελίην εὔχαλκον
ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο.
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
325 Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας.
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπεράλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας,
ἶξε δ' ἐπ' ἐσχατιὴν πολυάικος πολέμοιο,
ἔνθα τε Καύκωνες πόλεμον μέτα θωρήσσοντο.
330 τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει

hält das vorhergehende ἤ κεν ἐάσεις viel grösseren Nachdruck: oder ob du ihn preisgiebst; vgl. 456.

313–317. ἤτοι μὲν – Ἀχαιῶν. Dies muss in einen Zeitpunct gesetzt werden, welcher der Handlung der Ilias schon vorangeht: in dieser erscheinen beide Göttinnen von Anfang als erklärte Feindinnen der Troer.

316f. δάηται δαιομένη. Durch δαιομένη und die folgende Ausmalung δαίωσι – Ἀχαιῶν wird der Brand als geraume Zeit fortdauernd bezeichnet.

318. αὐτὰρ – ἐνοσίχθων = Od. ν, 159. Die Uebergangsformel auch unten φ, 377. ψ, 161.

320. ἠδ' ὁ κλυτὸς – Ἀ. Der Artikel im zweiten Gliede hat entgegensetzende Kraft, gleichsam: Aeneas und der andere, der gepriesene Achilleus.

322. ὁ δέ, d. h. eben derselbe Poseidon, ohne Gegensatz im Subjecte.

323. ἀσπίδος ἐξέρυσεν. Wahrscheinlich war nach 280 ein Theil d. h. die eine Scheibe des auseinander gerissenen Schildes mit der Lanze an den Boden geheftet worden, und aus dieser sowie zugleich aus dem Boden zog Poseidon dieselbe heraus.

327. θεοῦ ἀπὸ χειρὸς ὀρούσας, von der Hand des Gottes und durch dieselbe getragen (in Bewegung gekommen, in Schwung gebracht).

329. Καύκωνες, vgl. zu β, 851. κ, 430.

332. ὧδε – ἀτέοντα, d. i. ἀφρον-

ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι, 20
ὃς σεῦ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν;
ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ, 335
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄιδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει."
ὣς εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα. 340
αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
θεσπεσίην· ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν,
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα 345
λεύσσω τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
ἐρρέτω. οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο. 350
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών."
ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ.

τιστοῦντα, φρενοβλαβῆ, so tollkühn. Vgl. 183 ἀεσίφρων. Herodot. 7, 223 ἐπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε καὶ ἀτέοντες. Ohne Zweifel ist ἀτέοντα dreisilbig zu lesen.

335. ὅτε κεν συμβλήσεαι, vgl. 311 κεν – ἐρύσσεαι ἤ κεν ἐάσεις. Selbst die Götter anerkennen die allseitige Ueberlegenheit des Achilleus; aber auch hier wird 337 sein naher Tod in Aussicht gestellt.

342. μέγ' ἔξιδεν ὀ., er schaute gross heraus mit den Augen, d. h. verwundert, gleichsam er machte grosse Augen (nur ohne das Unedle dieses Ausdruckes).

345. τόδε wird durch ἐπὶ χθονὸς noch näher bestimmt.

347 f. ἦ ῥα – ἦεν, so sehe ich denn, dass auch Aeneas unter dem Schutz der Unsterblichen steht.

349. ἐρρέτω hier ohne feindselige Stimmung, nur abschätzig: fahr' er dahin = Od. ε, 139.

351. Δαναοῖσι – κελεύσας, wie Hektor ζ, 104–115.

353. ἐπὶ στίχας ἆλτο, Paraphr. ἐπὶ τὰς τάξεις ἥλατο, sprang, eilte durch die Reihen hin. Ein anderer Ausdruck für dieselbe Sache, die δ, 231. 250 durch ἐπεπωλεῖτο στίχας ἀνδρῶν bezeichnet war. Aehnlich, nur in Beziehung auf die feindlichen Reihen, 362 στιχὸς εἶμι διαμπερές, wo der Singular collectiv gesetzt ist.

20 „μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοί,
355 ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι.
ἀργαλέον δέ μοί ἐστι, καὶ ἰφθίμῳ περ ἐόντι,
τοσσούσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι.
οὐδέ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη
τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο.
360 ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ μέ τί φημι μεθησέμεν, οὐδ' ἠβαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ."
ὣς φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
365 κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμμεναι ἄντ' Ἀχιλῆος.
„Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα.
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
370 ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
τῷ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ."
ὣς φάτ' ἐποτρύνων, οἱ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες· τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀυτή.
375 καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων

357. τοσσούσδ' – ἐφέπειν, *hos tot viros obire*, bei so vielen, durch so viele Menschen herumzukommen. So auch 359. 494.

359. ὑσμίνης – στόμα lässt sich auch hier ähnlich nehmen wie κ, 8 und τ, 313: in den Schlund oder Rachen der Feldschlacht hineingehen, sich keck hineinwagen und ihn ganz durchmachen (ἐφέποι καὶ πονέοιτο = πονούμενος ἐφέποι). Uebrigens konnte bei solcher Verbindung leicht auch der spätere Begriff von στόμα μάχης — *acies* oder *frons pugnae*, die Schlachtlinie — sich entwickeln

361. οὔ μέ – φημί ganz objectiv, wie wenn er von einem Fremden spräche.

365. φάτο, er verhiess, εὐχετᾶτο, vgl. 371 f. und die Abmahnung des Apollon 376.

367. καί κεν ἐγὼν – μαχοίμην, d. h. grosse Worte zu brauchen wie Achilleus ist keine Kunst; wenn es nur darauf ankäme, wollte auch ich es selbst mit den Unsterblichen aufnehmen.

370. τελέει – κολούει. Aoristisches Präsens. μεσσηγὺ κολούει, er bricht in der Mitte ab.

371 f. εἰ πυρὶ – ἔοικε. Vgl. Einleit. S. 4.

374. ἄμυδις μίχθη μένος, vgl. δ, 447 = θ, 61 σὺν ῥ' ἔβαλον – μένε' ἀνδρῶν.

„Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆι προμάχιζε, **20**
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ' ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ."
ὣς ἔφαθ', Ἕκτωρ δ' αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν
ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος. 380
ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε, φρεσὶν εἱμένος ἀλκήν,
σμερδαλέα ἰάχων. πρῶτον δ' ἕλεν Ἰφιτίωνα
ἐσθλὸν Ὀτρυντείδην, πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη τέκε νηὶς Ὀτρυντῆι πτολιπόρθῳ
Τμώλῳ ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ. 385
τὸν δ' ἰθὺς μεμαῶτα βάλ' ἔγχεϊ δῖος Ἀχιλλεύς
μέσσην κὰκ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη.
δούπησεν δὲ πεσών, ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς.
„κεῖσαι, Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν.
ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνῃ 390
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώιόν ἐστιν,
Ὕλλῳ ἐπ' ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι."
ὣς ἔφατ' εὐχόμενος, τὸν δὲ σκότος ὄσσε κάλυψεν.
τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο
πρώτῃ ἐν ὑσμίνῃ· ὁ δ' ἐπ' αὐτῷ Δημολέοντα 395
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,

376. *μηκέτι πάμπαν*, vgl. zu Od. γ, 143 *οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε*. Der Kampf des Hektor soll auf das Ende aufgespart werden; ebenso 443.

377. *κατὰ πληθύν – δέδεξο*, Schol. *σὺν τοῖς ἄλλοις αὐτὸν ἐκδέχου*, empfange ihn unter dem (dichten) Haufen und von dem Gewühle aus. Hektor leistet auch 379 sogleich Folge.

380. *ὅτ' ἄκουσε*, als er vernommen, mit *ἐδύσετο* zu verbinden.

385. *Ὕδη* soll der alte Name von Sardes sein. Im Katalogos β, 864–866 werden zwei andere Führer der Maeoner genannt.

388. *ἐπεύξατο*, vgl. Einleit. S. 8.

389. *πάντων ἐκπαγλότατ' ἀνδρῶν*. Der erste der von Achilleus Erlegten muss natürlich ein ausgezeichneter Held sein.

391. *ὅθι τοι τέμενος*. Aus dem folgenden Vers lässt sich schliessen, dass dieses *τέμενος* nahe am Zusammenflusse des Hyllos und Hermos lag; vgl. Herodot. 1, 80.

394. *ἐπισσώτροις δατέοντο*, Schol. *διέκοπτον*, sie durchschnitten ihn mit den (ehernen und wahrscheinlich scharfkantigen, vgl. ε,725) Radschienen oder schnitten wenigstens in seinen Leib ein.

395. *ἐπ' αὐτῷ* entsprechend dem *πρῶτον* 382, vgl. 401. 407.

396. *ἐσθλὸν ἀλεξητῆρα μάχης*, Schol. *ἐν τῷ πολέμῳ ἀγαθόν*.

20 νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρῄου.
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δὲ
400 ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα,
πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὖτασε δουρί.
αὐτὰρ ὁ θυμὸν ἄισθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα
405 κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς ἐνοσίχθων.
ὣς ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ·
αὐτὰρ ὁ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην. τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
410 καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα·
δὴ τότε νηπιέῃσι, ποδῶν ἀρετὴν ἀναφαίνων,
θῦνε διὰ προμάχων, εἵως φίλον ὤλεσε θυμόν.
τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεύς,
νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες

397–400. *κυνέης – μεμαῶτα*, mit geringen Abweichungen = *μ*, 183–186, vgl. zu *λ*, 98 *πεπάλακτο*.

401. *καθ' ἵππων ἀΐξαντα*, der schnell vom Wagen gesprungen war, so dass die Handlung des Herabspringens vor dem Fliehen vollendet war.

403. *θυμὸν ἄισθε καὶ ἤρυγεν*, d. i. *ἤρυγε* (brüllte) *θυμὸν ἀίσθων*, wie *π*, 468 *ὁ δ' ἔβραχε θυμὸν ἀίσθων*. — Ueber *ἀίσθω* vgl. zu *ο*, 252 *ἄιον*.

404. *Ἑλικώνιον ἀμφὶ ἄνακτα*, d. i. *Ποσειδῶνα*, um den (am) Altar des Poseidon, dem nach Herodot. 1, 148 in dem Panionion bei Mykale von der Gesammtheit der Ioner ein jährliches Fest unter dem Beinamen *Ἑλικώνιος* gefeiert wird. Dieser Name aber sollte der Analogie nach vom Berg Helikon kommen, vgl. Hymn. 22, 3. Epigramm. 6, 2 Frank. Batrachom. 1; da aber dieser in beiden grossen Homerischen Gedichten nie erwähnt wird, so erhält die andere Ableitung von der Stadt *Ἑλίκη* (*β*, 575) grössere Wahrscheinlichkeit, über welche vgl. zu *θ*, 203 und das Zeugniss des Pausanias 7, 24, 5.

408. *οὔ τι – εἴασκε*, liess (bisher) immer nicht, wehrte es immer.

409. *νεώτατος – γόνοιο*, der jüngste der Geburt, d. h. der ihm Gebornen (jüngstgeborne).

410. *πόδ. πάντας ἐνίκα*, wie *β*, 792 Polites (ebenfalls ein Sohn des Priamos) *ποδωκείῃσι πεποιθώς*.

411. *ποδῶν ἀρ. ἀναφαίνων*, indem er hoffte, durch seine Schnellfüssigkeit dem Achilleus doch zu entrinnen.

414. *νῶτα παραΐσσοντος*, eigentlich in den Rücken des Vorbeistürzenden. Die Participialbestim-

χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ· **20**
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή, 416
γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψεν
κυανέη, προτὶ οἷ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον
ἔντερα χερσὶν ἔχοντα λιαζόμενον προτὶ γαίῃ, 420
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς· οὐδ' ἄρ' ἔτ' ἔτλη
δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆι
ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος. αὐτὰρ Ἀχιλλεύς
ὡς εἶδ', ὣς ἀνέπαλτο, καὶ εὐχόμενος ἔπος ηὔδα.
„ἐγγὺς ἀνὴρ ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν, 425
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δήν
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας.“
ἦ καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον
„ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.“
τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ 430
„Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτός
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.

mung ist, statt nach dem entferntern *τὸν* gerichtet zu sein, von dem unmittelbar vorangehenden *νῶτα* abhängig gemacht (attrahirt).

414 f. *ὅθι – θώρηξ*, vgl. zu *δ*, 132 f. Der Sinn ist in prosaischer Umschreibung: in der Gegend der Spangen des Gürtels, in derselben Höhe, aber ihnen gegenüber (weil im Rücken).

418. *προτὶ οἷ δ' ἔλαβ' ἔ. χερσί*, an sich nahm er, gegen sich zog er die Gedärme mit den Händen, *προσέλαβεν ἑαυτῷ*. Zur Stellung der Partikel *δὲ* nach dem von einer Präposition regierten Pronomen oder Adjectiv vgl. zu *δ*, 470. *η*, 248.

420. *ἔντερα – λιαζόμενον π. γ.*, wie er die Eingeweide in den Händen haltend an den Boden dahinsank.

421. *κάρ ῥα*, d. i. *κατ' ἄρα*, so dass *κατὰ* zu *ὀφθαλμῶν* gehört. — *οὐδ' – ἔτλη*, er vermochte es nicht mehr, konnte sich nicht halten. Auch die Form *στρωφᾶσθαι* drückt wie *ἔτι* und *δηρὸν* treffend aus, wie dem Hektor jede Zögerung lang erschien.

424. *ὡς – ὣς ἀνέπαλτο*, vgl. *ξ*, 294 *ὡς δ' ἴδεν – ὥς μιν ἔρως – ἀμφεκάλυψεν*. Achilleus springt vor Freuden hoch auf, da er den Hektor gegen sich anrücken sieht.

425. *ἐγγὺς ἀνήρ* etwas anders als *ξ*, 110. — Zu *ἐσεμάσσατο* vgl. *ρ*, 564.

427. *πτολέμοιο γεφύρας*, vgl. zu *δ*, 371.

429. *ἆσσον – ἵκηαι* = *ζ*, 143.

431–433. *Πηλείδη – μυθήσασθαι* = 200–202, wo Aeneas spricht.

20 οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
435 ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ. καὶ τό γ' Ἀθήνη
πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
440 ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεύς
ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ' ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
445 τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεύς
ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα.
„ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον. ἦ τέ τοι ἄγχι
450 ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων,
ᾧ μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἔμοιγε θεῶν ἐπιτάρροθός ἐστιν.
νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω."
455 ὣς εἰπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·
ἤριπε δὲ προπάροιθε ποδῶν. ὁ δὲ τὸν μὲν ἔασεν,
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε

434. *οἶδα δ' ὅτι – χείρων* ist keineswegs Ironie, sondern sich selbst erkennender Ernst, der auch wahren Muth giebt durch das Vertrauen auf den höhern Beistand.

435 f. *ἀλλ' ἤτοι – ἕλωμαι*, d. h. die Götter können gleichwohl meinen Waffen Glück geben.

437. *ἐπεὶ ἦ – πάροιθεν*. Wie es scheint ein sprüchwörtlicher Ausdruck: auch mein Speer ist scharf an der Spitze, d. i. es kann mir auch glücken, einen damit zu tödten.

439. *Ἀχιλλῆος* von *πάλιν ἔτραπε* abhängig (vgl. Od. η, 143) wie umgekehrt *Ἕκτορα δῖον* von *ἵκετο*.

441. *αὐτοῦ – προπάροιθε ποδῶν*, gerade vor seinen Füssen. Vgl. Od. ϑ, 68.

442. *ἐμμεμαώς*, *μετὰ προθυμίας*, vgl. zu ε, 142.

443. *τὸν δ' ἐξήρπαξεν Ἀ.*, vgl. zu 376. Zu den Versen 442–444 vgl. die nur wenig verschiedenen γ, 379–382.

445–448. *τρὶς – προσηύδα*, vgl. ε, 436–439. π, 702–706, 784–786.

449–454. *ἐξ αὖ – κιχείω*, vgl. zu λ, 362–367.

κὰγ γόνυ δουρὶ βαλὼν ἠρύκακε. τὸν μὲν ἔπειτα **20**
οὐτάζων ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν·
αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος, **460**
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην — ὁ μὲν ἀντίος ἤλυθε γούνων,
εἴ πώς εὑ πεφίδοιτο, λαβών, καὶ ζωὸν ἀφείη
μηδὲ κατακτείνειεν ὁμηλικίην ἐλεήσας, **465**
νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώς. ὁ μὲν ἥπτετο χείρεσι γούνων
ἱέμενος λίσσεσθ', ὁ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ **470**
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσε κάλυψεν
θυμοῦ δευόμενον. ὁ δὲ Μούλιον οὖτα παραστάς
δουρὶ κατ' οὖς· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο

458. ἠρύκακε, ἐπέσχε, κατέσχε τοῦ φυγεῖν.

461. ἄμφω fasst die zwei vorhergenannten Namen zusammen und ist zunächst mit ἐξ ἵππων ὦσε zu verbinden; bei ἐφορμηθεὶς hätte es kein Gewicht, da es sich bei diesem von selbst versteht.

463f. Τρῶα δ' Ἀλαστορίδην. Um den das Gemüth ergreifenden Hergang anschaulicher darzustellen, wird die kaum angefangene Rede durch eine erklärende Parenthese abgebrochen (ὁ μὲν ἤλυθε = ὁ μὲν γὰρ ἤλυθε), woran sich ein begründender Zwischensatz anschliesst (οὐ γάρ τι – ἐμμεμαώς). Dann wird die Nebenbestimmung der ersten Parenthese γούνων λαβὼν durch einen eigenen Satz ὁ μὲν ἥπτετο – λίσσεσθαι ausgemalt und endlich diesem das Verbum (οὖτα) entgegengestellt, das schon im Anfang bei Τρῶα dem Dichter vorschwebte.

464. εἴ πως – πεφίδοιτο – καὶ – ἀφείη hängt von γούνων λαβὼν = καὶ ἔλαβε γούνων ab, worin der Begriff des Anflehens enthalten ist, vgl. 468f.

466. νήπιος – ἔμελλεν, vgl. zu Od. γ, 146.

467f. οὐ γάρ τι – ἐμμεμαώς. So schildert den Achilles auch Horat. Art. poet. 121: *Impiger, iracundus, inexorabilis, acer Iura neget sibi nata, nihil non arroget armis.*

469. ἱέμενος λίσσεσθαι. Dem wirklichen Aussprechen seiner Bitten kam der tödtliche Schwertstoss zuvor.

470f. ἐκ δέ – ὄλισθεν, heraus glitt ihm die Leber: so gross war die ihm beigebrachte Wunde, vgl. 418. — κατ' αὐτοῦ – ἐνέπλησεν. κατὰ scheint als Adverbium zu ἐνέπλησεν zu gehören: bedeckend erfüllte seinen (des Tros) Busen. Vgl. ψ, 623 κατὰ ἐπείγει.

472. Μούλιος, verschieden von dem π, 696 von Patroklos erlegten (wo 694 auch ein Ἔχεκλος vorkommt) und mehrern andern.

20 αἰχμὴ χαλκείη. ὁ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
475 μέσσην κὰκ κεφαλὴν ξίφει ἤλασε κωπήεντι,
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντες
ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
480 αἰχμῇ χαλκείῃ· ὁ δέ μιν μένε χεῖρα βαρυνθείς,
πρόσθ' ὁρόων θάνατον. ὁ δὲ φασγάνῳ αὐχένα θείνας
τῆλ' αὐτῇ πήληκι κάρη βάλε· μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ', ὁ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.
αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱόν
485 Ῥίγμον, ὃς ἐκ Θρῄκης ἐριβώλακος εἰληλούθει·
τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν πνεύμονι χαλκός,
ἤριπε δ' ἐξ ὀχέων. ὁ δ' Ἀρηΐθοον θεράποντα,
ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέι δουρί
νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
490 ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντη τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
ὣς ὅ γε πάντη θῦνε σὺν ἔγχεϊ, δαίμονι ἶσος,
κτεινομένους ἐφέπων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
495 ὡς δ' ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους
τριβέμεναι κρῖ λευκὸν ἐυκτιμένῃ ἐν ἀλωῇ,

475–477. *ξίφει – κωπήεντι – κραταιή* = π, 332–334.

479. *τῇ* demonstrativ, entsprechend dem relativen *ἵνα τε.* — *διὰ χειρός*, durch den Arm = 480, vgl. zu λ, 252.

482. *τῆλ' αὐτῇ πήληκι.* So Virgil. Aen. 9, 770 *huic uno deiectum comminus ictu Cum galea longe iacuit caput.*

484. *Πείρεως* scheint verschieden von *Πείροος* β, 844.

486. *πάγη – χαλκός* = δ, 528, wo *πνεύμονι* zum Vorhergehenden genauer passt.

487. *θεράποντα* erg. *αὐτοῦ, Ῥίγμου.*

492. *πάντῃ – εἰλυφάζει*, vgl. zu λ, 156 *πάντῃ – εἰλυφόων.* Zum Schlusse der Schilderung des bisherigen Kampfes (455–489) werden die zahllosen Einzelheiten durch zwei Gleichnisse in Gesammtbilder zusammengefasst, von denen das erste mehr die unwiderstehliche Gewalt des Achilleus als Fusskämpfer, das zweite (495–499) die alles zerstörende Wirkung seiner starkhufigen Rosse andeuten soll. Ueberdies erregt das zweite, von dem friedlichen Geschäfte des Dreschens hergenommene eine wunderbare Mischung von Mitleid und wehmüthiger Resignation.

ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων, **20**
ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον, **500**
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ' ἀπ' ἐπισσώτρων. ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

Φ.

ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο, **21**
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
ἔνθα διατμήξας τοὺς μὲν πεδίονδε δίωκεν
πρὸς πόλιν, ᾗ περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
ἤματι τῷ προτέρῳ, ὅτε μαίνετο φαίδιμος Ἕκτωρ· **5**
τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ' Ἥρη

497. *λέπτ' ἐγένοντο* erg. *τὰ τριβόμενα*, das Getretene alles.
499–502. *στεῖβον – ἵετο*, vgl. zu *λ*, 534–537.

Fortgesetzte Schilderung der Kämpfe des Achilleus, an welche sich dann in neuen Gestaltungen die Kämpfe der Götter anreihen, zunächst des Xanthos, der schon durch sein Element ein Feind des Achilleus war, und des durch diesen nachgezogenen Hephästos; dann des Ares, der Athene, Aphrodite Artemis und Hera, die indessen im Grunde alle nur gegen einander, nicht gegen Sterbliche streiten, im Uebrigen aber mittelbar, ermunternd und anregend, auf die Kämpfenden einwirken. Dass aber die Götter auch wirklich im Kampfe auftreten würden, war schon nach *υ*, 56–74 und besonders der Gruppirung 67 ff. zu erwarten, da sie doch kaum in so grosser Zahl vom Olympos herabgestiegen sein konnten, nur um müssige Zuschauer zu werden. — Um 227 (vgl. 223 und 233) scheint sich eine Fuge von ursprünglich nicht zusammengehörigen Theilen zu verrathen, und so ist auch an einigen andern Stellen der Zusammenhang der Erzählung nicht ganz klar.

1 f. *ἀλλ' ὅτε – Ζεύς* = *ξ*, 433 f.

3. *ἔνθα διατμήξας κτἑ.* Mit dichterischer Kühnheit wird das, was eine Folge der äussern Umstände war, der Absicht des Helden zugeschrieben. Der Sinn ist nämlich wohl: so viele durch die Furth über den Fluss kommen konnten, flohen durch die Ebene gegen die Stadt; die andern (7 *ἡμίσεες*) stürzten (9 *ἐνέπεσον*) in blinder Angst in den durch Gewitterregen (*υ*, 56, unten 8, vgl. 388) angeschwollenen Fluss. — Mit *διατμήξας* vgl. Xen. Anab. 2, 5, 18 *τοσοῦτοι δ' εἰσὶ ποταμοί, ἐφ' ὧν ἔξεστιν ἡμῖν ταμιεύεσθαι ὁπόσοις ἂν ὑμῶν βουλώμεθα μάχεσθαι.*

4. *πρὸς πόλιν – φοβέοντο*, vgl. *ζ*, 41 *πρὸς π. ᾗ περ οἱ ἄλλοι κτἑ.*

6. *προχέοντο πεφυζότες*, sie ergossen sich in scheuer Flucht, *effuse fugiebant*; vgl. zu *ι*, 2 *φύζα*.

21 πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν. ἡμίσεες δὲ
ἐς ποταμὸν εἰλεῦντο βαθύρροον ἀργυροδίνην,
ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' αἰπὰ ῥέεθρα,
10 ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι περὶ δίνας.
ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμόνδε· τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ·
15 ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ
κεκλιμένον μυρίκῃσιν, ὁ δ' ἔσθορε δαίμονι ἶσος,
φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα,
20 τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
δειδιότες· μάλα γάρ τε κατεσθίει ὅν κε λάβῃσιν·
25 ὣς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα

7. *πίτνα – ἐρυκέμεν*, Hera breitete vor ihnen dichtes Gewölk aus, um ihre Flucht zu hemmen.

8. *εἰλεῦντο*, vgl. Od. λ, 573 *θῆρας ὁμοῦ εἰλεῦντα.*

10. *ἀμφὶ περί* (vgl. zu β, 305) beide adverbial: zu beiden Seiten umher oder entlang.

11. *ἔννεον* Simplex = *ἔνεον*, wie *ἔλλαβε* υ, 477. — *περὶ δίνας*, in den Wirbeln, Strudeln umher, wie Od. δ, 368 *περὶ νῆσον ἀλώμενοι*, vgl. oben σ, 372 *ἑλισσόμενον περὶ φύσας.*

12. *ἠερέθονται*, Schol. *εἰς ἀέρα αἴρονται*, sich erhebend und fliegend in der Luft schweben. Um nämlich die verheerenden Schwärme der Heuschrecken zu vertreiben, werden in Kypros u. a. grosse Feuer angezündet, vor denen sich jene ins Wasser flüchten.

17. *ὁ διογενής*, er, der Zeusentstammte. — *διογενής* nur hier als Bezeichnung der Person, und ι, 106 in der Anrede *διογενές* (von Agamemnon) so wie *διοτρεφές* unten 75. ω, 553. ω, 635 (von Achilleus); ψ, 594 (von Menelaos).

20 f. *τύπτε – ὕδωρ* = κ, 483 f. *κτεῖνε – γαῖα.*

22. *ὑπὸ δελφῖνος*, der sich durch seine Schnelligkeit und ausserordentliche Raubgier vor allen Thieren auszeichnet. Die Wahl der Vergleichung ist durch den Ort der geschilderten Handlung bestimmt.

23. *λιμένος εὐόρμου.* Zu diesem Versausgang vgl. σ, 288 *μέροπες ἄνθρωποι.*

24. *μάλα – κατεσθίει*, vgl. zu γ, 25.

πτῶσσον ὑπὸ κρημνούς. ὁ δ' ἐπεὶ κάμε χεῖρας ἐναίρων, 27
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος.
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠύτε νεβρούς,
δῆσε δ' ὀπίσσω χεῖρας ἐυτμήτοισιν ἱμᾶσιν, 30
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσιν,
δῶκε δ' ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας.
αὐτὰρ ὁ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων.
ἔνθ' υἷι Πριάμοιο συνήντετο Δαρδανίδαο
ἐκ ποταμοῦ φεύγοντι Λυκάονι, τόν ῥά ποτ' αὐτός 35
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
ἐννύχιος προμολών· ὁ δ' ἐρινεὸν ὀξέι χαλκῷ
τάμνε νέους ὄρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
τῷ δ' ἄρ' ἀνώιστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς.
καὶ τότε μέν μιν Λῆμνον ἐυκτιμένην ἐπέρασσεν 40
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκεν·
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκεν,

26f. *κρημνούς*, Schol. *τὰς ἐπικρεμαμένας ὄχθας τοῖς ὕδασιν.* — *ἐναίρων* bereitet auf das folgende *ζωοὺς – λέξατο* vor, welches der Ankündigung *σ*, 336f. entspricht. — Zu *λέξατο* vgl. *β*, 125 *λέξασθαι.*

29. *τεθηπότας ἠ. ν.* = *δ*, 243 *τεθηπότες ἠύτε νεβροί.*

31. *τοὺς – φορέεσκον*, vielleicht in der Hoffnung, selbst Gefangene zu machen (vgl. zu *χ*, 397), so dass sie jetzt für ihre vermessene Hoffnung empfindlich gestraft wurden. — Zu *στρεπτ. χιτῶσιν* vgl. *ε*, 113.

33. *δαϊζέμεναι*, d. h. fortwährend (mit dem Schwerte 18) zu morden.

35. *ἐκ ποταμοῦ φεύγοντι.* Wie es scheint, auf der Seite gegen das Schiffslager der Achäer. Ohne Zweifel wäre Lykaon lieber auf der andern Seite gegen Ilios hin geflohen, aber es ist ja leicht denkbar, dass ihm dies durch die Beschaffenheit des Ufers oder die dringende Gefahr des Augenblicks unmöglich gemacht wurde.

36. *ἀλωῆς*, Schol. *δενδροφόρου ἢ ἀμπελοφύτου γῆς*, vgl. Od. *α*, 193 *ἀνὰ γουνὸν ἀλωῆς οἰνοπέδοιο.*

37. *ἐννύχιος προμολών*, bei einem nächtlichen Streifzuge, vgl. *ι*, 325.

38. *νέους ὄρπηκας.* Beschränkende Apposition zu *ἐρινεόν*. Die starken jungen Schösslinge des wilden Feigenbaumes eignen sich durch ihre überall ziemlich gleiche Dicke, so wie durch ihre Biegsamkeit gut zu Wagenkränzen; vgl. zu *δ*, 486. *ε*, 262.

39. *τῷ δ' ἄρ' – ἤλυθε*, nämlich damals, bei jenem nächtlichen Ueberfall.

40. *ἐπέρασσεν*, Schol. *εἰς πέραν ἀπέδοτο*, vgl. zu Od. *ο*, 387.

41. *υἱὸς Ἰήσονος*, vgl. *η*, 468 *Ἰησονίδης Εὔνηος.*

21 Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην,
ἔνθεν ὑπεκπροφυγὼν πατρώιον ἵκετο δῶμα.
45 ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλεν
πέμψειν εἰς Ἀίδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι.
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς
50 γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν
„ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
55 ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχεν
πόντος ἁλὸς πολιῆς, ὃ πολέας ἀέκοντας ἐρύκει.
60 ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω
ἢ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει

43. *Ἴμβριος Ἠετίων*, zu unterscheiden von Eetion, dem Vater der Andromache und dem ρ, 575 erwähnten. — *Ἴμβρος* kam ν, 33 und ξ, 281 vor. — Ueber *Ἀρίσβην* vgl. β, 836.

44. *ὑπεκπροφυγών*. Wahrscheinlich brachte ihn Eetion nach Arisbe, um ihn vom Krieg entfernt zu halten, aber er kehrte selbst heimlich nach Troia zurück und nahm, nachdem er sich eilf Tage erholt hatte (45), wieder am Kampfe Theil.

48. *πέμψειν — νέεσθαι*. *εἰς Ἀίδαο νέεσθαι* hängt von *πέμψειν* ab und drückt die Folge aus, wie Od. δ, 8 *πέμπε νέεσθαι Μυρμιδόνων προτὶ ἄστυ*, ebend. ν, 206. Vgl. unten 120 *ἧκε φέρεσθαι*. — *οὐκ ἐθέλοντα = βίηφι*, wie 36.

49. *τὸν δ' ὡς οὖν ἐνόησε*. Der Nachsatz folgt 53 *ὀχθήσας δ' ἄρα εἶπε* (*Ἀχιλλεύς*).

50. *γυμνὸν* (vgl. zu ρ, 122) wird durch die folgenden Bestimmungen erklärt. — *οὐδ' ἔχεν ἔγχος* parenthetisch = *οὐδ' ἔγχος ἔχοντα*.

53. *ὀχθήσας*, weil er vorher schon in leidenschaftlicher Stimmung ist: ergrimmend.

55. *ἦ μάλα δή*, vgl. zu ε, 422.

56. *ὑπὸ ζόφου ἠερ.*, d. i. *ἐξ ᾅδου*. Vgl. ο, 191 *Ἀίδης δ' ἔλαχε ζόφον ἠερόεντα*.

57. *οἷον δὴ καὶ ὅδ' ἦλθε*. Begründung des Vorhergehenden durch ein Beispiel, vgl. Od. λ, 429 *οἷον δὴ καὶ κείνη ἐμήσατο ἔργον ἀεικές*.

59. *ὃ = ὅς*, *πόντος* (die Tiefe).

62. *ὁμῶς*, gleichmässig nämlich

γῇ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει." 21

ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθε τεθηπώς,
γούνων ἅψασθαι μεμαώς, πέρι δ' ἤθελε θυμῷ 65
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεύς
οὐτάμεναι μεμαώς, ὁ δ' ὑπέδραμε καὶ λάβε γούνων
κύψας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
ἔστη, ἱεμένη χροὸς ἄμεναι ἀνδρομέοιο. 70
αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῇ δ' ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον, οὐδὲ μεθίει.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„γουνοῦμαί σ', Ἀχιλεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφές, αἰδοίοιο· 75
πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτήν,
ἤματι τῷ ὅτε μ' εἷλες ἐυκτιμένῃ ἐν ἀλωῇ,
καί μ' ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
νῦν δὲ λύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν 80

wie von Lemnos her, also ebenso; vgl. zu Od. ο, 34. — Zu *ἐρύξει γῇ φυσίζοος* vgl. γ, 243 *τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα*, vgl. β, 699.

64. *μένων*. In seiner Siegesgewissheit beeilt sich Achilleus gar nicht mit dem Angriff auf Lykaon.

65. *πέρι δ' ἤθελε θυμῷ* = ω, 236. — *πέρι* ist Verstärkung zu *ἤθελε*, vgl. Od. ξ, 146 *πέρι γάρ μ' ἐφίλει καὶ κήδετο θυμῷ*.

67. *δόρυ μακρόν*. Er hatte sie also nach 17 *δ. μὲν λίπεν αὐτοῦ*, vgl. 33, wieder an sich genommen.

68. *ὑπέδραμε – γούνων* = Od. κ, 323.

69f. *ἐγχείη – ἔστη*. Weil Lykaon sich bückte, ging der Lanzenstoss (*οὐτάμεναι*) über ihn hinweg in die Erde.

70. *χροὸς ἄμεναι*, vgl. λ, 574 *χροὸς ἆσαι* und δ, 126 *ἐπιπτέσθαι μενεαίνων*.

72. *ἔχεν ἔγχος*, damit Achilleus sie nicht wieder aus dem Boden und an sich reisse.

75. *ἀντί – ἱκέταο* = *ἴσος ἱκέτῃ*, einem Schutzflehenden gleich zu achten. Schol. *ἱκέταο, τοῦ εἰς τὴν ἑστίαν ἥκοντος καὶ ἱκετεύοντος, τοῦ ἑκουσίως καταφυγόντος*. Auf das Recht eines *ἱκέτης* macht Lykaon darum Anspruch, weil er einmal unter Achilleus' Obdach gastlich aufgenommen war.

76. *πὰρ γ. σοὶ πρώτῳ*, bei dir zuerst, nämlich unter den Fremden, nachdem ich (unfreiwillig) das väterliche Haus verlassen hatte. — *Δημήτερος ἀκτήν* = ν, 322, vgl. zu Od. β, 355.

79. *ἑκατόμβοιον – ἦλφον*, vgl. Od. ο, 452 *ὁ δ' ὔμιν μυρίον ὦνον ἄλφοι*.

80. *λύμην – πορών* mit Beziehung auf 42 *ἐλύσατο πολλὰ δ' ἔδωκεν*. Durch diese Erwähnung

81 ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα
πολλὰ παθών. νῦν αὖ με τεῆς ἐν χερσὶν ἔθηκεν
μοῖρ' ὀλοή· μέλλω που ἀπέχθεσθαι Διὶ πατρί,
ὅς με σοὶ αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
85 γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.
τοῦ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
τῆς δὲ δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις.
90 ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέι δουρί·
νῦν δὲ δὴ ἐνθάδ' ἐμοὶ κακὸν ἔσσεται· οὐ γὰρ ὀίω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
95 μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε."
ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱός
λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ' ὄπ' ἄκουσεν.
„νήπιε, μή μοι ἄποινα πιφαύσκεο, μηδ' ἀγόρευε.
100 πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν

will er die Vorstellung begründen, dass auch Achilleus für seine Loslassung ein grosses Lösegeld erhalten könnte. — λύμην ist Aorist mit Perfectbedeutung.

83. μέλλω που ἀπέχθεσθαι κτέ. Schol. ἔοικα ἀπεχθὴς γεγονέναι τῷ Διί, vgl. Od. δ, 377 f. μέλλω ἀθανάτους ἀλιτέσθαι.

84 f. μινυνθάδιον – γείνατο, vgl. α, 352 ἐπεί μ' ἔτεκές γε μινυνθάδιόν περ ἐόντα. — Ueber Λαοθόη vgl. χ, 46 – 51.

87. Πήδασον αἰπήεσσαν = ζ, 35 Π. αἰπεινήν, vgl. υ, 92 – 96.

88. τοῦ δ' ἔχε θυγατέρα. Sowohl diese Bezeichnung der Verbindung als das χ, 48 der Laothoë gegebene Epitheton κρείουσα γυναικῶν und ihre ebendas. 51 erwähnte Mitgift sprechen dafür, dass sie nicht blosse παλλακίς war; erste Gemahlin des Priamos aber war Hekabe.

90. πρυλέεσσι, vgl. zu ε, 744. Den Tod des Polydoros schildert υ, 407 – 418.

93. ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων erg. ἐμὲ σοί, da mich eine (feindselige) Gottheit dir nahe gebracht, in deine Hände geführt hat.

95. ἐπεὶ οὐχ ὁμογάστριος κτέ. Charakteristisches Merkmal der feigen Schwäche, die ihre Hoffnung auf das gründet, was sie an sich eher zu beklagen oder zu bedauern Ursache hätte.

99. μή μοι ἄποινα. Vgl. zu 80 νῦν δὲ λύμην.

101. πεφιδέσθαι – φίλτερον ἦεν.

Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ' ἐπέρασσα·
νῦν δ' οὐκ ἔσθ' ὅς τις θάνατον φύγῃ, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσιν,
καὶ πάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων. 105
ἀλλὰ φίλος θάνε καὶ σύ. τίη ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων.
οὐχ ὁράᾳς οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή. 110
ἔσσεται ἢ ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ
ὁππότε τις καὶ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται,
ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀιστῷ."
ὣς φάτο, τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
ἔγχος μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας 115
ἀμφοτέρας. Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ

Vgl. das Benehmen des Achilleus gegen Eetion ζ, 416–419. Das nach τόφρα eingeschobene τὶ nimmt der Behauptung etwas von ihrer Bestimmtheit, vgl. zu Od. ι, 11.

103. *οὐκ ἔσθ' ὅς τις – φύγῃ.* Subject zu *οὐκ ἔστιν* ist ein durch den folgenden Relativsatz *ὅν κε – βάλῃσιν* beschränktes *τὶς = οὐδεὶς ὅν κε θεὸς – βάλῃ θάνατον οὐ μὴ φύγῃ*, keiner fürwahr, den ein Gott – in meine Hände fallen lässt, wird dem Tode entgehen. Durch den Conjunctiv *ὅς τις – φύγῃ* wird die Behauptung mehr auf die vorhandene Wirklichkeit bezogen, als wenn es hiesse *ὅς τις – φύγοι* wie χ, 348 *οὐκ ἔσθ' ὅς – ἀπαλάλκοι.*

105. *περὶ δ' αὖ Πρ. παίδων.* Veränderte Construction, da nach *καὶ πάντων Τρώων* eigentlich hätte folgen sollen *καὶ δὴ Πριάμοιό γε παίδων*, sowohl – als namentlich. Für *καὶ π. Τρώων* hätte es aber auch heissen können *περὶ (μὲν) πάντων Τρώων.*

106. *φίλος* als Anrede entbehrt besser der Interpunction, weil es eigentlich erst zu dem folgenden *σύ* gehört. Mit *φίλος* aber kann Achilleus den Lykaon ohne Heuchelei und Spott anreden, weil er, ohne Erbitterung gegen ihn, als Werkzeug des Verhängnisses ihn zur Sühne für Patroklos glaubt tödten zu müssen.

110. *ἔπι* (= *ἔπεστι*, vgl. Od. γ, 324 *πάρα τοι*) *καὶ ἐμοί*, auch über mir schwebt, mir ist bestimmt.

111 f. *ἔσσεται – ὁππότε.* Detaillirte Ausführung von *ἔσσεται ἦμαρ ὅτ' ἄν ποτε* δ, 164 = ζ, 448. Der allgemeine Begriff Tag wird in seine dreiHauptheile zerlegt. — Zu der hier 108–113 so ergreifend ausgesprochenen Todesahnung vgl. τ, 407–423.

112. *Ἄρει* (431) wie β, 385 *στυγερῷ κρινώμεθ' Ἄρηι.*

114. *τοῦ δ' αὐτοῦ* vgl. unten 425. — *αὐτοῦ*, Adverbium des Ortes und der Zeit: *illico*, auf der Stelle, alsbald.

115. *ἔγχος – ἀφέηκεν* in Beziehung auf 72 *ἔχεν – οὐδὲ μεθίει.*

21 τύψε κατὰ κληῗδα παρ' αὐχένα, πᾶν δέ οἱ εἴσω
δῦ ξίφος ἄμφηκες· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
κεῖτο ταθείς, ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
120 τὸν δ' Ἀχιλεὺς ποταμόνδε λαβὼν ποδὸς ἧκε φέρεσθαι,
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν.
„ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλήν
αἷμ' ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
125 οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
ἰχθύς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ', εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
130 οὐδ' ὑμῖν ποταμός περ ἐύρροος ἀργυροδίνης
ἀρκέσει, ᾧ δὴ δηθὰ πολέας ἱερεύετε ταύρους,
ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.

120. *ποταμόνδε* verbinde mit *ἧκε φέρεσθαι*, indem der Begriff des Ziehens (*ἐρύσσας* nach Od. ι, 99) noch hinein zu denken ist.

122. *ἐνταυθοῖ – κεῖσο*, vgl. Od. σ, 105 = υ, 262 *ἐνταυθοῖ νῦν ἧσο*. — *οἵ σ' ὠτειλήν*, d. i. *οἵ σε ὠτειλὴν ἀπολιχμ.* — *σὲ* ist Accusativ des Ganzen, parallel mit *ὠτειλήν* als seinem Theile.

123. *ἀκηδέες*, Schol. *μὴ κηδόμενοι, μηδεμίαν φροντίδα ἔχοντες*, mit Bezug auf die Sorge, die man sonst den Todten zu erweisen pflegt. Vgl. ψ, 159 f. *οἷσι μάλιστα κήδεός ἐστι νέκυς* und ebend. 163. 674 *κηδεμόνες*.

124. *ἐνθεμένη λεχ.*, vgl. σ, 352 *ἐν λεχέεσσι δὲ θέντες*.

125. *εἴσω ἁλὸς – κόλπον* ist stärker als *εἰς – κόλπον*: bis hinein in den weiten Busen des Meeres.

126 f. *θρώσκων τις – ἰχθύς*. Ueber den Begriff von *φρὶξ* vgl. zu η, 63 f. Der Accusativ *φρῖκα* aber bezeichnet das Ziel von *ὑπαΐξει*. Der Sinn ist also: Schnellend wird mancher Fisch in den Wogen (des Meeres) an das dunkle Gekräusel, die schwarzgekräuselte Oberfläche — (nie heisst das ruhige Meer schwarz) — emporschiessen, dass er fresse vom Fett des Lykaon (dessen Leichnam, wann er schon längere Zeit ertrunken ist, auf der Oberfläche umherschwimmt). — Zu *ὅς κε φάγῃσι* vgl. Od. δ, 389 *ὅς κέν τοι εἴπῃσιν*.

128. *φθείρεσθε*. An den Untergang des Einzelnen wird noch eine Verwünschung der gesammten Troer angeknüpft: Verderben über euch!

129. *ὑμεῖς μὲν – ἐγὼ δὲ* ist mit *κιχείομεν* zu construiren.

131. *δηθά*, schon lange und immerfort — um seine Gunst für den Ausgang dieses Krieges zu erlangen. Flussgöttern dargebrachte Opfer erwähnt auch Herodotos mehrmals (7, 113. 8, 138), und oben ε, 77 fanden wir einen Dolopion als *ἀρητὴρ Σκαμάνδροιο* genannt.

ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες 21
τίσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε νόσφιν ἐμεῖο." 135
ὣς ἄρ' ἔφη· ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον,
ὥρμηνεν δ' ἀνὰ θυμὸν ὅπως παύσειε πόνοιο
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
τόφρα δὲ Πηλέος υἱός, ἔχων δολιχόσκιον ἔγχος,
Ἀστεροπαίῳ ἐπᾶλτο κατακτάμεναι μενεαίνων, 140
υἱέι Πηλεγόνος· τὸν δ' Ἀξιὸς εὐρυρέεθρος
γείνατο καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
πρεσβυτάτη· τῇ γάρ ῥα μίγη ποταμὸς βαθυδίνης.
τῷ δ' Ἀχιλεὺς ἐπόρουσεν, ὁ δ' ἀντίος ἐκ ποταμοῖο
ἔστη ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκεν 145
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
τοὺς Ἀχιλεὺς ἐδάιζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς
„τίς πόθεν εἰς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν; 150
δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν."
τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός
„Πηλείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
εἴμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,
Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν 155
ἠὼς ἐνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα.

135. *νόσφιν ἐμεῖο*, d. h. weil, während ich fern war (*ἐμεῦ ἀπομηνίσαντος*).

136. *χολώσατο κηρόθι μᾶλλον*. Er zürnte schon über das schonungslose Hinmetzeln der Troer in seinen Fluthen (146 f.), aber jetzt mehr noch wegen der übermüthigen Geringschätzung, die Achilleus gegen ihn aussprach (130—133).

137. *πόνοιο*, vom fernern Kampfe.

140. *Ἀστεροπαίῳ*, vgl. zu *β*, 848 *Πυραίχμης*.

141. *τὸν δέ*, *Πηλεγόνα* (159). — *Ἀξιός*, vgl. *β*, 849.

144. *τῷ δ' — ἐπόρουσεν* führt die Erzählung auf 140 *Ἀστεροπαίῳ ἐπᾶλτο* zurück.

146. *δαϊκταμένων*. Seltene Zusammensetzung (= 301) wie *χ*, 72 *ἀρηικτάμενος* = *ἀρηίφατος*.

151. *δυστήνων παῖδες κτἑ*. Vgl. zu *ζ*, 127.

153. *μεγάθυμε — ἐρεείνεις* = *ζ*, 145.

155. *Παίονας δολιχεγχέας*. Dagegen *β*, 848 *Π. ἀγκυλοτόξους*, unten 205 *ἱπποκορυστάς*.

21 αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρυρέοντος,
Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φασιν
160 γείνασθαι. νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ."
ὣς φάτ' ἀπειλήσας, ὁ δ' ἀνέσχετο δῖος Ἀχιλλεύς
Πηλιάδα μελίην. ὁ δ' ἁμαρτῇ δούρασιν ἀμφίς
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν·
καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διαπρό
165 ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρός
δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἡ δ' ὑπὲρ αὐτοῦ
γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
170 Ἀστεροπαίῳ ἐφῆκε κατακτάμεναι μενεαίνων.
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλείδης δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἆλτ' ἐπί οἱ μεμαώς· ὁ δ' ἄρα μελίην Ἀχιλῆος
175 οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ.
τρὶς μέν μιν πελέμιξεν ἐρύσσεσθαι μενεαίνων,
τρὶς δὲ μεθῆκε βίης· τὸ δὲ τέτρατον ἤθελε θυμῷ

157–160. αὐτὰρ ἐμοὶ – γείνασθαι nach 141–143. Zu Vers 158 Ἀξιοῦ – ἵησιν vgl. β, 850 mit d. Anm.

162. ὁ δ' ἁμαρτῇ in Beziehung auf das vorhergehende ἀνέσχετο. Denn der von Achilleus beabsichtigte Wurf wird erst 169f. vollführt. — Bei δούρασιν ἀμφίς (von beiden Seiten) schwebt schon das Verbum βάλεν an.

163. περιδέξιος = ἀμφιδέξιος, welches in den Hexameter nicht passte.

165. ῥῆξε – θεοῖο = υ, 268.

166. ἐπιγράβδην βάλε, vgl. δ, 139 ἀκρότατον ἐπέγραψε.

167. ἡ δέ, erg. αἰχμή aus δόρυ (in τῷ δ' ἑτέρῳ), weil der folgende Zug nicht sowohl vom ganzen δόρυ als von der Spitze gilt. Vgl. zu λ, 238 τό γε.

169. μελίην ἰθυπτίωνα. Das nur hier vorkommende Beiwort ἰθυπτίων wird erklärt durch υ, 99 τοῦ γ' ἰθὺ βέλος πέτεται κτέ.

171. ὑψηλὴν ὄχθην, wohl noch immer auf der gleichen Seite gegen das achäische Schiffslager, vgl. 144f.

172. μεσσοπαγὲς – κατ' ὄχθης, Paraphr. ἕως τοῦ μέσου πεπηγὸς ἔστησε κ. τῆς ὄ., bis in die Mitte machte er feststeckend im Ufer (eigentlich in das Ufer hinab), d. h. er machte, dass der Speer bis zur Mitte in das (sumpfige) Ufer hineindrang. Was hier ὄχθη heisst, ist 175 und 200 κρημνός.

176ff. τρὶς – βίης, vgl. zu Od.

ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο, 21
ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα.
γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶσαι 180
χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
ἀσθμαίνοντ'. Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσας
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα.
„κεῖσ' οὕτως. χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
παισὶν ἐριζέμεναι, ποταμοῖό περ ἐκγεγαῶτι. 185
φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρυρέοντος,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.
τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσιν,
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.
τῷ κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων, 190
κρείσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν. ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῷ οὐδὲ κρείων Ἀχελώιος ἰσοφαρίζει,
οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο, 195
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·

φ, 125f. — *Αἰακίδαο* vgl. 189 *Πηλεὺς Αἰακίδης*.

179ff. *σχεδόν*, vgl. zu *υ*, 290. — *παρ' ὀμφαλόν* - *κάλυψεν* = *δ*, 525f.

187. *γενεήν* wie Od. o, 225 *γενεὴν Μελάμποδος ἔκγονος ἦεν*, und so ist auch *γένος* im vorigen Verse zu nehmen. Die Genitive *ποταμοῦ* und *μεγάλου Διὸς* hangen von *ἔμμεναι* und *εἶναι* ab.

189. *ὁ δ' ἄρ'* - *ἦεν*, der aber, Aeakos, war ja ein Sohn des Zeus.

190. *τῷ* entspricht hier dem lateinischen *atqui*.

191. *ποταμοῖο* brachylogisch für *γενεῆς ποταμοῖο*, vgl. zu Od. *β*, 121 *ὁμοῖα νοήματα Πηνελοπείῃ*.

192. *καὶ γὰρ* - *πάρα μέγας*, d. h. denn auch du hast freilich einen mächtigen Strom (Xanthos) als Beistand zur Seite, aber gegen Zeus, der meine Waffen begünstigt, wird auch dieser nichts ausrichten.

194. *οὐδὲ κρείων Ἀχελώιος*. Aus dieser Bezeichnung und der Steigerung der folgenden Verse geht hervor, dass der Acheloos einem Theile des griechischen Alterthums für den bedeutendsten Fluss (mit einziger Ausnahme des Okeanos) galt: woraus vielleicht auf die Gegend, in welcher dieser Mythos entstand oder sich ausbildete, geschlossen werden kann. Unweit des Acheloos lag auch Dodone, dessen Gott Achilleus *π*, 233ff. so feierlich anruft.

196f. *ἐξ οὗ περ* - *νάουσιν*. Eine noch höhere Stellung wird dem Okeanos *ξ*, 201. 246 beigelegt.

21 ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνόν
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.“
200 ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος.
τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
κείμενον ἐν ψαμάθοισι· δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·
205 αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστάς,
οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
χέρσ' ὕπο Πηλεΐδαο καὶ ἄορι ἶφι δαμέντα.
ἔνθ' ἕλε Θερσίλοχόν τε Μύδωνά τε Ἀστύπυλόν τε
210 Μνῆσόν τε Θρασίον τε καὶ Αἴνιον ἠδ' Ὀφελέστην.
καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεύς,
εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης,
ἀνέρι εἰσάμενος, βαθέης δ' ἐκφθέγξατο δίνης,
„ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις
215 ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε·
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,

201 f. *τὸν δέ, Ἀστεροπαῖον.* — Zu *κατ' αὐτ. λεῖπεν* vgl. zu Od. *φ*, 55. Daraus, dass er auf dem Sande (dem sandigen Ufer oder seinem Abhange) liegt und doch das Wasser des Flusses ihn bespült, ergiebt sich, dass dieser entweder ausgetreten ist oder doch sein Bett ganz füllt. — *ψάμαθος* nur hier und 319 vom Flusssand.

203. *ἐγχέλυές τε καὶ ἰχθύες.* Aale und andere Fische (*γ*, 1 *Τρῶάς τε καὶ Ἕκτορα*).

204. *δημὸν – ἐπινεφρίδιον*, d. i. *δημὸν τὸν ἐπὶ νεφροῖς.* Das erste Participium *ἐρεπτόμενοι* bezeichnet die Art und Weise der durch das zweite *κείροντες* ausgedrückten Handlung: indem sie abnagend, abbeissend, schrappend verzehrten.

206. *ἔτι πὰρ ποταμόν*, also wohl auch noch diesseits, d. h. ohne über die Furth gegangen zu sein.

209. *Μύδων*, verschieden von dem *ε*, 580 vorgekommenen Paphlagonièr dieses Namens.

213. *ἀνέρι εἰσάμ.*, weil er eben sprechend eingeführt wird. — *βαθέης δ' ἐκφθέγξατο δ.* ist nachträgliche Bestimmung zu *προσέφη* = *πρ. ἐκφθεγξάμενος βαθέης δίνης.*

214 f. *περὶ – ἀνδρῶν*, vgl. Od. *α*, 66 *περὶ μὲν νόον ἐστὶ βροτῶν κτἑ.* — *αἴσυλα ῥέζεις* wird erklärt durch 220 *κτείνεις ἀιδήλως* in Verbindung mit 217 f.

218. *ἐρατεινὰ ῥ.*, wegen ihrer

οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν 21
στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀιδήλως. 220
ἀλλ᾽ ἄγε δὴ καὶ ἔασον· ἄγη μ᾽ ἔχει, ὄρχαμε λαῶν."
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„ἔσται ταῦτα, Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις.
Τρῶας δ᾽ οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
πρὶν ἔλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι 225
ἀντιβίην, ἤ κέν με δαμάσσεται ἦ κεν ἐγὼ τόν."
ὡς εἰπὼν Τρώεσσιν ἐπέσσυτο δαίμονι ἶσος.
καὶ τότ᾽ Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης
„ὢ πόποι, ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλάς
εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ᾽ ἐπέτελλεν 230
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ
δείελος ὀψὲ δύων, σκιάσῃ δ᾽ ἐρίβωλον ἄρουραν."
ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ
κρημνοῦ ἀπαΐξας· ὁ δ᾽ ἐπέσσυτο οἴδματι θύων,
πάντα δ᾽ ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκρούς 235
πολλούς, οἵ ῥα κατ᾽ αὐτὸν ἅλις ἔσαν, οὓς κτάν᾽ Ἀχιλλεύς.
τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠύτε ταῦρος,

sonstigen Beschaffenheit; vgl. Od. ζ, 74 ἐσθῆτα φαεινήν.

220. στεινόμενος νεκύεσσι, vgl. Od. ι, 445 λάχνῳ στεινόμενος καὶ ἐμοί.

225 f. ἔλσαι κατὰ ἄστυ wird unten 295 durch κατὰ Ἰλιόφι – τείχεα λαὸν ἐέλσαι umschrieben, vgl. α, 409, — Der Dativ Ἕκτορι hängt von dem in πειρηθῆναι ἀντιβίην liegenden Begriff des Kampfes ab = Ἕκτορι ἀντιβίην ἐλθὼν nach ε, 220. Das Object zu πειρηθῆναι bildet das folgende Doppelglied ἤ – δαμάσσεται ἦ – τόν.

228–232. καὶ τότ᾽ Ἀπόλλωνα κτἑ. Diese Anrede an Apollon unmittelbar nach der allem Ansehen nach bejahenden Antwort des Achilleus 223 kommt ganz unerwartet und bleibt ohne Erwiederung und Erfolg. Aber wie wir schon im Vorwort zu diesem Buche andeuten, scheint hier oder 233 ein neuer Abschnitt zu beginnen, dem vermuthlich die Stelle 136–227 nicht voranging.

229 f. βουλὰς – Κρονίωνος, vgl. υ, 25–30. Doch deutet der Ausdruck unserer Stelle auf noch bestimmtere Aufträge, den Troern beizustehen.

232. δείελος = δείελον ἦμαρ. Durch das Epitheton ὀψὲ δύων (vgl. Od ε, 272 ὀψὲ δύοντα Βοώτην) wird dem Abend zugeschrieben, was der Sonne am Abend zukommt: der spät sinkende Abend.

233. ἦ, καὶ Ἀχιλλεὺς μέν. Eine ähnliche Verbindung mit demselben Wechsel des Subjectes ist unten ω, 643 ἦ ῥ᾽, Ἀχιλεὺς δ᾽ ἑτάροισιν. Das unmotivirte Wiederhineinspringen (ἔνθορε μέσσῳ) lässt sich mit 217. 223 nicht in Einklang bringen.

21 χέρσονδε· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνῃσι βαθείῃσιν μεγάλῃσιν.
240 δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὦθει δ' ἐν σάκεϊ πίπτων ῥόος· οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι. ὁ δὲ πτελέην ἕλε χερσὶν
εὐφυέα μεγάλην· ἡ δ' ἐκ ῥιζέων ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
245 ὄζοισιν πυκινοῖσι, γεφύρωσεν δέ μιν αὐτόν
εἴσω πᾶσ' ἐριποῦσ'. ὁ δ' ἄρ' ἐκ δίνης ἀνορούσας
ἤιξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
δείσας. οὐδέ τ' ἔληγε μέγας θεός, ὦρτο δ' ἐπ' αὐτόν
ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
250 δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδης δ' ἀπόρουσεν ὅσον τ' ἐπὶ δουρὸς ἐρωή,
αἰετοῦ οἴματ' ἔχων μέλανος, τοῦ θηρητῆρος,
ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν·

238. χέρσονδε, genauere Bestimmung zu θύραζε.

239f. δίνῃσι – μεγάλῃσιν. Der dreimalige gleiche Wortausgang erregt die Vorstellung der Menge und der weiten Ausdehnung. — Zu κρύπτων vgl. Od. λ, 244 κυρτωθέν, κρύψεν δὲ θεὸν κτέ., er barg sie, indem er sich über ihnen wölbte; zu ἀμφ' Ἀχ. ἵστατο λ, 733 ἀμφίσταντο ἄστυ.

241f. ἐν σάκεϊ πίπτων, vgl. zu υ, 259; zu οὐδὲ – στηρίξασθαι Od. μ, 433f. οὐδέ πῃ εἶχον – στηρίξαι ποσὶν ἐμπεδον.

243. ἐκ ῥιζέων. Sie hat aber besonders starke Wurzeln.

244f. ἐπέσχε – γεφύρωσεν δέ μιν αὐτόν. Die Zweige reichten über die Gewässer hin (vgl. 407. ψ, 190), der Stamm aber mit der daran hangenden Erde hemmte (wie ein Damm) den Fluss selbst, indem er ganz in denselben hineinstürzte (doch wohl nicht in der ganzen Breite des Flusses). Vermittelst dieses Dammes enteilte dann auch Achilleus den angeschwollenen Fluthen (246f. ὁ δ' ἄρ' – ἤιξεν).

247. πεδίοιο–πέτεσθαι, durch die Ebene hin zu fliegen, also mehr rückwärts. Vgl. zu Od. θ, 122 und unten 299f. βῆ – ἐς πεδίον.

249f. ἀκροκελαινιόων, ἅπαξ εἰρημένον bei Homer: schwarz anschwellend, nach Art der austretenden Flüsse, die wegen der dichten Wassermasse oben dunkel erscheinen. — παύσειε κτέ. = 137f.

251. ὅσον τ' – ἐρωὴ erg. ἐστίν oder γίγνεται, welches ο, 358 beigefügt ist. Vgl. κ, 357 δουρηνεκές.

252. αἰετοῦ οἴματα, vgl. π, 752 οἶμα λέοντος ἔχων. Die Vergleichung bezieht sich nur auf die Art der Bewegung, den stürmischen Ungestüm. — τοῦ θηρητῆρος, jenes Jägers, d. h. des trefflichen Jägers, vgl. zu ω, 316 und ξ, 460 τῷ Τελαμωνιάδῃ.

τῷ εἰκὼς ἤιξεν, ἐπὶ στήθεσσι δὲ χαλκός **21**
σμερδαλέον κονάβιζεν. ὕπαιθα δὲ τοῖο λιασθείς **255**
φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
ἂμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ,
χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·
τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι **260**
ὀχλεῦνται· τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
χώρῳ ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεύς **265**
στῆναι ἐναντίβιον, καὶ γνώμεναι εἴ μιν ἅπαντες
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
πλάζ' ὤμους καθύπερθεν. ὁ δ' ὑψόσε ποσσὶν ἐπήδα
θυμῷ ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα **270**
λάβρος ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε ποδοῖιν.
Πηλείδης δ' ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν.
„Ζεῦ πάτερ, ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη

254. *εἰκώς*, nach Analogie von *εἰδώς*, vgl. zu *σ*, 418.
255. *ὕπαιθα – τοῖο*, vgl. zu *ο*, 520 *ὁ δ' ὕπαιθα λιάσθη Πουλυδάμας* (vor ihm), unten 260 f. *ὑπὸ – ὀχλεῦνται*.
257. *ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγός*. Der eigentliche Vergleichungspunct liegt in der überraschenden, ja überholenden Schnelligkeit (262–264); mehr zufällig ist die Aehnlichkeit des Geräusches (256. 260 f.).
259. *μάκελλα*, Schol. *ἡ μονόθεν κέλλουσα ἤγουν τέμνουσα, δίκελλα δὲ ἡ διχόθεν*, Hacke, einzackige Picke (Pickel).
260 f. *ὑπὸ-ὀχλεῦνται*, d. i. *ὑποκινοῦνται*. Vgl. *μ*, 259 *στήλας – ἐμόχλεον*, ebend. 448 *ὀχλίσσειαν*. — *κελαρύζει*, vgl. zu Od. *ε*, 323.
262. *προαλεῖ, πρηνεῖ, κατάντει, κατωφερεῖ*. — Zu *φθάνει* vgl. *ι*, 506.
266 f. *εἰ – φοβέουσι*, d. h. ob alle ihn feindlich verfolgen, seine Flucht und Niederlage wünschen und fördern.
269. *πλάζε-καθύπερθεν*, schlug ihm an die Schultern von oben und über dieselben, vgl. zu *μ*, 285 *κῦμα προσπλάζον*.
273 f. *ὑπέστη, ὑπέμεινεν, ἔτλη = ὑφέστηκε*, gleichsam: lässt sich keiner herbei, kann sich keiner entschliessen. — *ἔπειτα*, d. i. *μετὰ τὸ σωθῆναι ἐκ τοῦ ποταμοῦ*. Der Gedanke, so ruhmlos im Wasser umzukommen (282), ist ihm unerträglich. Vgl. *ρ*, 647, wo Aias fleht: *ἐν δὲ φάει καὶ ὄλεσσον*.

21 ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
275 ἄλλος δ᾽ οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν,
ἥ μ᾽ ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ᾽ ὄφελ᾽ Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ᾽ ἔτραφ᾽ ἄριστος·
280 τῷ κ᾽ ἀγαθὸς μὲν ἔπεφν᾽, ἀγαθὸν δέ κεν ἐξενάριξεν.
νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι
ἐρχθέντ᾽ ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβόν,
ὅν ῥά τ᾽ ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα."
ὣς φάτο, τῷ δὲ μάλ᾽ ὦκα Ποσειδάων καὶ Ἀθήνη
285 στήτην ἐγγὺς ἰόντε, δέμας δ᾽ ἄνδρεσσιν ἐίκτην,
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ᾽ ἐπέεσσιν.
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων.
„Πηλεΐδη, μήτ᾽ ἄρ τι λίην τρέε μήτε τι τάρβει·
τοίω γάρ τοι νῶι θεῶν ἐπιταρρόθω εἰμέν
290 Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη·

275f. *τόσον αἴτιος – ἀλλὰ* für *τόσον αἴτιος ὅσον*, oder dann sollte *τόσον* weggelassen sein.

277. *ἥ μ᾽ ἔφατο.* Erklärung von *ψεύδεσσιν.* Diese Vorhersagung der Thetis wird sonst nicht erwähnt, dagegen eine ähnliche des Hektor *χ*, 359f. Durch Apollon zu fallen wäre sehr ehrenvoll.

279. *ἐνθάδε γε*, hier wenigstens, (in Troia), wenn er auch nicht ein Gott ist. — Zu *ἔτραφε* vgl. *η*, 199 *τραφέμεν.*

280. *τῷ – ἐξενάριξεν*, d. h. der Sieger und der Besiegte wären einer des andern würdig gewesen.

281. *νῦν δέ – ἁλῶναι* = Od. *ε*, 312, vgl. *ω*, 34 brachylogisch für: Jetzt aber sehe ich, dass mir beschieden war.

282. *ὡς παῖδα συφορβόν.* Zu diesem bei Homer seltenen Gebrauch von *ὡς* in Vergleichungen vor dem Nomen, = *instar*, vgl. Od. *ο*, 479 *ὡς εἰναλίη κήξ.*

283. *ἔναυλος*, vgl. *π*, 71. — Ueber *ἀποέρσῃ* vgl. hinsichtlich der Prosodie zu *τ*, 35 *ἀποειπών*, hinsichtlich der Bedeutung zu *ζ*, 348 *ἀπόερσε.* — *χειμῶνι περῶντα* Schol. *χειμῶνος διαπερῶντα.*

286. *ἐπιστώσαντο* (vgl. *ζ*, 233), sie gaben (ihm) Worte der Bürgschaft, beruhigende Zusicherungen.

288. *τρέε*, vgl. zu *ε*, 256. — *τάρβει*, vgl. zu Od. *η*, 51; unten 575 *οὐδὲ – ταρβεῖ οὐδὲ φοβεῖται.*

289. *τοίω – ἐπιταρρόθω*, vgl. *ε*, 827f. Sie leisten ihm aber nur moralischen Beistand (vgl. 299. 304); erst Hera veranlasst den Hephästos (328–330) zu thätlicher Hülfe.

290. *ἐπαινήσαντος, ἐπινεύσαντος*, mit Zustimmung des Zeus. Merkwürdig ist, dass trotz der Verwandlung in Menschen (285) Poseidon die Athene ausdrücklich nennt, während er sich selbst als dem Achilleus bekannt voraussetzt (299).

ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν, 291
ἀλλ' ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός.
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴ κε πίθηαι·
μὴ πρὶν παύειν χεῖρας ὁμοιίου πολέμοιο,
πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι 295
Τρωικόν, ὅς κε φύγῃσι. σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι."

τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην,
αὐτὰρ ὁ βῆ — μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμή —
ἐς πεδίον. τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο, 300
πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν
πλῶον καὶ νέκυες. τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
πρὸς ῥόον ἀίσσοντος ἀν' ἰθύν, οὐδέ μιν ἴσχεν
εὐρυρέων ποταμός. μέγα γὰρ σθένος ἔμβαλ' Ἀθήνη.
οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μᾶλλον 305
χώετο Πηλείωνι, κόρυσσε δὲ κῦμα ῥόοιο
ὑψόσ' ἀειρόμενος, Σιμόεντι δὲ κέκλετ' ἀύσας
„φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν. 310

291. *ὡς οὔ τοι — αἴσιμόν ἐστιν.* *ὡς* drückt die Folgerung aus dem Vorhergehenden aus: daher, weil Zeus auf deiner Seite ist und uns zu deinem Beistande abgeordnet hat; vgl. zu Od. *θ*, 239.

292. *σὺ δὲ εἴσεαι αὐτός*, vgl. Od. *β*, 40 *τάχα δ' εἴσεαι αὐτός*. Aber in unserer Stelle geht *τάχα* unmittelbar vorher.

293. *πυκινῶς — πίθηαι* = Od. *α*, 279 *π. ὑποθήσομαι κτέ.* Auf die letzten Worte, als eine stehende Formel, ist kein besonderes Gewicht zu legen.

295. *Ἰλιόφι* hängt von *τείχεα* ab; vgl. Od. *μ*, 45 *ὀστεόφιν θίς*.

296. *ὅς κε φύγῃσι*, so viele entkommen.

298. *μετ' ἀθανάτους*, d. h. in den Kreis der am Schlachtfelde versammelten (*υ*, 144–152).

300. *ἐς πεδίον*, wieder zum Kampf gegen den Xanthos.

303. *πρὸς ῥόον — ἰθύν*, indem er gegen die Fluth, den Andrang des Stromes nach Kräften sich in die Höhe schwang. — *ἀν' ἰθύν* = Od. *θ*, 377.

305. *ἔληγε τὸ ὃν μένος*, vgl. *ν*, 424, unten 340 *ἀπόπαυε τεὸν μένος*.

306. *κόρυσσε*, Schol. *ἐμετεώριζεν*, vgl. *δ*, 424.

308. *φίλε κασίγνητε.* Mit Recht und im eigentlichen Sinne nennt Skamander den Simoeis seinen Bruder, weil nach dem Volksglauben beide Flüsse Eine und dieselbe Quelle zur Mutter haben; vgl. Einleit. S. 33 f. und zu *χ*, 147 f.

310. *κατὰ μόθον*, vgl. *σ*, 159.

21 ἀλλ᾽ ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα
ὕδατος ἐκ πηγέων, πάντας δ᾽ ὀρόθυνον ἐναύλους,
ἵστη δὲ μέγα κῦμα, πολὺν δ᾽ ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
315 ὃς δὴ νῦν κρατέει, μέμονεν δ᾽ ὅ γε ἶσα θεοῖσιν.
φημὶ γὰρ οὔτε βίην χραισμησέμεν οὔτε τι εἶδος
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνης
κείσεθ᾽ ὑπ᾽ ἰλύος κεκαλυμμένα· κὰδ δέ μιν αὐτόν
εἰλύσω ψαμάθοισιν, ἅλις χέραδος περιχεύας,
320 μυρίον. οὐδέ οἱ ὀστέ᾽ ἐπιστήσονται Ἀχαιοί
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔσται τυμβοχοῆσ᾽, ὅτε μιν θάπτωσιν Ἀχαιοί."
ἦ, καὶ ἐπῶρτ᾽ Ἀχιλῆι κυκώμενος, ὑψόσε θύων,
325 μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεσσιν.
πορφύρεον δ᾽ ἄρα κῦμα διιπετέος ποταμοῖο
ἵστατ᾽ ἀειρόμενον, κατὰ δ᾽ ᾕρεε Πηλείωνα.

311 f. *ἐμπίπληθι ῥέεθρα.* Für den ausserordentlichen Zweck soll auch der Simoeis — sonst ein gleichmässig durch Wiesen fliessender Quellbach — sich über seine Natur erheben und selbst ein Getümmel von Stämmen und Steinen erregen (313 f.). — *ὕδατος* hängt von *ἐμπίπληθι* ab.

315. *μέμονεν – ἶσα θεοῖσιν*, vgl. 411 *ὅτι μοι μένος ἰσοφαρίζεις*.

316 f. *βίην – εἶδος – τεύχεα*, alles Vorzüge des Achilleus, worauf er sein Vertrauen setzt. — *χραισμησέμεν* erg. *αὐτῷ*. Zur Stellung *τὰ τεύχεα καλά* vgl. Od. *ι*, 378 *ὁ μοχλὸς ἐλάινος*; zu *λίμνης* Od. *γ*, 1; es ist der in Folge der Ueberschwemmung die ganze Thalebene bedeckende See.

319. *ἅλις* verbinde mit *περιχεύας*. — *χέραδος, ἅπ. εἰρημένον, τὸ συναγειρόμενον ἐν τῇ ῥύσει πλῆθος ἰλύος καὶ ὀστράκων καὶ λίθων.*

320. *οὐδέ – ἐπιστήσονται* ironisch: sie werden nicht wissen, wie sie es anfangen, wo sie die Gebeine auffinden sollen.

322 f. *αὐτοῦ – τετεύξεται.* Noch bittrerer Spott, worauf die vorhergehende Erwähnung der Gebeine geführt hat: da, auf der Stelle soll auch sein Grabmahl bereitet sein. — *μιν* hängt wohl von *χρεὼ ἔσται* ab, und bei *τυμβοχοῆσαι* kann *οἱ* hinzugedacht werden = er wird es nicht nöthig haben, *τύμβον αὐτῷ χεῦαι* (*χῶσαι*), dass man ihm einen Grabhügel aufwerfe. Vgl. Herodot. 7, 117 *ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή*. Sonst wird die Endung *αι* im Infinitivus activ. nicht elidirt, und darum lesen Andere mit Krates *τυμβοχόης*, nach der Construction von *ι*, 607 f.

325. *μορμύρων – νεκύεσσιν.* Das letzte Nomen ist nur durch Zeugma mit *μορμύρων* verbunden.

327. *κατὰ δ᾽ ᾕρεε Πηλείωνα,*

Ἥρη δὲ μέγ' ἄυσε περιδδείσασ' Ἀχιλῆι, **21**
μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης.
αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν, ὃν φίλον υἱόν, 330
„ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠίσκομεν εἶναι·
ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν.
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο
εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν, 335
ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
φλέγμα κακὸν φορέουσα. σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί. μηδέ σε πάμπαν
μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ.
μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ' ὁπότ' ἂν δὴ 340
φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ."
ὣς ἔφαθ', Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς.

er war schon auf dem Puncte, ihn zu überwältigen, vgl. 329 *μή μιν ἀποέρσειε κτἑ.*

331 f. *κυλλοπόδιον*, hier sogar in der Anrede, wie es schon σ, 371 ganz als Nomen gebraucht war. Es kann also keinerlei verletzender Nebenbegriff mehr darin liegen. — *ἄντα – ἠίσκομεν εἶναι*, dir gewachsen, als deinen Gegner im Kampfe achteten wir den Xanthos (weil du durch die Macht deines Elementes ihm am besten würdest begegnen können). Das Imperf. *ἠίσκομεν* geht auf die nun schon vergangene Zeit vor und beim Beginne der Schlacht, wo die Götter gleichsam einen Ueberschlag über ihre Kräfte machten; daher auch die Zusammenstellung υ, 73 f.

334. *ἀργεστᾶο Νότοιο*, vgl. zu λ, 306. Die Genitive hangen von *θύελλαν* ab.

335. *ἐξ* gehört wohl zu *ὄρσουσα* = *ἁλόθεν ἐξόρσουσα*, wie im folgenden Vers *ἀπὸ* zu *κήαι*.

336. *Τρώων*, nämlich der Leichname, der Gefallenen, vgl. 343 f. 348 f.

337. *φλέγμα κακόν*, *φλόγα κακοποιόν*.

338. *ἐν δ' αὐτὸν ἵει πυρί*, setze ihn selbst in Feuer, d. h. umringe ihn mit Gluthen. Die Vollziehung folgt 349–356.

339. *μειλιχίοις ἐ. καὶ ἀρειῇ*, d. i. *μήτε μειλιχίοις ἐπ. μήτε ἀρειῇ.*

342. *τιτύσκετο*, *παρεσκευάζετο*, er machte zurecht.

343 f. *νεκροὺς – Ἀχιλλεύς* = 235 f. Die Bestimmung *κατ' αὐτὸν* (*τὸν Σκάμανδρον*) passt indess hier nicht so gut wie an der obigen Stelle, weil die Leichen **hier** nicht mehr im eigentlichen Flussbette, sondern aus demselben herausgeschwemmt sind (237 f. *ἔκβαλλε – χέρσονδε*): obgleich sich sagen lässt, das Land, auf dem sie liegen, sei doch noch von den ausgetretenen Fluthen bedeckt, also unter dem Flusse, im Bereiche desselben;

21 ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα
παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ·
385 ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο.
σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ' εὐρεῖα χθών,
ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός. ἄιε δὲ Ζεὺς
ἥμενος Οὐλύμπῳ· ἐγέλασσε δέ οἱ φίλον ἦτορ
390 γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
ἔνθ' οἵ γ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσεν
χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον.
„τίπτ' αὖτ', ὦ κυνάμυια, θεοὺς ἔριδι ξυνελαύνεις
395 θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ οὐ μέμνῃ ὅτε Τυδείδην Διομήδε' ἀνῆκας
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;
τῷ σ' αὖ νῦν ὀίω ἀποτισέμεν ὅσσα μ' ἔοργας."
400 ὣς εἰπὼν οὔτησε κατ' αἰγίδα θυσσανόεσσαν
σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·

382. **κατέσσυτο** in intransitiver Bedeutung mit dem Accusativ des Zieles (καλὰ ῥέεθρα) verbunden.

383. **οἱ μέν**, nämlich Xanthos und Hephästos: da ruhten sie beide.

386. **δίχα – ἄητο** = διχῶς ὥρμητο. Der Begriff des Athmens umfasst auch das Wollen und Streben, das Dichten und Trachten; so im Lateinischen *altius spirare, maiora spirare*, u. dgl.

387 f. **σὺν δ' ἔπεσον**. Aus der Vergleichung mit 390 f. ergiebt sich, dass dieses Zusammenstossen zunächst nur symbolisch durch die Naturkräfte (πατάγῳ – οὐρανός) vor sich geht. Beachte aber den trefflichen Versbau!

388. **σάλπιγξεν**, bildlich zur Bezeichnung eines donnerähnlichen Getöses als Signal zum Angriff, vgl. zu σ, 219.

389 f. **ἐγέλασσε – ὅθ' ὁρᾶτο**, vgl. Od. θ, 78 χαῖρε νόῳ ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο. Zeus freute sich, weil nun sein Rathschluss in Betreff des Achilleus in Erfüllung ging; vielleicht aber auch, weil er die komischen Scenen ahnte, die beim Kampfe der Göttinnen erfolgen mussten, vgl. 489–509.

395. **θάρσος ἄητον**, wahrscheinlich = αἶητον, vgl. zu σ, 410 und ρ, 570 μυίης θάρσος.

396 ff. **ἦ οὐ μέμνῃ κτέ.**, vgl. ε, 131 und 405 ff. (in Bezug auf Aphrodite) und besonders 800–813. 826–834 (in Beziehung auf Ares); zu den folgenden Worten αὐτὴ δὲ – ἔδαψας ebend. 856–858 ἐπέρεισε – ἔδαψεν.

401. **σμερδαλέην**, wegen ihrer Grauen und Schrecken einflössenden

τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ.
ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε,
τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα.
ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας,
τεύχεά τ' ἀμφαράβησε. γέλασσε δὲ Παλλὰς Ἀθήνη,
καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα.
„νηπύτι', οὐδέ νύ πώ περ ἐπεφράσω ὅσσον ἀρείων
εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἰσοφαρίζεις.
οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιούς
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις."
ὣς ἄρα φωνήσασα πάλιν τρέπεν ὄσσε φαεινώ.
τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρετο θυμόν.
τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα.
„ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη,

Gebilde, vgl. zu ε, 739–742.

404 f. *κείμενον – οὖρον ἀρούρης* **(= μ, 421** *ἀμφ' οὔροισι*) **nachgeahmt von Virgil. Aen. 12, 896 ff.** *saxum circumspicit ingens, Saxum antiquum, ingens, campo quod forte iacebat, Limes agro positus, litem ut discerneret arvis.*

407. *ἑπτὰ δ' ἐπέσχε πέλεθρα.* **Obgleich sonst die homerischen Götter nicht gigantisch gedacht werden, so ist diese Hyperbel von der Grösse des gefallenen Ares doch leicht zu begreifen; denn der Fall verlängert die Gestalt für das Auge. Vgl. Od. λ, 577** *ὁ δ' (Τιτυὸς) ἐπ' ἐννέα κεῖτο πέλεθρα.*

409. *καί οἱ ἐπευχομένη* **gehört zusammen; zu** *προσηύδα* **ergänze** *μιν.*

410 f. *οὐδέ νύ – ἐπεφράσω = ὃς οὐδὲ – ἐπεφράσω*, **soll die Anrede** *νηπύτιε* **rechtfertigen (vgl. zu υ, 296);** *ὅτι μοι – ἰσοφαρίζεις* **aber giebt die äussere Thatsache an, woraus die Sprechende diesen Schluss zieht: weil oder da du dich – gleich stellst, vgl. zu Od. ε, 340.**

412. *ἐρινύας*, **Schol.** *τὰς κατάρας*, **eigentlich die von der Mutter angewünschten Rachegöttinnen. — Den Zusammenhang der Bedeutungen zeigt Od. β, 135** *μήτηρ στυγερὰς ἀρήσετ' ἐρινῦς.*

413 f. *οὕνεκ' – ἀμύνεις.* **Denselben Vorwurf macht Athene dem Ares auch ε, 832–834.**

416. *Ἀφροδίτη*, **die auch ε, 357, wo sie von Diomedes verwundet ist, sich von Ares als ihrem Bruder den Wagen zur Flucht erbittet.**

417. *μόγις – θυμόν*, **vgl. ο, 240** *νέον δ' ἐσαγείρετο θυμὸν* **und zu Od. η, 283** *θυμηγερέων.*

21 καὶ δ' αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
δηίου ἐκ πολέμοιο κατὰ κλόνον. ἀλλὰ μέτελθε."
ὣς φάτ', Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ,
καί ῥ' ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείῃ
425 ἤλασε· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ,
ἡ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευεν.
„τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί,
εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῇσιν,
430 ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρει ἐπίκουρος, ἐμῷ μένει ἀντιόωσα.
τῷ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
Ἰλίου ἐκπέρσαντες ἐυκτίμενον πτολίεθρον."
ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
435 αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων ἐνοσίχθων
„Φοῖβε, τίη δὴ νῶι διέσταμεν; οὐδὲ ἔοικεν
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητὶ
ἴομεν Οὔλυμπόνδε, Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε
440 καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι', ὡς ἄνοον κραδίην ἔχες. οὐδέ νυ τῶν περ
μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶς
μοῦνοι νῶι θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν

422. **κατὰ κλόνον**, durch das Gedränge (ihm hindurch helfend).

424. **ἐπιεισαμένη**, ἐπιπορευθεῖσα, *aggressa*; vgl. zu λ, 358 καταείσατο.

428f. τοιοῦτοι – εἶεν, so möge es allen im Kampfe ergehen.

430f. ὧδέ τε – τλήμονες, und so (d. h. mit solchem Erfolge) frech und verwegen wie Aphrodite u. s. w. — Ueber τλήμων vgl. zu ε, 670. — ὡς Ἀφροδίτη ἦλθεν = ὡς Ἀφροδίτη (ἦν) ἐλθοῦσα.

432. τῷ, dann, wenn die Andern so wären oder gewesen wären.

436. τίη – διέσταμεν; warum — stehen wir fern von einander, gehen nicht auf einander los, wie Ares und Athene?

437. ἑτέρων, die Andern, d. h. einer oder mehrere von den Andern. In diesem Umstande liegt der Grund, warum Poseidon die υ, 133f. geäusserte Friedfertigkeit aufgegeben; er selbst hat dies ebend. 138–143 vorhergesagt.

444. θητεύσαμεν. Die Ursache dieses Dienstes der beiden Götter

μισθῷ ἔπι ῥητῷ· ὁ δὲ σημαίνων ἐπέτελλεν. 21
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα 446
εὐρύ τε καὶ μάλα καλόν, ἵν' ἄρρηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ωραι 450
ἐξέφερον, τότε νῶι βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπεν.
σοὶ μὲν ὅ γ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
στεῦτο δ' ὅ γ' ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῷ. 455
νῶι δέ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῷ,
μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσεν.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ' ἡμέων
πειρᾷ ὥς κε Τρῶες ὑπερφίαλοι ἀπόλωνται
πρόχνυ κακῶς, σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισιν." 460
τὸν δ' αὖτε προσέειπεν ανάξ ἑκάεργος Ἀπόλλων

wird von Homer nirgends angegeben. — In πὰρ Διὸς ἐλθόντες scheint eine Andeutung zu liegen, dass es auf Zeus' Geheiss, vielleicht um Laomedon auf die Probe zu stellen, geschehen sei.

445. ὁ δὲ – ἐπέτελλεν, er aber gab uns gebietend Befehle, trug uns nach Gutdünken dem einen dieses, dem andern ein anderes Werk auf, vgl. 446 und 448 f.

446. ἐγὼ – ἔδειμα. Nach η, 452 f. hätten beide Götter gemeinschaftlich die Mauern erbaut; vgl. auch unten 516.

450 f. μισθοῖο τέλος – ἐξέφερον. Die Horen (vgl. zu ε, 749) heissen πολυγηθέες, freudenreich, weil sie durch ihre regelmässige Folge wie die Reife der Früchte, so auch die Erfüllung unserer Wünsche und Hoffnungen herbeiführen (ἐκφέρουσι). In τέλος ἐκφέρειν, die Vollendung, Verwirklichung bringen, d. h. den Zeitpunct, wo der Lohn verdient ist und nun bezahlt werden soll, herbeiführen — liegt dieselbe Ideenverbindung wie in τελεσφόρος ἐνιαυτός, vgl. Od. δ, 86.

451. βιᾶσθαι nach dem Sinn construirt, ganz wie ἀφαιρεῖσθαί τινά τι.

453 f. σοὶ μέν steht im Gegensatz zu dem in veränderter Wendung folgenden ἀμφοτέρων 455. — Den Apollon behandelte er noch verächtlicher als den Poseidon. — Zu περάαν vgl. 40 Λῆμνον – ἐπέρασσεν.

455. ἀπολεψέμεν, eigentlich wegzuschälen, wegzuschneiden, vgl. Od. σ, 86.

458. τοῦ δή, vgl. zu β, 330 τὰ δή. Der ganze Satz ist bitter-ironisch.

460. πρόχνυ – ἀλόχοισιν. Eine ähnliche Steigerung wie Od. ι, 534 ὀψὲ κακῶς ἔλθοι, ὀλέσας ἄπο πάντας ἑταίρους.

21 „ἐννοσίγαι', οὐκ ἄν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
465 ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης· οἱ δ' αὐτοὶ δηριαάσθων."
ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσιν.
470 τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν,
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
„φεύγεις δή, ἑκάεργε, Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας.
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
475 μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν."
ὣς φάτο· τὴν δ' οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις

462 f. *οὐκ ἄν με – μυθήσαιο –, εἰ δὴ σοί γε – πτολεμίξω* (Futurum): angenommen, dass ich wirklich (wie du mir zumuthest) der Sterblichen wegen mit dir kämpfe, so wirst und würdest du mich selbst für einen Thoren halten. Vgl. *α*, 293 f. *ἦ γάρ κεν – καλεοίμην, εἰ δὴ σοὶ – ὑπείξομαι.*

464. *φύλλοισιν ἐοικότες*, d. h. hinfällig und schnell vergänglich, wie die Blätter, die heute grünen und morgen abfallen (*ἄλλοτε – ἄλλοτε*).

465. *ζαφλεγέες*, voll feuriger Kraft, kräftig: Gegensatz zu *ἀκήριοι* (vgl. zu *η*, 100). Jenes Feuer aber wird durch die Frucht der Erde genährt.

467. *οἱ δ' αὐτοί*, sie selbst, wie *τὼ δ' αὐτώ α*, 338.

470. *πότνια*, d. i. *δέσποινα* oder *δεσπότις*. Der folgende Vers könnte daher wohl entbehrt werden. Doch wurde Artemis unter dem Beinamen *Ἀγροτέρα* an verschiedenen Orten, auch in Athen, verehrt.

473. *μέλεον εὖχος*, Paraphr. *ματαίαν καύχησιν*, einen nichtigen, mühelosen Sieg.

474. *νηπύτιε*. Die Dehnung der Endsylbe wird durch die Pause nach der Anrede erleichtert; übrigens vgl. zu *α*, 45 *ἀμφηρεφέα*.

475 f. *μή σευ – ἀκούσω κτέ.*, d. h. höre nur in Zukunft auf zu prahlen. Dass Apollon doch wirklich im Sinne hatte, gegen Poseidon zu kämpfen, ergiebt sich aus der Stellung, die er *υ*, 67 f. ihm gegenüber einnimmt. — Zu *πατρὸς – εὐχομένου* vgl. *α*, 396.

479. *ἀλλὰ χολωσαμένη* erg. *προσέφη αὐτήν*. Den folgenden Vers haben die besten Zeugen nicht oder verwerfen ihn ausdrücklich.

[νείκεσεν ἰοχέαιραν ὀνειδείοις ἐπέεσσιν]· **21**
„πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεές, ἀντί' ἐμεῖο 481
στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι
τοξοφόρῳ περ ἐούσῃ, ἐπεί σε λέοντα γυναιξὶν
Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν ἥν κ' ἐθέλῃσθα.
ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν 485
ἀγροτέρας τ' ἐλάφους, ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ' εὖ εἰδῇς
ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις."
ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτεν
σκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα, 490
αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωσα
ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀιστοί.
δακρυόεσσα δ' ὕπαιθα θεὰ φύγεν ὥς τε πέλεια,

481. *κύον ἀδδεές* = *θ*, 423. — Das Futurum *στήσεσθαι* 482 steht ausdrucksvoll, da Hera das Unterfangen der Artemis als ein gewagtes bezeichnen will.

482. *χαλεπή – ἀντιφέρεσθαι.* Dieselbe Verbindungsweise wie *α*, 589. Das Subject zu *ἀντιφέρεσθαι* ist in dem von *χαλεπὴ* abhängigen *τοι* enthalten, also *σέ.*

483 f. *λέοντα γυναιξίν* (vgl. zu *ρ*, 133), weil Artemis gleich diesem Raubthier schnell die Weiber hinwegrafft, vgl. zu Od. *γ*, 280. — Der Satz *ἐπεί σε – θῆκεν καὶ ἔδωκε* enthält die Erklärung zu *τοξοφόρῳ π. ἐ.*, aber freilich nur ironisch: die Göttin Artemis ist eine Löwin gegen Weiber (menschliche Weiber)!

485. *θῆρας*, Eber oder Löwen, jedenfalls — im Gegensatz zu *ἐλάφους* — Raubwild.

486. *ἀγροτέρας – κρείσσοσιν.* In Betreff des gehäuften *σ* vgl. zu Od. *α*, 402 *δώμασι σοῖσιν.*

487. *εἰ δ' ἐθέλεις.* Der am Schlusse dieses Satzes zu ergänzende Nachsatz wäre: *ἄγε πειρήθητι* (vgl. Od. *θ*, 205 *δεῦρ' ἄγε πειρηθήτω*) oder noch einfacher *πάρα τοι* (= *πάρεστί σοι*) nach Od. *γ*, 324, vgl. zu Il. *ζ*, 150. Statt des Nachsatzes tritt aber die 489 ff. bezeichnete Thätlichkeit ein. — Zur ganzen Wendung vgl. das zu Od. *α*, 271. Il. *α*, 302 *εἰ δ' ἄγε μὴν πείρησαι* Bemerkte.

488. *ὅτι μ. μ. ἀντιφ.*, vgl zu 411.

489. *χεῖρας* erg. *Ἀρτέμιδος*. Sie hält ihr die Hände, dass sie sich beim folgenden Acte nicht wehren kann.

490. *τόξα*, Bogen und Köcher (wegen 492), die irgendwie verbunden gewesen sein müssen. Vgl. 502, wo *τόξα* geradezu für die Pfeile steht.

492. *ἐντροπαλιζομένην.* In Folge der Schläge, die sie erhielt, wandte Artemis ihr Haupt ab, um sich denselben zu entziehen; weil aber Hera beim Schlagen mit dem Bogen auch den Köcher hin und her schwang, fielen die Pfeile heraus.

493. *ὕπαιθα φύγεν* = *ὑπ' αὐτῆς φύγεν*, wie nachher *ὑπ' ἴρηκος εἰσέπτατο.*

21 ἥ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
495 χηραμόν· οὐδ' ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν·
ὣς ἡ δακρυόεσσα φύγεν, λίπε δ' αὐτόθι τόξα.
Λητὼ δὲ προσέειπε διάκτορος ἀργειφόντης
„Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήσομαι· ἀργαλέον δὲ
πληκτίζεσθ' ἀλόχοισι Διὸς νεφεληγερέταο·
500 ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσιν
εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφιν."
ὣς ἄρ' ἔφη, Λητὼ δὲ συναίνυτο καμπύλα τόξα
πεπτεῶτ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης.
ἡ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
505 ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ,
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε. τὴν δὲ προτὶ οἷ
εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο ἡδὺ γελάσσας
„τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων;"
510 [μαψιδίως, ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ;]
τὸν δ' αὖτε προσέειπεν ἐυστέφανος κελαδεινή
„σή μ' ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται."
ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,

495. *χηραμόν*, parallel mit *κοίλην πέτρην*, die leere, geräumige Kluft, oder als Adjectiv: einen klüftigen, vgl. Apollon. Rhod. 4, 1298f. *ἔκτοθι πέτρης χηραμοῦ*. — *οὐδ' ἄρα - ἦεν*, weil sie sich in die Felskluft retten konnte.

499. *ἀλόχοισι*. Der Plural zur Bezeichnung des Gattungsbegriffes. Die ganze Rede des Hermes ist gutmüthiger Spott. Uebrigens wird auch Od. *λ*, 580 Leto als *Διὸς κυδρὴ παράκοιτις* bezeichnet.

500. *ἀλλὰ μάλα πρόφρασσα - εὔχεσθαι*, rühme dich nur immerhin nach Herzenslust. — Zu *μάλα* vgl. *α*, 173 *φεῦγε μάλα*, über *πρόφρασσα* zu Od. *ε*, 161 und über das synonyme *πρόφρων* zu Od. *β*, 230.

504. *πάλιν κίε*, sie kam wieder zurück (vom Aufheben der Pfeile aus dem Staube) zu den andern Göttern. — *θυγατέρος ἧς* muss von *τόξα* abhangen; denn Artemis war schon 493. 496 entflohen, Leto aber kehrte erst 518 mit den übrigen Göttern in den Olympos zurück.

507. *ἑανός*, vgl. zu *γ*, 385. Durch das Zittern des Kleides ist auch ihr Zittern am ganzen Leibe ausgesprochen.

509. *τίς - Οὐρανιώνων* = *ε*, 373, woher auch der folgende Vers genommen ist, den indessen die besten Handschriften hier weglassen.

514. *ὣς - ἀγόρευον*. Die vorangehende Erzählung wird sehr auffallend plötzlich abgebrochen, in-

αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν· 21
μέμβλετο γάρ οἱ τεῖχος ἐυδμήτοιο πόληος, 516
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
οἱ μὲν χωόμενοι, οἱ δὲ μέγα κυδιόωντες,
κὰδ δ' ἷζον πὰρ Ζηνὶ κελαινεφεῖ. αὐτὰρ Ἀχιλλεὺς 520
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.
ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἵκηται
ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκεν,
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν,
ὡς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε' ἔθηκεν. 525
ἑστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκὴ
γίγνεθ'. ὁ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς. 530
„πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰς ὅ κε λαοὶ
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς

dem weder Zeus der Artemis antwortet noch ein andrer Gott ihr irgend welche Theilnahme zeigt; ganz anders als ε, 381–430.

515. αὐτὰρ Ἀπόλλων Φοῖβος κτέ., d. h. Apollon begiebt sich wieder auf die Burg Pergamos, wo er seinen gewöhnlichen Sitz hat; vgl. Einleit. S. 11.

516. μέμβλετο – τεῖχος, weil sie nach dem zu 446 Bemerkten zum Theil von ihm erbaut war.

517. μὴ – ὑπὲρ μόρον. Eine υ, 30 auch von Zeus ausgesprochene Besorgniss.

521. ὁμῶς fasst αὐτούς τε καὶ ἵππους zusammen.

522-525. ὡς δ' ὅτε καπνὸς ἰὼν κτέ. Eine etwas sonderbare und unklare Vergleichung. Der Anfang ist beinahe gleichlautend mit σ, 207, wo aber die Ausführung und Tendenz ganz verschieden ist. Hier hat der erste Vers nur sehr geringe Beziehung auf den Hauptgedanken und der Vergleichungspunct liegt in der Allgemeinheit des verursachten Jammers und Elends (Aorist). — αἰθομένοιο, wahrscheinlich durch Feinde, aber durch Zulassung und nach dem Willen der Götter. — ἔθηκε, nämlich καπνὸς ἄστ. αἰθ., d. h. der Brand der in Rauch aufgehenden Stadt. Man bemerke auch den ungewöhnlich — um nicht zu sagen ungebührlich — gehäuften Gleichklang in ἀνῆκεν — ἔθηκε — ἐφῆκεν — ἔθηκεν.

526. θείου, Schol. θεοποιήτου, θεοδμήτου, vgl. θ, 519.

527. ὑπ' αὐτοῦ verbinde mit πεφυζότες.

530. ὀτρύνων. Der Gebrauch des Präsens in Verbindung mit βαῖνε bezeichnet passend die Ungeduld und den Eifer des Priamos.

21 ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔσεσθαι.
αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
535 αὖτις ἐπανθέμεναι σανίδας πυκινῶς ἀραρυίας·
δείδια γὰρ μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται."
ὣς ἔφαθ', οἱ δ' ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας·
αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος. αὐτὰρ Ἀπόλλων
ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
540 οἱ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο,
δίψῃ καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο
φεῦγον. ὁ δὲ σφεδανὸν ἔφεπ' ἔγχεϊ, λύσσα δέ οἱ κῆρ
ἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι.
ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
545 εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκεν,
φῶτ' Ἀντήνορος υἱὸν ἀμύμονά τε κρατερόν τε.
ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
ἔστη, ὅπως θανάτοιο βαρείας κῆρας ἀλάλκοι,
φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.
550 αὐτὰρ ὅ γ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι.
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν
„ὤ μοι ἐγών. εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος

533. λοίγι' ἔσεσθαι wie α, 573 (vgl. ebend. 518) ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται.

534. ἐπεί κ' — ἀναπνεύσωσιν, nachdem sie wieder frei zu athmen begonnen haben, also in Sicherheit gekommen sind.

535 f. ἐπανθέμεναι, vgl. ε, 751 ἐπιθεῖναι im Gegensatz zu ἀνακλῖναι. — Zu ἅληται vgl. λ, 192.

537. ἄνεσαν καὶ ἀπῶσαν. Für uns ein Hysteronproteron = ἄνεσαν πύλας ἀπώσαντες ὀχῆας, daher auch αἱ δὲ (πύλαι) folgt.

538. τεῦξαν φάος, Schol. σωτηρίαν τοῖς φεύγουσιν ἐποίησαν, es bot Rettung, rettendes Licht, vgl. ζ, 6. — αὐτὰρ Ἀπόλλων κτέ. Auch der Gott bedient sich jedesmal der natürlichsten Mittel und Wege.

541. δίψῃ καρχαλέοι = δ. κατάξηροι (siti asperi, nach Virg. Georg. 3, 434). Schol. ξηραίνει γὰρ καὶ τραχύνει τὴν γλῶτταν ἡ πολλὴ δίψα.

542. σφεδανὸν = λ, 165 σφεδανὸν Δαναοῖσι κελεύων.

543. κῦδος ἀρέσθαι, durch Erlegung des Hektor, vgl. χ, 393.

544. Τροίην, hier deutlich die Stadt = π, 698, vgl. α, 129.

546. φῶτ' Ἀντήνορος υἱόν = δ, 194 φῶτ' Ἀσκληπιοῦ υἱόν.

549. φηγῷ κεκλιμένος, Schol. ὑποκρυπτόμενος τῇ δρυΐ.

550. Ἀχιλλῆα πτολίπορθον, vgl. zu β, 278 und ι, 328. — ὅ γε ist Agenor.

553—569. ὤ μοι ἐγών. Der zagende, aber mannhaft gegen seine

φεύγω, τῇ περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται, **21**
αἱρήσει με καὶ ὥς, καὶ ἀνάλκιδα δειροτομήσει. 555
εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλείδῃ Ἀχιλῆι, ποσὶν δ' ἀπὸ τείχεος ἄλλῃ
φεύγω πρὸς πεδίον Ἰδήιον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήια δύω·
ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο, 560
ἱδρῶ ἀποψυχθεὶς ποτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ' ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ
καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν.

Zaghaftigkeit anringende Agenor zieht im Ganzen drei Fälle in Erwägung, drei Wege, die er einschlagen könnte: 1. von seiner Stelle (vor dem skäischen Thore) zu weichen und dem Strome der allgemeinen Flucht zu folgen; diesen verwirft er sogleich 555 durch die Vorstellung, dass ihn Achilleus doch einholen würde; 2. seitwärts und vom Schlachtfelde weg gegen das Gebirge zu fliehen und erst gegen A bend in die Stadt heimzukehren. Dieser Gedanke leuchtet ihm anfangs ein und sein Entschluss scheint sich 560f. dahin zu neigen; dann aber mahnt er 562 sich selbst davon ab, weil ja Achilleus ihn wahrscheinlich entweichen sähe und desto gewisser dem Tode weihen würde. Darum entschliesst er sich 3. dem Achilleus ohne Umstände entgegen zu gehen.

555. *καὶ ὥς*, gleichwohl, vgl. zu Od. *α*, 6.

556 *τούτους*, *τοὺς ἄλλους*.

557. *ἀπὸ τείχεος ἄλλῃ*, von der Ecke, wo die Mauer aufhörte oder sich an den Felsabhang anschloss.

558. *πρὸς πεδίον Ἰδήιον* (nach Krates statt *Ἰλήιον*, denn die ilische = troianische Ebene kann nicht gemeint sein, weil dahin Agenor gerade nicht wollte), nach dem idäischen Felde, d. h. dem vom Skamander durchflossenen Engthal hinter der Stadt und Burg, dem schmalen Strich fruchtbaren Landes neben dem Fluss, über welchem der Ida sich steil erhebt und der theils mit Getreide, theils mit dem schönsten dichten Gebüsch ((*ῥωπήια* 559) bedeckt ist. Dahin führte vielleicht vom skäischen Thore über den gegen den Fluss sich lagernden Abhang ein Fusssteig, und war Agenor einmal dort, so konnte ihn kein Blick mehr erreichen. (Nach Welcker, kleine Schriften 2. S. LXf.)

560f. *ἑσπέριος δ' ἂν ἔπειτα — ἀπονεοίμην* ist formell der Nachsatz zu 556–559, zur Ausmalung der mit der zweiten Voraussetzung verbundenen Vortheile: dann könnt' ich am Abend u. s. w. Nachher aber folgt die auch diese Voraussetzung zurückweisende Frage 562 *ἀλλὰ τίη — θυμός;* worüber vgl. zu *λ*, 407.

561. *ἱδρῶ ἀποψυχθείς*, vgl. *λ*, 621,

563. *μή με — νοήσῃ*, d. h. wenn er mich nur nicht sieht, gewiss würd' er mich sehen; vgl. zu *χ*, 123. — *ἀπαειρόμενον*, Schol. *ἀπαίροντα καὶ ἀποχωροῦντα*.

21 οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
566 λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατεναντίον ἔλθω·
καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέι χαλκῷ,
ἐν δὲ ἴα ψυχή, θνητὸν δέ ἕ φασ' ἄνθρωποι."
570 [ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.]
ὣς εἰπὼν Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δέ οἱ ἦτορ
ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
ἠύτε πόρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
575 ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠὲ βάλῃσιν,
ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·
ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
580 οὐκ ἔθελεν φεύγειν πρὶν πειρήσαιτ' Ἀχιλῆος,
ἀλλ' ὅ γ' ἄρ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐίσην,
ἐγχείῃ δ' αὐτοῖο τιτύσκετο, καὶ μέγ' ἄυτει
„ἦ δή που μάλ' ἔολπας ἐνὶ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων,
585 νηπύτι'· ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ.

567. *εἰ δέ κέν οἱ – ἔλθω*. Der Nachsatz zu dieser dritten, vom Sprechenden gebilligten Fallsetzung „so wird dies das Beste sein" ist mit in der folgenden Begründung enthalten = wenn ich ihm aber – entgegen trete; so ist ja wohl auch sein Leib verwundbar; vgl. zu *α*, 580 f. *εἴ περ γάρ κ' ἐθέλῃσιν – ὁ γὰρ πολὺ φέρτατός ἐστιν*.

569. *ἐν δὲ ἴα ψυχή*, er hat eine einzige (nicht wieder ersetzbare) Seele, nur Ein — nicht unverlierbares — Leben. Die Sage von der Unverwundbarkeit des Achilleus ist erst nachhomerisch.

570. *ἔμμεναι – ὀπάζει*. Wahrscheinlich ein Einschiebsel, das den unvollständig scheinenden Satz ergänzen sollte; aber der Schluss ist gegen den Zweck des Sprechenden.

576. *φθάμενος*, nämlich *ἀνὴρ θηρητήρ*.

577. *περὶ δουρὶ πεπαρμένη*, vgl. *α*, 465 *ἀμφ' ὀβελοῖσιν ἔπειραν*.

578. *ξυμβλήμεναι* intransitiv: *congredi*, hier: dem Feinde beikommen, ihn fassen.

581 f. *ἀσπίδα μὲν* (vgl. *μ*, 294) – *ἐγχείῃ δὲ κτἑ*. Er war gleichzeitig auf Vertheidung und Angriff bedacht.

585. *τετεύξεται – ἐπ' αὐτῇ*, es werden noch viele Leiden bereitet werden über und um sie (um sie zu beschützen oder zu erobern), zwar für beide Theile, aber gewiss auch für dich und dein Volk. Vgl. zu *δ*, 470 f. *ι*, 492.

ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμέν, **21**
οἳ καὶ πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ἴλιον εἰρυόμεσθα. σὺ δ' ἐνθάδε πότμον ἐφέψεις,
ὧδ' ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής."
ἦ ῥα, καὶ ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκεν, 590
καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατος, οὐδ' ἀφάμαρτεν,
ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο
σμερδαλέον κονάβησε· πάλιν δ' ἀπὸ χαλκὸς ὄρουσεν
βλημένου, οὐδ' ἐπέρησε, θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλείδης δ' ὡρμήσατ' Ἀγήνορος ἀντιθέοιο 595
δεύτερος· οὐδὲ ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
αὐτὰρ ὁ Πηλείωνα δόλῳ ἀποέργαθε λαοῦ·
αὐτῷ γὰρ ἑκάεργος Ἀγήνορι πάντα ἐοικὼς 600
ἔστη πρόσθε ποδῶν, ὁ δ' ἐπέσσυτο ποσσὶ διώκειν.
ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο,
τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα. δόλῳ δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσιν· 605
τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
ἀσπάσιοι προτὶ ἄστυ, πόλις δ' ἔμπλητο ἀλέντων.
οὐδ' ἄρα τοί γ' ἔτλαν πόλιος καὶ τείχεος ἐκτὸς
μεῖναι ἔτ' ἀλλήλους, καὶ γνώμεναι ὅς τε πεφεύγοι

587 f. *πρόσθε – υἱῶν*, vgl. *θ*, 57 *πρό τε παίδων καὶ πρὸ γυναικῶν.* — *εἰρυόμεσθα* ist Futurum (vgl. *τετεύξεται* und *ἐφέψεις*); darum geht auch *καὶ* voran: wie wir da sind, werden wir auch schützen.

591. *κνήμην*. Aus 594 ergiebt sich, dass er eigentlich nur die Schiene, *κνημίς*, traf.

599. *ἀποέργαθε*, er trennte ihn und hielt ihn entfernt, nicht nur momentan, sondern dauernd, bis die fliehenden Troer sich in die Stadt gerettet hatten, vgl. 606 f. *χ*, 14–20.

600. *αὐτῷ* gehört zu *Ἀγήνορι*, dem (nun entfernten) Agenor selbst.

602. *πεδίοιο* (vgl. zu 558), durch die weizentragende Ebene seitwärts vom skäischen Thore (gegen Osten).

603. *τρέψας*, ihm die Richtung gebend, eigentlich ihm in der eingeschlagenen Richtung (*χ*, 16) folgend und ihn so vor sich hertreibend.

604. *δόλῳ δ' ἄρ' ἔθελγεν* nach 599.

21 ὅς τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἀσπασίως ἐσέχυντο
611 ἐς πόλιν, ὅν τινα τῶν γε πόδες καὶ γοῦνα σαώσαι.

X.

22 ὣς οἱ μὲν κατὰ ἄστυ, πεφυζότες ἠύτε νεβροί,
ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν,
κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοί
τείχεος ἆσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες.
5 Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοιὴ μοῖρ' ἐπέδησεν,
Ἰλίου προπάροιθε πυλάων τε Σκαιάων.
αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων
„τίπτε με, Πηλέος υἱέ, ποσὶν ταχέεσσι διώκεις,
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
10 ἔγνως ὡς θεός εἰμι, σὺ δ' ἀσπερχὲς μενεαίνεις.
ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος οὓς ἐφόβησας,
οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρο λιάσθης.
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι."

Dieses Buch hängt in Hinsicht auf Inhalt und Darstellung enge mit den vorhergehenden zusammen. Es zeichnet sich dabei durch die höchste Wärme, ja Gluth der Empfindung, Kühnheit der Phantasie und einen schwunghaften Fluss der Rede aus. Dabei hat es jedoch einige Eigenheiten in Sprache und Versbau, welche zeigen, dass es wenigstens als Ganzes nicht zu den ältesten homerischen Gesängen gehört.

3. *κεκλιμένοι–ἐπάλξεσιν*. Sehr natürlich denkt sich der Dichter, dass die in die Stadt geretteten Krieger nicht sogleich nach Hause eilen, sondern noch um das Thor verweilen und von den Mauern herab, an die Brustwehren oder Zinnen derselben angelehnt, dem fernern Verlaufe der Schlacht zusehen.

4. *σάκε' - κλίναντες*, vgl. zu λ, 593.

5. *Ἕκτορα - ἐπέδησεν*. Eine Andeutung, dass nun auch Hektor's Stunde gekommen sei und sein Tod in diesem Gesange erzählt werden soll, vgl. 326–363.

9 f. *οὐδέ νύ πώ με ἔγνως*, vgl. φ, 410 *οὐδέ νύ πώ περ ἐπεφράσω*. Zu dem wiederholten *νὺ* vgl. Od. α, 60–62.

11. f. *ἦ νύ – Τρώων πόνος κτέ.*, nicht denkst du an den Kampf mit den Troern, die du in die Flucht geschlagen (und hättest verfolgen sollen), welche sich nun in die Stadt zurückgezogen haben. — *ἀλῆναι*, von einem freiwilligen Rückzug, wobei man sich in einen engern Raum zusammendrängt, wie σ, 286. — *σὺ – λιάσθης*, Schol. *σοῦ ἐνταῦθα ἀποκλιθέντος*.

13. *οὔ τοι μόρσιμός εἰμι* = *οὔ τοι μόρσιμόν ἐστιν ἐμὲ ἀποκτεῖναι*. Oder, da Apollon sich 9 f. schon als Gott zu erkennen gege-

τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς 22
„ἔβλαψάς μ', ἑκάεργε, θεῶν ὀλοώτατε πάντων, 15
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοί
γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰσαφικέσθαι.
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
ῥηιδίως, ἐπεὶ οὔ τι τίσιν γ' ἔδδεισας ὀπίσσω.
ἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.“ 20
ὣς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει,
σευάμενος ὥς θ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο·
ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα.
τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσιν, 25
παμφαίνονθ' ὥς τ' ἀστέρ', ἐπεσσύμενον πεδίοιο,
ὅς ῥά τ' ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαί
φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ·
ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσιν.
λαμπρότατος μὲν ὅγ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται, 30
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν.
ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε κόψατο χερσίν

ben hat, μόρσιμος = μοίρᾳ ὑποκείμενος, dem Verhängniss (des Todes) unterworfen.

16 f. τρέψας, vgl. zu φ, 603. — ἦ κ' ἔτι – εἷλον, erg. wenn du mich nicht hierher verlockt hättest.

20. ἦ σ' ἂν – παρείη, vgl. Od. β, 62 ἦ τ' ἂν ἀμυναίμην εἴ μοι κτέ.

22. ἵππος ἀεθλοφόρος. Weil der Verglichene, Achilleus, nur Einer ist, wird auch nur Ein Ross, mit dem er verglichen wird, genannt, obgleich nie nur Eines von den Wagen gespannt ist (σὺν ὄχεσφιν). Der Vergleichungspunct ist der Stolz (μέγα φρονέων) und die Siegeszuversicht (ἀεθλοφόρος).

23. ὅς ῥα – θέῃσι, wann es dahin eilt: zur Bezeichnung der in die Erscheinung tretenden, also bedingten Handlung, nicht der Eigenschaft an sich.

24. λαιψηρὰ – ἐνώμα, vgl. zu ο, 269.

26 f. παμφαίνονθ' ὥς τ' – ὀπώρης εἶσιν, vgl. ε, 5 f. ἀστέρ' ὀπωρινῷ κτέ.

28. νυκτὸς ἀμολγῷ, vgl. zu Od. δ, 841.

30. κακὸν σῆμα, als Vorbote hitziger Krankheiten (πυρετοί). Vgl. Virg. Aen. 10, 273 f. *Sirius ardor, Ille sitim morbosque ferens mortalibus aegris.* Unglück verkündet aber auch der herankommende Achilleus.

33 f. χερσὶν ist auch bei ἀνασχόμενος (hoch ausholend) wieder zu denken, nach ψ, 686 ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν. —

22 ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει
35 λισσόμενος φίλον υἱόν· ὁ δὲ προπάροιθε πυλάων
ἑστήκειν, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι.
τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα, χεῖρας ὀρεγνύς.
„Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
οἶος ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπῃς
40 Πηλείωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν,
σχέτλιος. αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο
ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδοιεν
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι·
ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκεν,
45 κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄστυ ἀλέντων,
τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.
ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦ τ' ἂν ἔπειτα
50 χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ'· ἔστι γὰρ ἔνδον·
πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.
εἰ δ' ἤδη τεθνᾶσι καὶ εἰν Ἀίδαο δόμοισιν,
ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα·
λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
55 ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς Ἀχιλῆϊ δαμασθείς.
ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρῳάς, μηδὲ μέγα κῦδος ὀρέξῃς

μέγα gehört zu ἐγεγώνει.

35 f. ὁ δὲ – ἑστήκειν, vgl. 5 f.

43. ἦ κέ – ἔλθοι, gleichsam: es wäre mir ein schwerer Stein vom Herzen genommen.

44. ὅς μ' – ἔθηκεν hängt zunächst mit dem Epiphonema σχέτλιος 41 als Begründung zusammen, zu welchem die dazwischen liegenden Verwünschungen eigentlich nur eine Umschreibung bilden.

46. καὶ γὰρ νῦν δύο παῖδε. Priamos wusste noch nichts vom Tode dieser zwei erst am selbigen Tage durch Achilleus gefallenen Söhne; über Polydoros vgl. υ, 407 – 418, über Lykaon φ, 34 – 119.

48. Λαοθόη κρείουσα γυναικῶν, vgl. zu φ, 84 f. und 88.

51. πολλὰ – ὤπασε, vgl. ι, 147 ἐπὶ μείλια δώσω πολλὰ μάλα.

52. καὶ – δόμοισιν erg. εἰσίν, wie Od. ο, 350.

54. λαοῖσιν – ἔσσεται, weil die beiden Gefallenen für das übrige Volk bei weitem nicht die Bedeutung hatten wie Hektor. Aus Rücksicht auf das Volk soll also Hektor sich retten.

57 f. μηδὲ – ὀρέξῃς – ἀμερ-

Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερϑῇς. **22**
πρὸς δ᾽ ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ᾽ ἐλέησον,
δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ 60
αἴσῃ ἐν ἀργαλέῃ φϑίσει, κακὰ πόλλ᾽ ἐπιδόντα,
υἷάς τ᾽ ὀλλυμένους, ἑλκηϑείσας τε ϑύγατρας,
καὶ ϑαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηιοτῆτι,
ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν. 65
αὐτὸν δ᾽ ἂν πύματόν με κύνες πρώτῃσι ϑύρῃσιν
ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέι χαλκῷ
τύψας ἠὲ βαλὼν ῥεϑέων ἐκ ϑυμὸν ἕληται,
οὓς τρέφον ἐν μεγάροισι τραπεζῆας ϑυραωρούς,
οἵ κ᾽ ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ ϑυμῷ, 70
κείσοντ᾽ ἐν προϑύροισι. νέῳ δέ τε πάντ᾽ ἐπέοικεν,

ϑῇς. Diese Glieder hangen auch von *ὄφρα* ab. — Durch sein Bleiben und Fallen würde Hektor selbst dem Achilleus grossen Ruhm darbieten.

59. *πρὸς δὲ* verbinde mit *ἐλέησον.* — *ἔτι φρονέοντα*, Schol. *ἕως τοῦ φρονεῖν εἰμὶ κύριος*, der ich noch mein volles Bewusstsein und das ungeschwächte Vermögen, jeden Schmerz zu empfinden, besitze. Daher *ψ*, 104 *ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν* von Todten.

60. *ἐπὶ γήρ. οὐδῷ*, vgl. Od. *ο*, 246. 348. Jede Schwelle ist auch eine Erhöhung, das Alter aber ist die Höhe des Lebens.

61 ff. *ἐπιδόντα.* In Betreff des verschwundenen Digamma vgl. *δ*, 508 = *η*, 21⁻ *ἐκκατιδών.* — Die folgenden Accusative sind Epexegese zu *κακὰ πολλά.* — Zu *ἑλκηϑείσας* = 65 vgl. Od. *λ*, 580 *Λητὼ γὰρ ἥλκησε* und *π*, 108 f. *δμωάς τε γυναῖκας ῥυστάζοντας ἀεικελίως.* Dies war nach der Sage der Spätern das Schicksal der Kassandra; das *βάλλεσϑαι προτὶ γαίῃ* traf den Astyanax; vgl. Psalm. 136 (eig. 137), 9 *μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.*

66. *πύματον*, so dass er noch allen vorher aufgezählten Jammer erleben und mit ansehen musste. — *πρώτῃσι ϑύρῃσιν*, d. i. *αὐλείοις* oder *προαυλείοις* = 71 *ἐν προϑύροισι*, vgl. Od. *α*, 255 *ἐν πρώτ. ϑύρῃσιν* mit ebend. 103 *ἐπὶ προϑύροις.*

67. *ἐρύουσιν*, vgl. *φ*, 588 *εἰρυόμεσϑα* und *λ*, 454 *ὠμησταὶ ἐρύουσι.*

68. *ῥεϑέων*, vgl. *π*, 856 *ψυχὴ ἐκ ῥεϑέων πταμένη.*

69 f. *οὓς τρέφον κτέ.* Die Vorstellung von den rohen und gefühllosen Hunden (66) wird auf eine das Gemüth noch mehr verletzende Weise weiter ausgeführt. — *ἀλύσσοντες*, aufgeregt und wie berauscht von der Menge des Blutes. Dass die Hunde nicht um ihren Herrn trauern, geht aus 74 f. klar hervor. — Zu *περὶ ϑυμῷ* vgl. *π*, 157 *τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή.*

71. *πάντ᾽ ἐπέοικεν* wie 73 *πάντα δὲ καλά*, Alles steht ihm wohl an, ist schön an ihm, nämlich nicht

72 ἀρηικταμένῳ, δεδαϊγμένῳ ὀξέι χαλκῷ,
κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅ ττι φανήῃ.
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον
75 αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν."
ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσίν
τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθεν.
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δακρυχέουσα,
80 κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχεν·
καί μιν δακρυχέουσ' ἔπεα πτερόεντα προσηύδα.
„Ἕκτορ, τέκνον ἐμόν, τάδε τ' αἴδεο καί μ' ἐλέησον
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον.
τῶν μνῆσαι, φίλε τέκνον, ἄμυνε δὲ δήιον ἄνδρα
85 τείχεος ἐντὸς ἐών, μηδὲ πρόμος ἵστασο τούτῳ.
σχέτλιος· εἴ περ γάρ σε κατακτάνῃ, οὔ σ' ἔτ' ἔγωγε
κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτή,
οὐδ' ἄλοχος πολύδωρος· ἄνευθε δέ σε μέγα νῶιν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται."
90 ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱόν,

an sich, so dass es etwa deswegen wünschenswerth für ihn wäre zu fallen, sondern nur in Vergleichung mit dem Greise, weil er selbst noch jugendlich kräftig und schön ist. Daher hat der junge Mann selbst die Misshandlung und Verunstaltung seines Leichnams nicht so sehr zu scheuen.

73. *θανόντι περ*, selbst wenn er gefallen ist: „im Tode noch kraftvoll und schön". — *ὅ ττι*, in Beziehung auf *πάντα* distributiv.

77. *ἦ ῥ' ὁ γέρων*, vgl. zu ζ, 390 *ἦ ῥα γυνὴ ταμίη*.

78. *οὐδ' – ἔπειθεν* = 91, d. i. *ἀλλ' οὐκ – ἔπειθεν*. Vgl. Od. ο, 246.

80. *κόλπον ἀνιεμένη*, Schol. *ἀπογυμνοῦσα τὸ κατὰ τοὺς μαστοὺς κόλπωμα*. Vgl. Od. β, 300 *αἶγας ἀνιεμένους*. — *ἑτέρηφι*, d. h. mit der Linken, wie Od. γ, 441 *ἑτέρῃ δ' ἔχεν οὐλὰς ἐν κανέῳ*.

83. *αὐτήν*, im Gegensatze von *τάδε*, der Brust. — *λαθικηδέα*, Schol. *τὸν λήθην ἐμποιοῦντα τοῖς παισὶ τῶν κακῶν ἁπάντων*. Vgl. Od. δ, 221 *φάρμακον κακῶν ἐπίληθον ἁπάντων* mit ebend. υ, 85. — Zu *ἐπέσχον* vgl. ι, 489 *οἶνον ἐπισχών*.

85. *πρόμος*, Schol. *ὁ πρὸ τῶν ἄλλων μαχόμενος*, nach der Umschreibung 458 f. *ἐπεὶ – προθέεσκε*, vgl. mit Od. λ, 493. 514 f.

86. *σχέτλιος* geht zwar auf den Angeredeten, Hektor, ist aber nicht eigentliche Anrede, sondern mehr Ausruf = Unbarmherziger, der du bist. Vgl. α, 231 *δημοβόρος βασιλεύς*. β, 112 *σχέτλιος*.

88. *ἄλοχος πολύδωρος*, vgl. zu ζ, 394. — *μέγα* ist Verstärkung zu *ἄνευθε – νῶιν*, weit von uns entfernt.

πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον, 22
ἀλλ' ὅ γε μίμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσιν,
βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός,
σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ· 95
ὣς Ἕκτωρ ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει,
πύργῳ ἔπι προύχοντι φαεινὴν ἀσπίδ' ἐρείσας.
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν
„ὤ μοι ἐγών. εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει, 100
ὅς μ' ἐκέλευε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
νύχθ' ὕπο τήνδ' ὀλοήν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦ τ' ἂν πολὺ κέρδιον ἦεν.
νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν,
αἰδέομαι Τρῶας καὶ Τρωάδας ἑλκεσιπέπλους, 105
μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο
‚Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν.'

93. *ἐπὶ χειῇ*, am Eingang seiner Höhle. *χειά*, Schol. *ἡ τῶν ὄφεων κατάδυσις*, vgl. *φ*, 494f. *πέτρην, χηραμόν.*

94. *βεβρωκὼς κακὰ φάρμακα* = Virg. Aen. 2, 471 *coluber mala gramina pastus.*

95. *ἑλισσόμενος περὶ χειῇ*, vgl. *α*, 317 *ἑλισσομένη περὶ καπνῷ.* Dagegen Schol. *ἑλίσσει τὴν σπεῖραν περὶ τὴν χειάν.*

97. *πύργῳ ἔπι – ἐρείσας*, Schol. *παρὰ τὸ προέχον τοῦ πύργου* (die breitere und darum vorspringende Unterlage des Thurmes).

98–130. *ὀχθήσας – ὤ μοι ἐγών κτἑ.* Zur ganzen Gestaltung und Gliederung der folgenden Rede vgl. *φ*, 552 – 569. Auch hier denkt sich Hektor drei Fälle: den ersten sogleich zurückgewiesenen 99 – 110; den zweiten zuerst mit Vorliebe durchgeführten, dann aber ebenfalls als unzulässig verworfenen, 111 – 120 und 122 – 128; und den dritten mit wenig Worten abgethanen 129f.

100f. *Πουλυδάμας – ὅς μ' ἐκέλευε.* Die Rede des Polydamas, auf die sich Hektor bezieht, s. *σ*, 254 – 283. — *πρῶτος*, zuerst, doch nicht allein, vgl. 105 – 108. — Zu *ἐλεγχ. ἀναθήσει* vgl. Od. *β*, 86 *μῶμον ἀνάψαι.*

102. *νύχθ' ὕπο τήνδ' ὀλοὴν* ist weniger mit *ἐκέλευε* als mit *ἡγήσασθαι* zu verbinden (denn unter dem Schutze der vergangenen Nacht sollte der Rath des Polydamas ausgeführt werden). — *ὅτε τ' ὤρετο*, d. h. gestern, am gestrigen Tage. Allerdings hatte Polydamas seinen Rath auch, als es schon Nacht war, gegeben, vgl. *σ*, 267.

104. *ἀτασθαλίῃσιν ἐμῇσιν*, d. h. im vermessenen Vertrauen auf die eigene Kraft.

105. *αἰδέομαι – ἑλκεσιπέπλους* = *ζ*, 442.

106. *κακώτερος*, ein Schlechterer, dem das gar nicht ansteht.

22 ὡς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
ἄντην ἢ Ἀχιλῆα κατακτείναντι νέεσθαι
110 ἠέ κεν αὐτῷ ὀλέσθαι ἐυκλειῶς πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ,
115 πάντα μάλ' ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,
δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα δ' ἀμφὶς Ἀχαιοῖς
ἄλλ' ἀποδάσσεσθαι, ὅσα τε πτόλις ἥδε κέκευθεν·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
120 μή τι κατακρύψειν ἀλλ' ἄνδιχα πάντα δάσασθαι
[κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει].
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὁ δέ μ' οὐκ ἐλεήσει

109 f. *ἄντην* gehört zu *κατακτείναντι*, steht aber voran, weil dieser Fall als der erwünschtere dem Hektor zuerst vorschwebt. Es sind hier, durch eine nicht ganz logische Gleichstellung, zwei Fälle coordinirt, von denen der eine — hier der erste — durch wenn nicht subordinirt sein sollte. Der Sinn ist nämlich: mir aber wäre dann, wenn ich nicht dem Achilleus Stand haltend als sein Sieger wiederkehren kann, erwünschter, selbst rühmlich zu fallen.

111 f. *ἀσπίδα - δόρυ*. Die Waffen würde er ablegen, um zu zeigen, dass er dem Achilleus in friedlicher Absicht nahe, um mit ihm zu unterhandeln.

115. *πάντα μάλα*, gar alle, vgl. *γ*, 282 *Ἑλένην καὶ κτήματα πάντα*.

117 f. *ἅμα δ' ἀμφὶς - ἄλλ' ἀποδάσσεσθαι* (*ὑπόσχωμαι*), zugleich noch besonders (*ἀμφίς* = *χωρίς*, vgl. zu Od. *τ*, 46), d. h. ausser dem von der Helena Mitgebrachten, Anderes den Achäern zuzutheilen. Der Ausdruck ist hier noch etwas zu allgemein und unbestimmt, als ob alles in der Stadt befindliche Gut getheilt werden sollte; erst 120 durch *ἄνδιχα πάντα δάσασθαι* wird der Umfang der Vertheilung näher bestimmt, nämlich zu gleichen Hälften zwischen den Belagerern und den Belagerten in der zu *σ*, 510 erklärten Weise.

119. *Τρωσὶν δ' αὖ - ἕλωμαι*. Weitere Ausführung dieser Voraussetzung: „den Troern aber will ich dann nachher einen feierlichen Eid abnehmen", so dass es auch *Τρώων* heissen könnte, wie Od. *δ*, 746 *ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον*. Der Dativ bei *αἱρεῖσθαι* = *παρά τινος* scheint analog dem bei *δέχεσθαι* (*δέχεσθαί τινί τι*) und *αἱρεσθαι*, vgl. zu *δ*, 95.

121. *κτῆσιν - ἐέργει* scheint aus *σ*, 512 hierher verpflanzt.

123. *μή μιν - ἵκωμαι ἰών*, gleichsam als Schutzflehender (*ἱκέτης*) = *ξ*, 260. Die Wendung dieses Satzes ist dieselbe wie *φ*, 563;

οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα 124
αὔτως ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω. 125
οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
τῷ ὀαριζέμεναι, ἅ τε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν ὅττι τάχιστα·
εἴδομεν ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ." 130
ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεὺς
ἶσος Ἐνυαλίῳ κορυθάικι πτολεμιστῇ,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος. 135
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος· οὐδ' ἄρ' ἔτ' ἔτλη

hier aber geht die Rede sogleich in die directe Verneinung über (*οὐκ ἐλεήσει – αἰδέσεται*).

126f. *οὐ μέν πως νῦν ἔστιν – ὀαριζέμεναι*, nicht kann man jetzt von der Eiche noch von dem Felsen (eigentlich davon ausgehend, beginnend) mit ihm plaudern, traulich kosen wie die Jungfrau und der Jüngling, d. h. von einfältigen und gleichgültigen, durch die allbekannte Volkssage überlieferten Dingen, die auf das wirkliche Verhältniss und die Situation der Sprechenden keinen Bezug haben. Aehnlich Hesiod. Theogon. 35 *ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;* vgl. auch zu Odyss. τ, 163. Andere beziehen *ἀπὸ δρυὸς – πέτρης* auf die Standpuncte der Plaudernden, des (Hirten-) Mädchens und Jünglings, als ob es hiesse *ἅ τε παρθένος ἀπὸ δρυὸς ἠΐθεός τε ἀπὸ πέτρης*.

127. *ἅ τε παρθένος κτἑ.* Den Liebenden ist jeder Stoff der Unterhaltung gut genug, wenn sie nur lange bei einander sein, ihn lange ausspinnen können. — *ἅ τε* erg. *ὀαρίζετον*, *qualia colloquuntur*, welcherlei Dinge sie plaudern. Das gemüthliche Verweilen auf dieser Vorstellung ist hier der Lage und Stimmung des Sprechenden besonders angemessen; vgl. Einleit. S. 4.

129. *βέλτερον αὖτ' – ὅττι τάχιστα.* Plötzlich rafft sich Hektor nach langem Zaudern zu dem einzig seiner würdigen Entschlusse auf, sich ohne Verzug zum entscheidenden Kampf darzubieten. — *ὅττι τάχιστα* gehört also zu *ξυνελαυνέμεν*.

130. *εἴδομεν*, wir wollen wissen. Zur Verbindung der Sätze vgl. ψ, 71 *θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.*

132. *κορυθάικι πτολεμ.* Schol. *τῷ κινοῦντι ἐν τοῖς πολέμοις τὴν περικεφαλαίαν (κόρυθα)*, vgl. ο, 608f. *ἀμφὶ δὲ πήληξ σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο.*

134. *χαλκὸς* zunächst wohl der Lanzenspitze, vgl. ξ, 385f. *δεινὸν ἄορ τανύηκες – εἴκελον ἀστεροπῇ.*

136. *ἕλε τρόμος κτἑ.* So entschlossen Hektor geschienen hatte, so übermannt ihn jetzt doch beim Anblick des Achilleus plötzlicher Schrecken.

22 αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
Πηλείδης δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς.
ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
140 ῥηιδίως οἴμησε μετὰ τρήρωνα πέλειαν·
ἡ δέ θ' ὕπαιθα φοβεῖται, ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼς
ταρφέ' ἐπαΐσσει, ἑλέειν τέ ἑ θυμὸς ἀνώγει·
ὣς ἄρ' ὅ γ' ἐμμεμαὼς ἰθὺς πέτετο, τρέσε δ' Ἕκτωρ
τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.
145 οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεος αἰὲν ὑπὲκ κατ' ἀμαξιτὸν ἐσσεύοντο,
κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα τε πηγαί
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.

137. *ὀπίσω δὲ πύλας λίπε*, er verliess das (skäische) Thor (und zog sich) rückwärts, der Mauer entlang, doch nicht wirklich um die Stadt herum; vgl. zu 144f. 165.

144. *τεῖχος ὕπο Τρώων*, unter der Mauer hin.

145. *οἱ δὲ παρὰ σκοπιὴν κτέ.* Wäre Hektor wirklich um die Stadt (Burg) herumgelaufen (was schon wegen der Beschaffenheit der Oertlichkeit unmöglich war, vgl. Einleit. S. 33), so müsste es gerade hier, ehe von der Warte und dem Feigenbaum die Rede sein konnte, erwähnt sein. Denn diese Puncte befinden sich ohne Zweifel für die Achäer diesseits der Stadt gegen die Ebene, vgl. 198 *πρὸς πεδίον*. Die Warte (*σκοπιή*) nämlich ist wohl jedenfalls gegen das Heer der Achäer gerichtet; über den *ἐρινεός* vgl. zu ζ, 433. Dass aber die einander nachsetzenden Helden so schnell die hier bezeichneten Puncte berührten, kam wohl daher, dass jetzt zum ersten Mal der 197 angegebene Fall eintrat, dass Achilleus dem Hektor, wenn er der Mauer und einem Thore am nächsten war, vorsprang und ihn wieder von Mauer und Thor hinweg und gegen die Ebene zurücktrieb.

146. *τείχεος αἰὲν ὑπέκ*, immer (mehr) von und unter der Mauer hinweg, gegen die Ebene hinaus, bis dann unterhalb der beiden Quellen (147, vgl. zu 162) Hektor wieder gegen die Stadt umbog.

147f. *κρουνὼ – πηγαὶ δοιαὶ κτέ.*, vgl. Einleit. S. 33f. *κρουνὼ* oder 208 *κρουνοὶ* heissen die Becken oder natürlichen Brunnenbeete, in welche sich das hier aus der Erde quellende, nach der Meinung des Volkes aber aus dem Skamander (oder seinen Quellen am Ida μ, 21f.) durchgesickerte Wasser sammelt. Beide Springe bestehen eigentlich aus mehrern Quellen, die sich theils unmittelbar beim Ursprung, theils nach kurzem Laufe je zu einem Bache vereinigen und dann den Simois bilden; der eine aus mehrern vereinigten Quellen mit grosser Wassermasse hervorbrechende soll schon seit alter Zeit in einen Behälter aus grossen Steinen (Granit- und Marmorblöcken) gefasst sein.

148. *Σκαμάνδρου διν.* hängt nicht eigentlich von *πηγαί*, sondern mehr von *ἀναΐσσουσι* ab als Genitiv des Ursprunges. Schol. *ἀπὸ Σκαμάνδρου*: von dem wirbelnden Skamandros her; denn der Skaman-

ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
γίγνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο· 150
ἡ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ
ἢ χιόνι ψυχρῇ ἢ ἐξ ὕδατος κρυστάλλῳ.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασιν
καλοὶ λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα
πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες 155
τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων,
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήιον οὐδὲ βοείην
ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίγνεται ἀνδρῶν, 160
ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι

dros fliesst schon vorher, nur auf der andern Seite des Thales, und hat bereits eine bedeutende Strecke zurückgelegt.

149. ἡ μὲν – λιαρῷ ῥέει erg. χειμῶνι, wie sich aus dem Gegensatz θέρεϊ – χαλάζῃ κτέ. 151 ergiebt: die eine fliesst (im Winter oder wie man im Winter sieht) von lauem Wasser. Eigentlich haben zwar (nach dem übereinstimmenden Zeugniss von Welcker und Forchhammer) beide Springe die gleiche Temperatur, aber der grössere dampft im Winter oder bei eintretendem Froste, weil das Quellwasser dann weniger kalt ist als die umgebende Luft, was beim Volke auf seiner kindlichen Bildungsstufe die Vorstellung wirklicher Wärme hervorrief; bei den getrennten kleinern Quellen des andern Springs wurde ein solcher Dampf nicht bemerkt, daher die Vorstellung von dessen hoher Kälte namentlich im Sommer, wo jener Dampf überhaupt nicht sichtbar ist.

151. θέρεϊ, selbst im Sommer; für den Winter versteht sich dies von selbst, so wie umgekehrt das 149 Gesagte für den Sommer.

153. ἐπ' αὐτάων, über oder an denselben = παρ' αὐταῖς. — πλυνοί = Odyss. ζ, 86 ausgemauerte (λαΐνεοι) Waschgruben. — ἐγγύς, nämlich τῶν πηγῶν. Schon diese Erwähnung, noch mehr aber die folgende Ausführung bildet einen freundlichen Contrast zu den vorher und nachher geschilderten Schrecknissen des Krieges.

157. φεύγων, d. i. ὁ μὲν oder ὁ μὲν ἔμπροσθε φεύγων.

159f. καρπαλίμως gehört nicht nur zum letzten, sondern eben so sehr zum vorhergehenden Gliede πρόσθε – ἔφευγε, wie der erklärende Satz ἐπεὶ οὐχ – ἀρνύσθην und die Natur der Sache zeigt. — βοείη wurde oft auch als Kampfpreis gegeben; vgl. Herodot. 2, 91 von den Aegyptern: παρέχοντες ἄεθλα κτήνεα (= ἱερήια) καὶ χλαίνας καὶ δέρματα. Ueber ἄρνυμαι vgl. zu Od. α, 5.

161. περὶ ψυχῆς – Ἕκτορος, also Hektor um sein eigenes Leben.

162. περὶ τέρματα. Die Erwähnung der τέρματα gerade auf die-

22 ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνηῶτος·
165 ὣς τὼ τρὶς Πριάμοιο πόλιν πέρι δινηθήτην
καρπαλίμοισι πόδεσσι. θεοὶ δέ τε πάντες ὁρῶντο.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε.
„ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
170 Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε
ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεύς
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάασθε
175 ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη
Πηλείδῃ Ἀχιλῆι δαμάσσομεν ἐσθλὸν ἐόντα."
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη
„ὦ πάτερ ἀργικέραυνε κελαινεφές, οἷον ἔειπες.
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
180 ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι."

sem Puncte der Erzählung scheint anzudeuten, dass auch die einander Nachsetzenden bei dem 147 - 156 bezeichneten Puncte umbogen und sich dann wieder mehr der Stadt und dem Thore näherten.

164. ἀνδρὸς κατατεθνηῶτος, d. h. bei einer Leichenfeier, Leichenspielen, wie die im folgenden Buche geschilderten.

165. Πριάμοιο πόλιν πέρι δινηθήτην, sie kreiseten dreimal um des Priamos Stadt: wobei nach der ganzen vorhergehenden Beschreibung (vgl. zu 145) nicht gesagt sein soll, dass sie um die Stadt selbst herumgelaufen, sondern nur, dass sie in dreimaligem Laufe in der Nähe der Stadt und theilweise um sie herum einen engen Bogen gemacht, eine kreis- oder ellipsenförmige Linie beschrieben haben. Zu diesem Gebrauche von περὶ vgl. ζ, 327 περὶ πτόλιν αἰπύ τε τεῖχος μαρνάμενοι; aber es lässt sich nicht leugnen, dass derselbe sehr dem Missverständniss ausgesetzt (wo nicht darauf berechnet) war und dieses in der Sage nicht ausbleiben konnte.

168. ἦ φίλον ἄνδρα. Noch einmal tritt die Theilnahme des höchsten Gottes für Hektor hervor, aber eben dadurch wird der Athene Gelegenheit gegeben, in die Handlung einzugreifen und den Entscheid zu Gunsten des Achilleus herbeizuführen (177 - 187).

172. πόλει ἀκροτάτῃ, d. i. ἀκροπόλει, vgl. zu υ, 52.

179 - 181. ἄνδρα - θεοὶ ἄλλοι = π, 441 - 443, wo Hera diese Worte in Beziehung auf Sarpedon ebenfalls an Zeus (431 - 438) richtet.

τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς 182
„θάρσει, τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.
ἔρξον ὅπῃ δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει.“ 185
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα καὶ διὰ βήσσας· 190
τὸν δ' εἴ πέρ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
ἀντίον ἀΐξασθαι, ἐυδμήτους ὑπὸ πύργους, 195
εἴ πώς οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσιν,
τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθάς
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ' αἰεί.
ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν οὔθ' ὁ διώκειν· 200

183 f. *θάρσει – εἶναι* = *θ*, 39 f. Man fühlt übrigens diesen Versen wohl an, dass sie eine Art stehender Formel sind, und darf daher nicht fordern, dass an jeder Stelle jedes einzelne Wort mit bestimmter Beziehung gesprochen sei.

186 f. *ὣς εἰπὼν – ἀΐξασα* = *δ*, 73 f.

188. *Ἕκτορα δ' ἀσπερχὲς κτέ.* Die 166 abgebrochene Haupterzählung wird wieder fortgesetzt.

191 f. *εἴ πέρ τε – ἀλλά τε*, vgl. *α*, 81 f. *εἴ περ γάρ τε – ἀλλά τε*. — *ἀνιχνεύων* erg. *τὸν νεβρόν*, *θέει ἔμπεδον* (*ὁ κύων*).

193. *οὐ λῆθε*, d. h. er konnte ihm nicht entgehen, sich nirgends vor ihm verbergen, auch nicht in die Stadt entweichen.

194. *πυλάων Δαρδ.* hängt von *ἀντίον ἀΐξασθαι* ab und wird durch *ἐυδμήτους ὑπὸ πύργους* näher bestimmt.

197. *προπάροιθεν παραφθάς*, noch vorher an ihm vorbeieilend, vgl. zu *κ*, 476. Freilich liegt in der Verbindung auch der locale Begriff = *εἰς τοὔμπροσθεν φθάσας*.

198. *ποτὶ πτόλιος*, auf der Stadtseite, näher an der Stadt.

199–201. *ὡς δ' – οὐ δύναται* erg. *τίς*. Das nie endende und doch erfolglose Nachsetzen des Einen und Fliehen des Andern, als Wirkung der gleichen Schnelligkeit Beider, wird anschaulich gemacht durch Vergleichung mit einem Traum, worin der Verfolgende eben so wenig den Verfolgten erreichen, als dieser jenem entkommen (*ὑποφεύγειν*) kann. Der zweite Vers enthält mit theilweiser Wiederholung die Vervollständigung des

22 ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποσίν, οὐδ' ὃς ἀλύξαι.
πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
205 λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,
οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
210 ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,
ᾤχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
215 ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.

ersten. — *μάρψαι ποσίν*, brachylogisch: einen mit den Füssen so einholen, dass man ihn fassen kann = φ, 564.

202. *πῶς δέ κεν - ὑπεξέφυγεν*, nämlich bis dahin, auch nur so lange (nicht überhaupt). Der von Apollon den Troern geleistete Beistand (vgl. φ, 545 ff. χ, 7) wird wieder in Erinnerung gebracht, um das Aufhören desselben und die Wirkung davon (213) desto bemerkbarer zu machen.

203. *πύματόν τε καὶ ὕστατον*, vgl. Od. δ, 685 *ὕστατα καὶ πύματα*.

205 f. *λαοῖσιν δ' ἀνένευε*. Ein zweiter, wiewohl untergeordneter Umstand, der es begreiflich macht, dass Hektor so lange dem Tod entgehen konnte: Achilleus verbot den Seinigen auf Hektor zu schiessen, damit ihm die Ehre, ihn besiegt zu haben, nicht entgehe. — Zu *ἀνένευε - οὐδ' ἔα* vgl. Od. ι, 468 *οὐκ εἴων, ἀνὰ δ' ὀφρύσι νεῦον*.

207. *ὁ δέ*, d. i. *αὐτὸς δέ, Ἀχιλλεύς*.

208. *τὸ τέταρτον*, vgl. 165, also während des vierten Kreislaufes, der aber nicht mehr vollendet wurde, wie 251 zeigt.

209–212. *καὶ τότε δὴ – αἴσιμον ἦμαρ* = θ, 69–72 nur mit andern Namen. Vgl. Virgil. Aen. 12, 725 ff. *Iupiter ipse duas aequato examine lances Sustinet et fata imponit diversa duorum, Quem damnet labor et quo vergat pondere letum.*

213. *ᾤχετο*, nämlich *Ἕκτορος αἴσιμον ἦμαρ*. Das Sinken der Wagschale ist Symbol des Hinabsinkens in den Hades. — *λίπεν δέ ἑ. Φ. Ἀ.*, und in demselben Augenblick verliess ihn auch der letzte Beistand der Götter. Dieser einzige, dabei alles Schmuckes entbehrende Vers giebt uns einerseits eine erhabene Vorstellung von der Macht des Geschickes, dem selbst die Götter unterthan sind; anderseits macht er recht fühlbar, wie von den Göttern verlassen der Sterbliche unrettbar verloren ist.

214. *Πηλείωνα δ' ἵκανε* im Zusammenhang mit 187.

„νῦν δὴ νῶΐ γ' ἔολπα, διίφιλε φαίδιμ' Ἀχιλλεῦ, 22
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δῃώσαντε μάχης ἆτόν περ ἐόντα.
οὔ οἱ νῦν ἔτι γ' ἔστι πεφυγμένον ἄμμε γενέσθαι,
οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων 220
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι."
ὣς φάτ' Ἀθηναίη, ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ,
στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς. 225
ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον
Δηιφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν.
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.
„ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων. 230
ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες."
τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ
„Δηίφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι, 235

216f. νῶΐ γ' ἔολπα - οἴσεσθαι = ρ, 238f. οὐκέτι νῶι ἔλπομαι - νοστησέμεν.

218. μάχης ἆτον, vgl. ζ, 203 Ἄρης ἆτος πολέμοιο.

219. πεφυγμένον - γενέσθαι = φυγεῖν, vgl. ζ, 488 μοῖραν - πεφυγμένον ἔμμεναι = πεφευγέναι.

220. εἰ μάλα πολλὰ πάθοι, wenn sich noch so sehr abmühte.

221. προπροκυλινδόμενος - Διός, sich fort und fort wälzend vor Zeus; vgl. Od. ρ, 525.

222. ἄμπνυε, Aorist vom ungebräuchlichen Indicat. act. ἄμπνυον (ἀνέπνυον) = ἀνέπνυν, wie πίε mit gleichmässig geänderter Quantität Od. ι, 347 von ἔπιον für das sonst übliche πῖθι.

223. πεπιθήσω, Transitivum zu dem Od. φ, 369 vorkommenden intransitiven πιθήσω.

227. Δηιφόβῳ - φωνήν, vgl. ν, 45 εἰσάμενος - δ. κ. ἀ. φ. Deiphobos war in der letzten Zeit des Krieges eine Hauptperson auf Seite der Troer; vgl. zu Od. δ, 276.

229. ἠθεῖ', ἦ - σε = ζ, 518, vgl. zu Od. ξ, 147. Ueber das hinterlistige Benehmen der Athene vgl. Einleit. S. 10.; doch wird dadurch noch ein passender, beider Helden würdiger Schluss des Kampfes herbeigeführt, vgl. 250ff. 283f. 304-311.

235. νοέω - τιμήσασθαι, erg. σέ, jetzt gedenk' ich dich noch weit mehr in Ehren zu halten.

22 ὃς ἔτλης ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσιν,
τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσιν."
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη
„ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
240 λίσσονθ' ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα εἴδομεν ἤ κεν Ἀχιλλεὺς
245 νῶι κατακτείνας ἔναρα βροτόεντα φέρηται
νῆας ἔπι γλαφυράς, ἦ κεν σῷ δουρὶ δαμήῃ."
ὣς φαμένη καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ
250 „οὔ σ' ἔτι, Πηλέος υἱέ, φοβήσομαι, ὡς τὸ πάρος περ
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ' ἔτλην
μεῖναι ἐπερχόμενον. νῦν αὖτέ με θυμὸς ἀνῆκεν
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν ἤ κεν ἁλοίην.
ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
255 μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων.
οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴ κεν ἐμοὶ Ζεὺς

237. *ἄλλοι δ' ἔ. μένουσιν*, d. i. *ἄλλων ἔντοσθε μενόντων*.

240. *λίσσονθ'* = *ἐλίσσοντο*. Athene spricht in der Person des Deiphobos. — *ἀμφὶ δέ*, erg. *ἐλίσσοντο*.

241. *τοῖον*, vgl. Od. γ, 496 *τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι*.

243f. *μηδέ τι – φειδωλή*, vgl. zu η, 409 *οὐ γάρ τις φειδὼ νεκύων κτέ*.

247. *ὣς φαμένη καὶ – ἡγήσατ' Ἀθήνη*. *καὶ* dient zur Hervorhebung von *ἡγήσατο*, das als Hauptbegriff betont werden muss: Athene ermunterte ihn nicht nur mit Worten, sondern ging ihm a u c h voran, führte ihn in ihrer Arglist w i r k l i c h dem Achilleus entgegen.

250f. *ὡς τὸ πάρος περ – δίον*, d. i. *ἐδιώχθην, διωκόμενος ἔφευγον*. Zur brachylogischen Bildung des Satzes vgl. zu τ, 403 *μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι*. φ, 430.

253. *ἕλοιμι – ἁλοίην*, mag ich dich bezwingen oder von dir bezwungen werden; vgl. zu σ, 308.

254. *δεῦρο θεοὺς ἐπιδώμεθα*, Schol. *ἑαυτοῖς* (= *ἡμῖν αὐτοῖς*) *μάρτυρας ἢ ἐπόπτας ποιήσωμεν ἐπιμαρτυρώμεθα*, lass uns die Götter gegenseitig als Zeugen und Bürgen g e b e n. Anders *ἐπιδωσόμεθα* κ, 463. — *δεῦρο*, indem wir die Götter durch die Anrufung im Schwur gleichsam hierher rufen.

255. *ἁρμονίαι* wird erklärt durch 261 *συνημοσύναι*: Einigung = *ὁμολογία*.

δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι· 22

ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,

νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν. ὣς δὲ σὺ ῥέζειν."

τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς 260

„Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.

ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,

οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,

ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,

ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶιν 265

ὅρκια ἔσσονται πρίν γ' ἢ ἕτερόν γε πεσόντα

αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.

παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρή

αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.

οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη 270

ἔγχει ἐμῷ δαμάᾳ· νῦν δ' ἀθρόα πάντ' ἀποτίσεις

κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων."

ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.

καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·

ἕζετο γὰρ προϊδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος, 275

ἐν γαίῃ δ' ἐπάγη. ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,

257. *καμμονίην.* Bescheidener Ausdruck statt *νίκην*, = *ὑπομεῖναί σε*. Das treuherzige Vertrauen, das Hektor in die Gutmüthigkeit seines Gegners setzt, muss doppelte Theilnahme für ihn erregen, da er durch Verhängniss und Götterwillen schon dem Untergange geweiht ist.

261. *ἄλαστε, δεινὰ καὶ ἀνεπίληστα* (die Erlegung des Patroklos) *εἰργασμένε*. — Zu *συνημοσύνας* vgl. ν, 381 *συνώμεθα*.

262. *ὡς οὐκ ἔστι.* Vordersatz zu 265 *ὣς οὐκ ἔστι κτέ.* = so wenig als, eben so wenig.

263. *λύκοι τε καὶ ἄρνες.* Vgl. Horat. Epod. 4, 1 *Lupis et agnis quanta sortito obtigit, Tecum mihi discordia est.*

265. *φιλήμεναι* erg. *ἀλλήλω*. Dem folgenden *οὔτε* entsprechend sollte eigentlich vor *ἐμὲ καὶ σὲ φιλ.* auch ein *οὔτε* stehen, vgl. zu Od. ι, 146 *ἔνθ' οὔ τις τὴν νῆσον ἐσέδρακεν*.

266f. *πρίν γ' ἢ – πολεμιστήν* = ε, 288f. Sinn: Eher wird der eine von uns beiden fallen, als ich mich zu einem Vertrage mit dir herbeilasse.

268. *παντοίης ἀρετῆς.* Vgl. die Schilderung, die Hektor selbst η, 237-241 von seinen Kampffertigkeiten macht. — In *μιμνήσκεο· νῦν σε – χρή* zeigt sich abermals, wie der Affect die Rede asyndetisch macht.

272. *ἐμῶν ἑτάρων*, im weitern Sinne von allen Achäern.

275f. *ἕζετο – ἐπάγη.* Vgl. Virg. Aen. 10, 522 *Ille astu subit, at tremebunda supervolat hasta.*

22 ἂψ δ' Ἀχιλῆι δίδου, λάθε δ' Ἕκτορα ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα
„ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
280 ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον. ἤτοι ἔφης γε·
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
285 εἴ τοι ἔδωκε θεός. νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον. ὡς δή μιν σῷ ἐν χροῒ πᾶν κομίσαιο·
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
290 καὶ βάλε Πηλείδαο μέσον σάκος, οὐδ' ἀφάμαρτεν·
τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ. χώσατο δ' Ἕκτωρ
ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος.

279. ἤμβροτες = ε, 287 ἤμβροτες οὐδ' ἔτυχες.

280. ἤτοι ἔφης γε, erg. εἰδέναι τὸν ἐμὸν μόρον, mit Bezug auf 270 ἄφαρ – δαμάᾳ.

281. ἀλλά τις – ἔπλεο μύθων, vgl. Od. φ, 397 ἦ τις θηητὴρ καὶ ἐπίκλοπος ἔπλετο τόξων. Das an sich lobende Epitheton ἀρτιεπὴς (vgl. ξ, 92 ὅστις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν und Hesiod. Theogon. 29 κοῦραι Διὸς ἀρτιέπειαι, von den Musen) wird durch das beschränkend und genauer bestimmend beigefügte καὶ ἐπίκλοπος (vgl. auch Od. λ, 364 ἠπεροπῆά τ' ἔμεν καὶ ἐπίκλοπον) mehr als Fehler oder doch als ein bloss angemasster, von der subjectiven Einbildung angesprochener Vorzug bezeichnet. Der Sinn ist also: Du hast dich gezeigt als einen fertigen und dabei listigen, schlauberechnenden Sprecher.

283. οὐ μέν μοι φεύγοντι – πήξεις, d. h. du wirst mich durch deine grosssprecherischen Drohungen nicht wieder zur Flucht bewegen; ich werde neuerdings Stand halten, ja auf dich eindringen (ἰθὺς μεμαῶτι).

285. νῦν – ἄλευαι, spöttisch, gleichsam: zunächst, zu allervorderst aber hüte dich vor meinem Speerwurf.

286. μιν (τὸ ἔγχος) πᾶν, ihn ganz (bis an den Schaft). — ὡς = εἴθε. — Zu ἐν χροῒ κομίσαιο vgl. ξ, 456 κόμισε χροῒ (ἄκοντα).

291. χώσατο, er entbrannte, wurde leidenschaftlich erregt.

293. κατηφήσας, gesenkten Blicks, als Ausdruck der Beschämung sowohl als der gänzlichen Entmuthigung durch Rathlosigkeit. — οὐδ' ἄλλ' ἔχε – ἔγχος. Des zweiten Speeres, den Hektor sonst gleich den andern Helden zu führen pflegte (vgl. ε, 495. ζ, 104. λ, 212. μ, 464), hatte er sich wohl während des Laufs vor Achilleus entledigt.

Δηίφοβον δ' ἐκάλει λευκάσπιδα, μακρὸν ἀύσας. **22**
ᾔτεέ μιν δόρυ μακρόν, ὁ δ' οὔ τί οἱ ἐγγύθεν ἦεν. 295
Ἕκτωρ δ' ἔγνω ᾗσιν ἐνὶ φρεσί, φώνησέν τε
„ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόνδε κάλεσσαν·
Δηίφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς οὐδέ τ' ἄνευθεν, 300
οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἱεῖ ἑκηβόλῳ, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι." 305
ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξύ,
τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε στιβαρόν τε,
οἴμησεν δὲ ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις,
ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
ἁρπάξων ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν· 310
ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
ὡρμήθη δ' Ἀχιλεύς, μένεος δ' ἐμπλήσατο θυμόν
ἀγρίου, πρόσθεν δὲ σάκος στέρνοιο κάλυψεν

296. *ἔγνω ᾗσιν ἐνὶ φρεσί* = α, 333.

299. *ἐξαπάτησεν Ἀθήνη.* Auf die Vermuthung, dass eine Gottheit die Hand im Spiele habe, musste ihn die furchtbar rasche Entwickelung seines Schicksals bringen; dass es gerade Athene sei, durfte er aus den Worten des Achilleus 270f. schliessen.

300. *ἐγγύθι – οὐδέ τ' ἄνευθεν*, vgl. Od. ο, 494 *οὐ πολλὸν ἐπὶ χρόνον ἀλλὰ μίνυνθα.*

301–303. *οὐδ' ἀλέη* (*ἐστί*), vgl. 270 *οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις.* — *ἦ γάρ ῥα πάλαι κτέ.* So macht das Misstrauen, dass sich des Unglücklichen bemächtigt, ihn oft ungerecht auch gegen seine wirklichen Freunde, als ob sie sein Missgeschick, das sie nicht zu verhindern vermochten, entweder herbeigeführt oder doch gern gesehen hätten. — *πάρος* geht in eine noch frühere Zeit zurück als *πάλαι*, wegen des beigefügten *πρόφρονες.*

304. *ἀσπουδί*, Schol. *χωρὶς μόγου καὶ κακοπαθείας, δίχα ταλαιπωρίας.*

307. *τό οἱ*, vgl. β, 832 *οὐδὲ οὓς.* π, 228 *τό ῥα.*

308. *οἴμησεν – ὑψιπετήεις* = Od. ω, 538.

309. *εἶσιν πεδίονδε διὰ νεφέων*, vgl. Od. χ, 304 *ἐν πεδίῳ νέφεα πτώσσουσαι ἵενται.*

313. *πρόσθεν στέρνοιο κάλυψεν*, er hüllte vor die Brust, legte als Schutzwehr vor die Brust. Vgl. zu ε, 315 und Od. ν, 152 *μέγα δέ σφιν ὄρος πόλει ἀμφικαλύψαι.*

22 καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇ
315 τετραφάλῳ· καλαὶ δὲ περισσείοντο ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ
ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ,
ὣς αἰχμῆς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
320 πάλλεν δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ,
εἰσορόων χρόα καλόν, ὅπῃ εἴξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχεα,
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
φαίνετο δ' ᾗ κληῖδες ἀπ' ὤμων αὐχέν' ἔχουσιν,
325 λαυκανίην, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος.
τῇ ῥ' ἐπὶ οἷ μεμαῶτ' ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς,
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν.

314. *ἐπένευε*, er nickte zu, d. h. nach vorn, gegen die Tieferstehenden hin. Vgl. zu β, 148 *ἐπί τ' ἠμύει ἀσταχύεσσιν*.

315 f. *περισσείοντο – θαμειάς* vgl. τ, 382 f.

317 f. *οἷος δ' ἀστὴρ εἶσι*. Diese freundlich milde Vergleichung — obgleich sich auf Achilleus beziehend — scheint auf die Wehmuth vorzubereiten, womit der immer näher rückende Tod des Hektor den Sänger und seine Zuhörer erfüllen muss.

319. *αἰχμῆς ἀπέλαμπε*, es strahlte, ging ein Glanz aus von der Lanzenspitze, vgl. zu Od. δ, 45 *ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν*.

321. *ὅπῃ εἴξειε*, ὅπου χωρήσειε, erg. Ἕκτορος χρώς.

322. *τοῦ δέ* hängt von *χρόα* ab. — *ἄλλο τόσον* ist adverbiale Apposition zu *χρόα*, und die beiden Pronomina stehen ἐκ παραλλήλου für *τόσον* allein, wie σ, 378 *τόσσον μὲν ἔχον τέλος* (= ψ, 454 ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν): im Uebrigen so weit, d. i. am ganzen übrigen Leibe, mit Ausnahme des 324 f. bezeichneten Theiles. — *καί*, auch, auch wirklich, drückt die Uebereinstimmung mit der durch 321 erregten Erwartung aus, dass nämlich dem Leibe des Hektor sehr schwer beizukommen war.

323. *τὰ Πατρόκλοιο κτέ.* Vgl. zu ρ, 187. Die Rüstung, die Hektor dem Patroklos ausgezogen hatte und jetzt trug, war auch von Hephästos verfertigt und darum undurchdringlich.

324. *φαίνετο*, es war sichtbar, entblösst, vgl. δ, 468 *πλευρά, τά οἱ κύψαντι – ἐξεφαάνθη*.

325. *λαυκανίην* ist von dem nähern Verbum *ἔχουσιν* angezogen, als beschränkende Apposition zu *αὐχένα*. Eigentlich hätte es mit *φαίνετο* construirt im Nominativ stehen sollen.

328. *ἀσφάραγον*, die Luftröhre, wird hier von *λαυκανίη* (vgl. ω, 642) richtig unterschieden.

329. *ὄφρα τί μιν προτιείποι*,

ἤριπε δ' ἐν κονίῃς· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς. **22**
„Ἕκτορ, ἀτάρ που ἔφης Πατροκλῆ' ἐξεναρίζων 331
σῶς ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα,
νήπιε. τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
ὅς τοι γούνατ' ἔλυσα. σὲ μὲν κύνες ἠδ' οἰωνοί 335
ἑλκήσουσ' ἀικῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί."
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ
„λίσσομ' ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν,
ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο, 340
δῶρα τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα."
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων. 345
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας.

damit er noch sprechen könnte (nach dem Willen des Schicksals). Vgl. 337. 355. 361.

331. Ἕκτορ, ἀτάρ που, vgl. zu ζ, 429 und wegen der das Gegenstück bildenden Situation π, 830 ff. — Hier erfüllt sich genau die Weissagung des sterbenden Patroklos π, 852–854: womit vgl. unten 359 f.

333. τοῖο, Πατρόκλου, ist mit ἀοσσητὴρ zu verbinden. — μέγ' ἀμείνων erg. σοῦ, daher 335 ὅς τοι γούνατ' ἔλυσα.

334. μετόπισθε, örtlich wie auch ω, 687 παῖδες τοὶ μετόπισθε λελειμμένοι.

335 f. σὲ μὲν κύνες. Dieselbe Drohung wiederholt Achilleus ψ, 182 f.; sie geht aber nicht in Erfüllung, da er den Leichnam dem Priamos gegen ein Lösegeld ausliefert. — ἀικῶς (dreisylbig) = ἀεικῶς, ἀεικελίως, kommt nur hier vor, vgl. 256 ἀεικιῶ, 404 ἀεικίσσασθαι.

338. λίσσομ' ὑπὲρ ψυχῆς. Vgl. zu Od. β, 68 λίσσομαι ἠμὲν Ζηνὸς und unten 345. Das Pronomen σῶν ist auch auf die beiden ersten Substantiva (ψυχῆς καὶ γούνων) zu beziehen.

341. δῶρα τά, vgl. zu Od. φ, 13 und Il. ζ, 118 ἄντυξ ἥ.

342 f. σῶμα – θανόντα = η, 79 f., wo Hektor bei der Herausforderung der Achäer zum Zweikampf diese Bedingung aufstellt.

346. αἲ γάρ πως κτέ., d. h. alle deine Bitten sind vergeblich, mein Hass gegen dich ist so gross, dass er nur im Verzehren deines Fleisches Befriedigung fände (vgl. zu δ, 35 ὠμὸν βεβρώθοις); von Schonung deines Leichnames kann keine Rede sein. Durch das indirect begründende οἷά μ' ἔοργας wird der Wunschsatz abgeschlossen.



22 ὡς οὐκ ἔσθ' ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
350 στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·
οὐδ' εἴ κεν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὡς σέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται."
355 τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ
„ἦ σ' εὖ γιγνώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.
φράζεο νῦν μή τοί τι θεῶν μήνιμα γένωμαι,
ἤματι τῷ ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
360 ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν."

348. *ὡς οὐκ ἔσθ' ὃς – ἀπαλάλκοι*, darum ist keiner, der u. s. w., vgl. zu *ρ*, 103.

349. *δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα*, d. i. zehn- und zwanzigfaches Lösegeld, für *δεκάκις τε καὶ εἰκοσάκις ἄποινα* (vgl. *ι*, 397) oder *δεκαπλάσιά τε καὶ εἰκοσαπλάσια*. Die sonderbare Zusammensetzung *εἰκοσινήριτος* geht ohne Zweifel aus von *νήριτος* (*ἐρίζω*), unendlich (bei Hesiodos opp. et d. 511 und Apollonius Rhodius, nach Analogie des Nom. pr. *Ἐπήριτος*, worüber vgl. zu Od. *ω*, 306), das Homer wenigstens im Eigennamen *Νήριτον* auch kennt, also eigentlich zwanzigfachunendlich, zwanzigfach und dadurch unermesslich; vgl. das in einem Orakel vorkommende *τρισαναρίθμητος*. Eine ähnliche Verbindung ungleicher Formationen von Zahlwörtern hat Theokrit. Id. 15, 129: *ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός*. Andere ziehen vor, mit C. Nauck, Döderlein, Lobeck getrennt zu schreiben *εἴκοσι νήριτ' ἄ.*, so dass *δεκάκις* seine multiplicative Kraft auch dem *εἴκοσι* mittheilt, *decies viciesque infinita lytra*.

350 f. *στήσωσι*, darwägen, und so nachher *ἐρύσασθαι*, aufwägen, *compensare*, wie das beigefügte *σ' αὐτόν*, d. h. das Gewicht deines Leibes, zeigt.

352. *οὐδ' ὧς σέ γε*. Für die Verbindung der Sätze von 349 an vgl. *ι*, 379 – 386.

354. *κατὰ πάντα δάσονται*, d. i. *πάντα καταδάψουσι*, vgl. 339.

356 f. *ἦ σ' εὖ γιγν. προτιόσσομαι*, ich sehe dich wohl erkennend, d. h. ich erkenne dich und deine Art auch bei diesem Anblick, auch in deinem jetzigen Benehmen; du bleibst dir immer gleich; vgl. Od. *ξ*, 214 *εἰσορόωντα γιγνώσκειν*. — *οὐδ' ἄρ' ἔμ. πείσειν*, und nicht sollte ich dich bereden, d. h. ich hätte es voraussehen können, es war zu erwarten.

358. *μή τοί – γένωμαι*, vgl. zu Od. *λ*, 73. Der Zorn der Götter wäre hier die Folge der Härte, dass Achilleus Hektor's Leiche nicht will auslösen lassen, und würde sich ohne Zweifel in einer entsprechenden Schickung über ihn selbst äussern.

359 f. *ἤματι τῷ*, vgl. *σ*, 96. Dies geht aber über den Bereich der Ilias hinaus.

ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν, 22
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄιδόσδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς
„τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δή 365
Ζεὺς ἐθέλῃ τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι."
ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος,
καὶ τό γ' ἄνευθεν ἔθηχ', ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα
αἱματόεντ'. ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν 370
Ἕκτορος. οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον.
„ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ."
ὣς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς. 375
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν.
„ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐπεὶ δὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
ὃς κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι, 380
εἰ δ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν,

361 – 364. *ὣς ἄρα – προσηύδα* = *π*, 855 – 858.

365. *κῆρα – δέξομαι.* Achilleus ist nun seines höchsten Wunsches gewährt; daher kann er seinem Verhängniss mit mehr Ergebung entgegen sehen als Hektor *π*, 859 – 861.

370. *οἳ καὶ θηήσαντο.* Ueber *καὶ* vgl. zu *α*, 249 und oben zu 322: wie sie eine grosse Erwartung hatten, so wurde diese auch befriedigt.

375. *καὶ οὐτήσασκε παραστάς,* Wiederholung von 371 *οὐδ' ἄρα – παρέστη.* Uebrigens zeigen die begleitenden Worte der Achäer (373f.), dass das Verwunden des Todten mehr eine Wirkung kindischer Freude und der Neugierde, ob sie ihm auch eine Wunde beibringen können, als der Rohheit und Erbitterung war.

379. *ἐπεὶ δή* = *ψ*, 2 und mehrmals in der Odyssee, vgl. zu *μ*, 423.

381. *εἰ δ' ἄγετε* im Nachsatz, vgl. zu Od. *δ*, 832. Achilleus denkt einen Augenblick daran, den Moment unmittelbar nach Hektor's Fall zu einem Angriff oder Sturm auf die Stadt selbst zu benutzen, lässt sich aber durch den Gedanken, dass es dringendere Pflicht sei, den erschlagenen Patroklos zu beklagen, wieder davon abbringen (385 – 390).

22 ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅν τιν' ἔχουσιν,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
385 ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ.
εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
390 αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ' ἀείδοντες παιήονα, κοῦροι Ἀχαιῶν,
νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὣς εὐχετόωντο."
395 ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα.
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἕλκεσθαι ἔασεν·

385. *ἀλλὰ τίη – θυμός;* Vgl. Einleit. S. 4. Sonst steht dieser Vers überall im eigentlichen Selbstgespräche (*εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν*); hier braucht ihn der Dichter schon als Formel zur Zurücknahme eines ohne hinreichende Ueberlegung Andern gemachten Vorschlages.

386. *κεῖται πὰρ νήεσσι.* Hindeutung auf die spätern Klagen um Patroklos und seine Bestattung ψ, 9 und 45 f. 164 ff.

389. *εἰ δὲ θανόντων κτέ.*, wenn man auch die Verstorbenen im Hades (die jetzt im Hades sind) sonst gewöhnlich vergisst, so werde ich auch dort (*καὶ κεῖθι* erg. *ἐόντος*) meines trauten Freundes eingedenk bleiben. Der letztere Ausdruck ist etwas ungewöhnlich und hart, da das Adverbium *κεῖθι* eigentlich zum Verbum *μεμνήσομαι* gehören sollte, aber der Zusammenhang und der Gegensatz mit *θανόντων* setzt den Sinn ausser Zweifel; vgl. Od. γ, 231 *καὶ τηλόθεν ἄνδρα σαῶσαι.*

391 ff. *παιήονα*, vgl. zu α, 473. — Die Verse 393 f. geben den Inhalt und vielleicht die Anfangsworte des abzusingenden Siegesliedes an. — Zu 392 *νηυσὶν ἔπι νεώμεθα* vgl. das λ, 274 bei *νηυσὶν – ἐλαυνέμεν* Bemerkte.

395. *ἀεικέα μήδετο ἔργα*, vgl. σ, 176 f. ψ, 24.

397. *ἐς σφυρὸν ἐκ πτέρνης*, wahrscheinlich von oben an der Ferse bis in die Gegend der Knöchel hinter der s. g. Achillessehne. — *βοέους – ἱμάντας* scheinen die Helden in der Schlacht auch nach ψ, 31 mit sich geführt zu haben. Virg. Aen. 2, 273 *perque pedes traiectus lora tumentes.*

398. *κάρη δ' ἕλκεσθαι*, bei der Niedrigkeit der Räder wahrscheinlich auch einen grossen Theil des Oberleibes.

ἐς δίφρον δ' ἀναβάς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας, 22
μάστιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἀέκοντε πετέσθην.
τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται 400
κυάνεαι πίτναντο, κάρη δ' ἅπαν ἐν κονίῃσιν
κεῖτο πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσιν
δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ 405
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσε, κώκυσεν δὲ μάλα μέγα παῖδ' ἐσιδοῦσα.
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοί
κωκυτῷ τ' εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ.
τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα 410
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλόωντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
πάντας δ' ἐλλιτάνευε κυλινδόμενος κατὰ κόπρον,
ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον. 415
„σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε, κηδόμενοί περ,
ἐξελθόντα πόληος ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν.
λίσσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
ἤν πως ἡλικίην αἰδέσσεται ἠδ' ἐλεήσῃ
γῆρας. καὶ δέ νυ τῷδε πατὴρ τοιόσδε τέτυκται, 420

402. πίτναντο, Schol. ἐξεπετάννυντο.

403f. δυσμενέεσσιν – ἑῇ ἐν πατρίδι γαίῃ. Durch beide Bestimmungen wird das Tragische des Schicksals erhöht.

406. τίλλε – ἔρριψε. Das Zweite musste zuerst geschehen, daher τίλλε im Imperfectum, weil dies jedenfalls auch nach dem ῥῖψαι fortdauerte.

409. κωκυτῷ τε καὶ οἰμωγῇ, das erstere in Beziehung auf die anwesenden Weiber, das letztere von den Männern, vgl. 407f.

410f. τῷ δὲ – ἄκρης, vgl. die Nachahmung Virgil's Aen. 4, 669 – 671 *Non aliter, quam si immissis ruat hostibus omnis Carthago aut antiqua Tyros, flammaeque furentes Culmina perque hominum volvantur perque deorum.* — Zu ὀφρυόεσσα vgl. υ, 151 ἐπ' ὀφρύσι Καλλικολώνης.

414. κόπρον, Schol. κόνιν ἢ συρφετόν, σποδόν, vgl. ω, 164.

416. σχέσθε – ἐάσατε ist auch in die Rede des Telemach Od. β, 70 übergegangen.

418. λίσσωμαι. Der Conjunctiv nach dem Imperativ als Selbstaufforderung, wie 450 ἴδωμαι. ψ, 71 περήσω. — In diesen Versen liegt gewissermassen der Keim des vierundzwanzigsten Buches, vgl. ω, 486.

420. τοιόσδε = τηλικόσδε, vgl. ω, 487 τηλίκου ὥσπερ ἐγών.

22 Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί. μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκεν·
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας.
τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ
425 ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄιδος εἴσω,
Ἕκτορος. ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσιν·
τῷ κε κορεσσάμεθα κλαίοντέ τε μυρομένω τε,
μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός."
ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο πολῖται.
430 Τρωῇσιν δ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο.
„τέκνον, ἐγὼ δειλή· τί νυ βείομαι, αἰνὰ παθοῦσα,
σεῦ ἀποτεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρωῇσι κατὰ πτόλιν, οἵ σε θεὸν ὣς
435 δειδέχατ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔησθα
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔ πώ τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
ἤγγειλ' ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων,
440 ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσεν.
κέκλετο δ' ἀμφιπόλοισιν ἐυπλοκάμοις κατὰ δῶμα

422. *μάλιστα – ἔθηκεν*, Gegensatz zu *πῆμα Τρωσί.*

424f. *τῶν πάντων – ὡς ἑνός* = Od. δ, 104f. — Zu *οὗ μ' ἄχος –εἴσω* vgl. die Klage Jakob's um Joseph Genes. 37, 35 *καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου.*

427. *τῷ*, wie Od. γ, 258: dann, in dem durch den vorhergehenden Satz bezeichneten Falle.

430. *ἀδινοῦ – γόοιο* = σ, 316.

431. *τί νυ βείομαι*, vgl. zu ο, 194 *βέομαι*. — Zur Abtheilung der Glieder vgl. 477.

433. *εὐχωλή*, vgl. zu β, 160.

434f. *θεὸν ὣς δειδέχατο* = Od. η, 71f. *οἵ μίν ῥα θεὸν ὣς – δειδέχαται μύθοισιν.*

437. *ἄλοχος*. Was hier über die Andromache in den Zusammenhang Gehörendes erzählt werden soll, folgt 447ff.; das noch Vorangehende dient nur dazu, ihre Situation näher zu bezeichnen, und gehört eigentlich vor den Zeitpunct der jetzigen Handlung. — Zu 439 *ἔκτοθι μίμνε πυλάων* vgl. oben 5f. und 38f.; sie glaubte, er werde mit dem übrigen Heere sich zurückgezogen haben, vgl. 442ff.

440f. *ἱστὸν ὕφαινε – ἔπασσεν*, vgl. γ, 125f. — *θρόνα* ein *ἅπαξ λεγόμενον*, nach dem Schol. *ἄνθη ποικίλα.*

ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο 22
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκνοστήσαντι,
νηπίη, οὐδ' ἐνόησεν ὅ μιν μάλα τῆλε λοετρῶν 445
χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.
κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου·
τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς.
ἡ δ' αὖτις δμωῇσιν ἐυπλοκάμοισι μετηύδα
„δεῦτε, δύω μοι ἕπεσθον. ἴδωμ' ὅτιν' ἔργα τέτυκται. 450
αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δ' ἐμοὶ αὐτῇ
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ' αἰνῶς
δείδω μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεύς, 455
μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
ἥ μιν ἔχεσκ', ἐπεὶ οὔ ποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων."
ὣς φαμένη μεγάροιο διέσσυτο μαινάδι ἴση, 460
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,
ἔστη παπτήνασ' ἐπὶ τείχεϊ, τὸν δ' ἐνόησεν

445. *μάλα τῆλε λοετρῶν*. Eine sprichwörtliche Redeweise, wie: *longe iis fraternum nomen populi Romani afuturum* bei Caes. de bello Gall. 1, 36.

447. *ἀπὸ πύργου* gehört zunächst zu *οἰμωγῆς* und *κωκυτοῦ*, als Bezeichnung des Ausgangspunctes.

448 *κερκίς*, vgl. Od. ε, 62 *χρυσείῃ κερκίδ' ὕφαινεν*.

450. *δύω*, vgl. γ, 143 *ἀμφίπολοι δύ' ἕποντο*.

452. *ἀνὰ στόμα*, bis zum Munde hinauf, hyperbolisch, wie wir etwa sagen: das Herz will mir zum Leibe hinaus, vgl. κ, 94f. *κραδίη δέ μοι ἔξω στηθέων ἐκθρώσκει*.

454. *αἲ γὰρ – ἔπος*, vgl. σ, 272.

458f. *ἐπεὶ οὔ ποτ' – – εἴκων* wird auch auf Neoptolemos angewandt Od. λ, 514f. *οὔ ποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν οὐδ' ἐν ὁμίλῳ, ἀλλὰ κτέ.*

460. *μαινάδι ἴση*, vgl. Virg. Aen. 4, 300 – 303 von der Dido: *totamque incensa per urbem Bacchatur, qualis commotis excita sacris Thyias* cet., dagegen oben ζ, 389 *μαινομένῃ ἐικυῖα* von derselben Andromache. Die Bezeichnung *μαινάς* kommt bei Homer unerwartet.

463. *τὸν δ' ἐνόησεν*. Wie vielsagend, dass der Name Hektor's nicht ausgesetzt wird!

22 ἑλκόμενον πρόσθεν πόλιος· ταχέες δέ μιν ἵππο
465 ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
τὴν δὲ κατ᾽ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,
ἤριπε δ᾽ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.
τῆλε δ᾽ ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην
470 κρήδεμνόν θ᾽, ὅ ῥά οἱ δῶκε χρυσέη Ἀφροδίτη,
ἤματι τῷ ὅτε μιν κορυθαιόλος ἠγάγεθ᾽ Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν
αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
475 ἡ δ᾽ ἐπεὶ οὖν ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγε
ἀμβλήδην γοόωσα μετὰ Τρῳῇσιν ἔειπεν
Ἕκτορ, ἐγὼ δύστηνος. ἰῇ ἄρα γιγνόμεθ᾽ αἴσῃ
ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμ
αὐτὰρ ἐγὼ Θήβῃσιν ὑπὸ Πλάκῳ ὑληέσσῃ
480 ἐν δόμῳ Ἠετίωνος, ὅ μ᾽ ἔτρεφε τυτθὸν ἐοῦσαν,
δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης

465. *ἀκηδέστως* nach dem Gefühl der Andromache, nach welchem Hektor's Leiche selbst von vernunftlosen Thieren schonend hätte behandelt werden sollen.

467. *ἀπὸ – ἐκάπυσσεν*, vgl. ε, 698 *κακῶς κεκαφηότα θυμόν* und unten 475 *ἡ δ᾽ ἐπεὶ οὖν ἄμπνυτο*. Auch hier ist nur von einer *λειποψυχία* die Rede.

468. *δέσματα*, der allgemeine Ausdruck von Allem, was das Haar zusammenhält und das Haupt schmückt; die beiden folgenden Verse enthalten die speciellen Benennungen. Uebrigens geht das *ἀπὸ κρατὸς βαλεῖν* dem *ἀποκαπύσαι* voran, vgl. zu 406.

473. *γαλόῳ τε καὶ εἰνατέρες*, vgl. ζ, 378.

474. *αἵ ἑ μετὰ σφίσιν εἶχον*, welche sie in ihrer Mi und wohl auch mit Hä Armen unterstützten, a und wieder zu beleben s *ἀτυζομένην ἀπολέσθα* zum Tode Betäubte, Er Vergl. unsere Zusamme sterbenskrank, sterbensi

476. *ἀμβλήδην γοόωσ* klagen ausbrechend, gleichsam aufwallend, w dende Wasser. φ, 364 *τοθεν ἀμβολάδην*.

477. *Ἕκτορ, ἐγὼ δύσ* 431. — Zu *ἰῇ αἴσῃ* v *ἰσόμορον καὶ ὁμῇ πε αἴσῃ*. Od. τ, 259.

479. *Θήβῃσιν ὑπὸ Π* zu α, 366.

481. *αἰνόμορον*, eine von *δύσμορος*.

ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις 22
χήρην ἐν μεγάροισι. πάις δ' ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτῳ 485
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.
ἤν περ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.
ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησιν· 490
πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
δευόμενος δέ τ' ἄνεισι πάις ἐς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχεν,
χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνεν. 495
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξεν,
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
‚ἔρρ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.'
δακρυόεις δέ τ' ἄνεισι πάις ἐς μητέρα χήρην,
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς 500
μυελὸν οἶον ἔδεσκε καὶ οἰῶν πίονα δημόν·
αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,

483–485. *λείπεις χήρην - δυσάμμοροι* = ω, 725–727 *κὰδ δέ με χήρην λείπεις κτέ.* Das zu *νήπιος* gehörende *αὔτως* zeigt, dass jener Ausdruck im eigentlichsten Sinne, schlechthin zu verstehen sei.

489. *ἀπουρίσσουσιν*, Schol. *τῶν ὅρων ἀφαιρήσονται.* — (Andere *ἀπουρήσουσιν* von *ἀπαυράω*). — Mit *ἀρούρας* bildet dies Verbum einen ohne Zweifel absichtlichen Gleichklang. Solchen Uebervortheilungen aber ist der schutzlose Minderjährige mehr noch als directer Beraubung ausgesetzt; der reife Mann kann sich dagegen vorsehen; wie μ, 421f. *ἀμφ' οὔροισι δύ' ἀνέρε δηριάασθον* – *ἐπιξύνῳ ἐν ἀρούρῃ.*

490. *παναφήλικα.* Der Dichter dieser Abtheilung liebt solche verstärkende Zusammensetzungen; vgl. ausser dem schon mehrmals vorgekommenen *δυσάμμορος*, *πανάποτμος* ω, 255 = 493 und *παναώριος* ebend. 540.

491. *ὑπεμνήμυκε*, Schol. *καταvένευκε* (*ἠμύω*) oder *ὑποκατανένευκε.*

492. *ἐς πατρὸς ἑταίρους*, d. h. in ihre Wohnungen oder doch zu ihren Gelagen (496).

494. *τῶν δὲ* von *τὶς* abhängig. — Zu *κοτύλην* vgl. Od. ο, 312 *κοτύλην καὶ πύρνον.*

496f. *ἀμφιθαλής*, Schol. *ὁ ἀμφοτέρωθεν θάλλων*, *puer patrimus et matrimus.* — *καὶ* gehört zum Verbum *ἐκ δαιτ. ἐστυφέλιξεν.* — Ueber *πεπληγὼς* vgl. zu β, 264 mit ρ, 521 *κόψας.*

501. *οἶον*, d. h. nichts Geringeres.

22 εὕδεσκ᾽ ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῇ ἔνι μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ.
505 νῦν δ᾽ ἂν πολλὰ πάθῃσι, φίλου ἀπὸ πατρὸς ἁμαρτών,
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
510 γυμνόν· ἀτάρ τοι εἵματ᾽ ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ᾽ ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ,
οὐδὲν σοί γ᾽ ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωιάδων κλέος εἶναι.“
515 ὣς ἔφατο κλαίουσ᾽, ἐπὶ δὲ στενάχοντο γυναῖκες.

Ψ.

23 ὣς οἱ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοί
ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
Μυρμιδόνας δ᾽ οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεύς,
5 ἀλλ᾽ ὅ γε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα
„Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
μὴ δή πω ὑπ᾽ ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ᾽ αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες

505. νῦν δέ, Gegensatz von πρὶν μὲν 500. Zu 506f. vgl. ζ, 403.

513f. οὐδὲν – ὄφελος. Einräumende Apposition zum vorigen Verse: was freilich für dich kein Gewinn ist; ἀλλὰ – εἶναι, beschränkter Zweck des Verbrennens = εἰς τὸ κλέος εἶναι erg. σοί, dass es dir doch zum Ruhm gereiche.

Ueber das Verhältniss der zwei letzten Bücher zum übrigen Gedichte s. die Einleitung S. 14; eine Leichenfeier des Patroklos liess sich schon nach χ, 386–390 erwarten. Dass beide Gesänge zuerst abgesondert für sich bestanden, lässt sich schliessen aus der grossen Ausführlichkeit in der Darstellung und manchen Einzelheiten, worauf wir gehörigen Ortes hinweisen werden. Ueber die Verbindung mit dem Schluss des vorigen Buches vgl. zu ρ, 423f.

4. ἀποσκίδνασθαι, sich von ihm weg zerstreuen, ihn verlassen, um sich zu zerstreuen.

7. ὑπ᾽ ὄχεσφιν, d. i. ὑπ᾽ ὀχέων, wie θ, 504 λύσαθ᾽ ὑπὲξ ὀχέων und öfter λύειν ἐξ ὀχέων, ὑπὸ ζυγοῦ.

Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες."
ὣς ἔφαθ', οἱ δ' ᾤμωξαν ἀολλέες, ...
οἱ δὲ τρὶς περὶ νεκρὸν ἐύτριχας ἤλασαν ἵππους
μυρόμενοι· μετὰ δέ σφι Θέτις ... 55
δεύοντο ψάμαθοι δεύοντο δὲ ...
δάκρυσι· τοῖον γὰρ πόθεον ...
τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος ...
„χαῖρέ μοι, ὦ Πάτροκλε, ... 60
πάντα γὰρ ἤδη τοι τελέω ...
Ἕκτορα δεῦρ' ἐρύσας ...
δώδεκα δὲ προπάροιθε ...
Τρώων ἀγλαὰ τέκνα, ...
ἦ ῥα, καὶ Ἕκτορα ... 65
πρηνέα πὰρ λεχέεσσι ...
ἐν κονίῃς. οἱ δ' ἔντε' ...
χάλκεα μαρμαίροντα, ... ἔειπεν.
κὰδ δ' ἷζον παρὰ νηΐ ... λεῦ;
... 70
... ήσω.

10. ὀλοοῖο — γόοιο = ... λ, 212 κρυεροῖο τεταρπώμεσθα γόοιο.

14. μετὰ δέ σφι, ... unter ihnen. Durch ... einer Göttin fällt ... Unmännlichkeit ... sonst den wehklagenden Frauen machen könnte. — ... ἵμερος vgl. zu Od. ...

15. φωτῶν ... τεύχεα ab. Vgl. ... Spargitur et ... guntur et arma.

16. μήστωρα ... σασθαι ... μενων.

17 f. ...

21 f. ...

... vgl. zu Od. υ, ... folgt 65 ἦλθε

... wie μ, 308 ... — προτὶ Ἴλιον, ... bis, von dem ... lager aus, wo er ... und jetzt wieder

... vgl. zu ρ, ... ἐϊδυῖα. ... ähnlich εἴδει Πατρόκλου ἐοικότα.

... vgl. zu β, 20. ... vgl. zu ... hast du mich ... innerung entschwin-

29 μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ.
30 πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
σφαζόμενοι, πολλοὶ δ' ὄιες καὶ μηκάδες αἶγες·
πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
35 αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλείωνα
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον κῆρ.
οἱ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν
40 ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν
Πηλείδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὅ γ' ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν.
„οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος,
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι
45 πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
ἠῶθεν δ' ὄτρυνον, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,

τε κλισίῃ καὶ νηὶ μελαίνῃ und τ, 211 f. ἐνὶ κλισίῃ – κεῖται.

29. τάφον δαίνυ, vgl. zu Od. γ, 309. Zu bemerken ist, dass hier der religiöse Leichenschmaus schon vor der Bestattung (vgl. 257) gegeben wird.

30. βόες ἀργοί, vgl. zu Od. β, 11. — ὀρέχθεον wird meistens erklärt durch ἐξετείνοντο, ἀπετείνοντο oder τανύοντο 33, als Intensivum von ὀρέγομαι, mit Beziehung auf die **Vielheit** des Subjectes (πολλοὶ βόες u. s. w.). Doch scheint wegen des beigefügten σφαζόμενοι an den **Moment** des Schlachtens gedacht werden zu müssen, und dazu passt besser die andere Deutung von ὀρέχθεον als *Onomatopoiie* (vgl. ῥοχθέω): sie röchelten um das Eisen, indem sie geschlachtet wurden; vgl. Od. μ, 395 κρέα δ' ἀμφ' ὀβελοῖς ἐμεμύκει.

32 f. θαλέθοντες – Ἡφαίστοιο = ι, 467 f.

36. εἰς Ἀγαμέμνονα = 38 κλισίην Ἀγαμέμνονος.

40. ἀμφὶ – μέγαν = σ, 344. — εἰ πεπίθοιεν, d. h. obgleich sie noch ungewiss waren, ob er es annehmen werde.

43. ὅς τίς τε, vgl. Od. ρ, 53 ξεῖνον ὅ τίς μοι κεῖθεν ἅμ' ἕσπετο.

46. ὧδε, in dem Grade, in dieser Tiefe.

48. πειθώμεθα δαιτί, d. h. das übrige Heer (vgl. 54–56), ausser den Myrmidonen, die schon 29–34 den Leichenschmaus gehalten haben.

ὕλην τ' ἀξέμεναι παρά τε σχεῖν ὅσσ' ἐπιεικὲς 50
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα, 51
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.“
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι 55
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐίσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος,
Πηλείδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
κεῖτο βαρὺ στενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν, 60
ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠιόνος κλύζεσκον.
εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν·
ἦλθε δ' ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο, 65
πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν.
„εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος. 70
θάπτε με ὅττι τάχιστα, πύλας Ἀίδαο περήσω.

50. *ἀξέμεναι παρά τε σχεῖν*, vgl. zu ζ, 53 und ι, 230 *σαωσέμεν ἢ ἀπολέσθαι*. — *ὅσσ' ἐπιεικές*, vgl. ω, 595 *ἀποδάσσομαι ὅσσ' ἐπέοικεν*. *ὅσσα* ist Object von *ἔχοντα*, wie Od. ν, 400 *λαῖφος – ὅ κε στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα*.

53. *θᾶσσον ἀπ' ὀφθαλμῶν*. Je schneller dem Todten alle Gebühr erwiesen wird, desto eher ist er befriedigt, vgl. 71–74. — *ἐπὶ ἔργα*, zu den gewöhnlichen Werken des Krieges.

55. *ἐσσυμένως – ἐφοπλίσσαντες*, weil die Zeit schon sehr weit vorgerückt war.

61. *ἐν καθαρῷ*, vgl. zu θ, 491.

62. *εὖτε – θυμοῦ* vgl. zu Od. υ, 56. Der Nachsatz folgt 65 *ἦλθε δ' ἐπὶ ψυχή*.

64. *Ἕκτορ' ἐπαΐσσων* wie μ, 308 *τεῖχος ἐπαΐξαι*. — *προτὶ Ἴλιον*, nach (gegen) Ilios hin, von dem achäischen Schiffslager aus, wo er sich vorher befand und jetzt wieder befindet.

66. *εἰκυῖα*, vgl. zu ρ, 5 *εἰδυῖα*.

67. *τοῖα*, nämlich *οἷα Πάτροκλος*, *τοῖς Πατρόκλου ἐοικότα*.

68. *στῆ – κεφαλῆς*, vgl. zu β, 20.

69. *λελασμένος ἔπλευ*, vgl. zu ι, 54 *ἔπλευ ἄριστος*: hast du mich aus deiner Erinnerung entschwinden lassen?

23 τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄιδος δῶ.
75 καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀίδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
ἀμφέχανε στυγερή, ἥ περ λάχε γιγνόμενόν περ·
80 καὶ δὲ σοὶ αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.
ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,
85 εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς,
ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς.
ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεύς

72-74. *τῆλέ με - δῶ.* Eine Vorstellung, die sich in keiner andern Stelle bei Homer findet; dagegen folgt ihr Virgil Aen. 6, 325-328 *Haec omnis quam cernis inops inhumataque turba est -; Nec ripas datur horrendas et rauca fluenta Transportare prius quam sedibus ossa quierunt.* — *εἴδωλα καμόντων* = Od. λ, 476 *βροτῶν εἴδωλα καμόντων.* — *μίσγεσθαι* erg. *αὐταῖς*, mich zu ihnen gesellen. — Unter *ποταμὸς* scheint eher der Acheron (vgl. zu Od. κ, 513. Virg. Aen. 6, 295) als der Okeanos gemeint zu sein, da nach dem folgenden Verse die Seele schon durch die Wohnung des Hades hinirrt (d. h. durch den Vorgrund derselben, vgl. Virg. Aen. 6, 273 *Vestibulum ante ipsum primisque in faucibus Orci* cet.). — Mit *ἀν' - Ἄιδος δῶ* vgl. Od. λ, 571 *ἥμενοι ἑσταότες τε κατ' εὐρυπυλὲς Ἄιδος δῶ.*

76. *νίσομαι* scheint Futurum.

77. *φίλων ἀπάνευθεν ἑταίρων*, d. h. in traulichem Zwiegespräche.

79. *ἥ περ λάχε* erg. *με*, der ich durch das Verhängniss schon von Geburt an bestimmt war.

81. *εὐηγενέων*, vgl. λ, 427 *εὐηγενέος Σώκοιο* und Hymn. auf Aphrodite 94 *Θέμις ἠυγενής.*

82. *ἐφήσομαι* wie ω, 300 *τοι - ἐφιεμένη*, vgl. unten 95 und 107.

83. *τιθήμεναι*, vgl. zu κ, 34 *τιθήμενον.*

86. *ἀνδροκτασίης* hier von einem Morde überhaupt, da der Erschlagene nur ein Knabe war.

88. *ἀμφ' ἀστραγάλοισι*, d. h. um einen so geringfügigen Gegenstand. Für den Begriff von *ἀμφὶ* vgl. λ, 672 *νεῖκος ἐτύχθη ἀμφὶ βοηλασίῃ.*

ἔτραφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν. 23
ὣς δὲ καὶ ὀστέα νῶιν ὁμὴ σορὸς ἀμφικαλύπτοι." 91
[χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.]
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ' εἰλήλουθας
καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι 95
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο."
ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονός, ἠύτε καπνός, 100
ᾤχετο τετριγυῖα. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς
χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν.
„ὢ πόποι, ἦ ῥά τις ἔστι καὶ εἰν Ἀίδαο δόμοισιν
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο 105
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
καί μοι ἕκαστ' ἐπέτελλεν, ἔικτο δὲ θέσκελον αὐτῷ."
ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο·
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος ἠώς

92. χρύσεος – μήτηρ. Dieser Vers ist wohl aus Od. ω, 73f. δῶκε δὲ μήτηρ χρύσεον ἀμφιφορῆα (wo die Anmerkung zu 74 zu vergleichen) entstanden und wird schon von Aristarch verworfen. Unten 243 und 253 nennt der Dichter eine χρυσέη φιάλη.

94. ἠθείη κεφαλή, vgl. zu Od. ξ, 147 mit Il. λ, 787.

97f. μίνυνθά περ ἀμφιβαλόντε ἀλλήλους κτέ. wie Odysseus Od. λ, 204f. in der Unterwelt den Schatten seiner Mutter umarmen will. — Zu ἀμφιβαλόντε ἀλλήλους vgl. Od. π, 214 ἀμφιχυθεὶς πατέρ' ἐσθλόν.

100. ἠύτε καπνός. Die Vergleichung bezieht sich auf das Wesen der ψυχή und die Art ihrer Bewegung, nicht auf die Richtung derselben.

101. ἀνόρουσεν, er fuhr aus dem Traume auf und erwachte.

104. ψυχὴ καὶ εἴδωλον verbunden wie bei Virg. Georg. 4, 472 *umbrae tenues simulacraque luce carentum*. — φρένες, Besinnung, Bewusstsein, also auch wahres, geistiges Leben, vgl. Od. κ, 493. Uebrigens hat dieses Glied ἀτὰρ – πάμπαν nicht die Geltung eines Hauptsatzes, sondern ist nur eine einschränkende Bestimmung des vorhergehenden = nur dass, wenn gleich kein Lebensbewusstsein darin ist. Denn der folgende Satz begründet nicht diesen Mangel der φρένες, sondern die Wirklichkeit und Fortdauer der ψυχή auch in der Unterwelt.

150 *νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,*
151 *Πατρόκλῳ ἥρωι κόμην ὀπάσαιμι φέρεσθαι.“*
ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
155 *εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παραστάς*
„Ἀτρείδη, σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι, γόοιο μὲν ἔστι καὶ ἆσαι,
νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι. τάδε δ' ἀμφιπονησόμεθ', οἷσι μάλιστα
160 *κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων.“*
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐίσας,
κηδεμόνες δὲ παρ' αὖθι μένον καὶ νήεον ὕλην,
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα,
165 *ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.*
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεύς
ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει.
170 *ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας,*
πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους

151. *ὀπάσαιμι φέρεσθαι*, ich will es mitgeben in die Unterwelt, als *κτέρας*.

157. *γόοιο μὲν ἔστι καὶ ἆσαι* (vgl. *ω*, 717 *ἄσεσθε κλαυθμοῖο*): des Wehklagens kann man noch satt werden, sich ersättigen (auch später). Der eigentliche (logische) Hauptsatz folgt 158.

158. *σκέδασον*, erg. *λαὸν* aus dem Vorigen = 162.

160. *κήδεος* = *κήδειος τ*, 294: passiv von *κηδεμών* 163. — Im folgenden *οἵ τ' ἀγοί* ist *τὲ* mit dem vorangehenden *δὲ* zu verbinden, wie öfter.

164. *ἑκατόμπεδον – ἔνθα*, vgl. zu Od. *κ*, 517 *πυγούσιον ἔνθα καὶ ἔνθα*.

165. *ἐν δὲ πυρῇ – θέσαν* = *ω*, 787: *in summa pyra*; Schol. *ἐν τῷ ἀνωτάτῳ αὐτῆς καὶ μέσῳ*.

169. *δρατά* = *δαρτά*, *ἐκδαρτα*. — *σώματα*, nämlich *τῶν ἀνῃρημένων μήλων καὶ βοῶν*. Auch durch das Fett dieser Thiere soll der brennbare Stoff vermehrt werden, sowie durch die Krüge mit Honig und Oel (170).

170. *ἐν δ' ἐτίθει* ist aus 165 *ἐν δὲ πυρῇ – θέσαν* zu erklären.

171. *πρὸς λέχεα*. Diese *λέχεα* (Todtenbett oder Bahre) müssen also auch 165 so wie oben 134 – 137 mit verstanden werden.

ἐσσυμένως ἐνέβαλλε πυρῇ, μεγάλα στεναχίζων. **23**
ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας,
δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς 175
χαλκῷ δηιόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα.
ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον.
„χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀίδαο δόμοισιν·
πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην. 180
δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλούς,
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν."
ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο,
ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη 185
ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ

173. *τῷ γε ἄνακτι*, ohne Zweifel *Πατρόκλῳ*, der eben mit Bezug auf die ihm eigenthümlich gehörenden Thiere *ἄναξ* heisst.

175. *δώδεκα Τρώων – υἱέας ἐ.* erg. *ἐνέβαλλε* und vgl. 22f.

176. *δηιόων*, nicht *δῃώσας*, weil er eben jetzt noch, während er sie in's Feuer wirft, ihre Leiber misshandelt und verstümmelt. — *κακὰ – ἔργα* = 24.

177. *ἐν δὲ πυρὸς μένος ἧκε*, er steckte in Brand, setzte in Flamme, wie ω, 787 *ἐν δ' ἔβαλον πῦρ* und μ, 441 *νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ*. — Zu *μένος σιδήρεον* vgl. ρ, 424 *σιδήρειος ὀρυμαγδός*.

179. *χαῖρέ μοι*, nicht nur als Grussformel, sondern im eigentlichen Sinne zu nehmen, weil Vieles ihn zu erfreuen geschehen ist und noch geschieht.

181. *δώδεκα – ἐσθλούς* sollte eigentlich durch eine Art Zeugma vom vorhergehenden *τελέω* abhangen (= *κατεργάζομαι*), wegen des Gegensatzes mit *Ἕκτορα* aber wird mit Wiederaufnahme des Objectes *τούς* das speciellere Prädicat *πῦρ ἐσθίει* dazu gesetzt; denn auch die abweichende Behandlung von Hektor's Leichnam hat zum Zwecke, den Patroklos noch stärker zu rächen, ihm grössere Genugthuung zu geben. — Zu *δαπτέμεν*, vom Feuer, vgl. Apollon. Rhod. 4, 666 *φλὸξ δ' ἀθρόα φάρμακ' ἔδαπτεν*.

184–191. *τὸν δ' οὐ κύνες – μέλεσσιν*. Indem uns diese Stelle zeigt, welcher besondern Schätzung Hektor von Seite der Götter genoss, bereitet sie uns auf das letzte Buch vor, worin Hektor's Leichnam unter Begünstigung der Götter sogar ausgelöst wird. Vgl. besonders ω, 14–16. 18–21. 410–423; über die proleptische Zeitbestimmung *ἤματα καὶ νύκτας* (nur hier in dieser Folge, sonst *νύκτας τε καὶ ἤματα* oder *νύκτας τε καὶ ἦμαρ*) zu α, 488.

186. *ῥοδόεντι – ἐλαίῳ*, vgl. ξ, 171f. *λίπ' ἐλαίῳ – ἑδανῷ κτἑ.* Das Rosenöl wurde auch gebraucht, um hölzerne Bildsäulen vor Fäulniss zu bewahren.

ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
οὐρανόθεν πεδίονδε, κάλυψε δὲ χῶρον ἅπαντα,
190 ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
σκήλει' ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσιν.
οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτος.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἀπάνευθε πυρῆς δοιοῖς ἠρᾶτ' ἀνέμοισιν,
195 Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπέσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ λιτάνευεν
ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί
ὕλη τε σεύαιτο καήμεναι. ὠκέα δ' Ἶρις
ἀράων ἀίουσα μετάγγελος ἦλθ' ἀνέμοισιν.
200 οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
βηλῷ ἔπι λιθέῳ. τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσιν,
πάντες ἀνήιξαν, κάλεόν τέ μιν εἰς ἓ ἕκαστος.
ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον.

190. πρίν, vorher, nämlich bevor sonst irgend eine Vorsorge für ihn getroffen wäre, wie z. B. durch den Loskauf des Priamos.

191. σκήλει' ἀμφὶ περὶ χρόα. Eigentlich sollte χρόα unmittelbares Object von σκήλειε sein; es ist aber durch die in Einen Begriff verbundenen Präpositionen ἀμφὶ περὶ (vgl. β, 305. φ, 10) gewissermassen erweitert, d. h. auf seinen weitesten Umfang ausgedehnt; vgl. zu Od. δ, 44 θαύμαζον κατὰ δῶμα mit β, 153 δρυψαμένω – παρειὰς ἀμφί τε δειράς. Auch der Dativ ἴνεσιν ἠδὲ μέλεσσιν ist adverbialer Art: an Sehnen und Gliedern, d. h. an allen Theilen, den Banden und dem Verbundenen.

193f. ἔνθ' αὖτ' – πυρῆς = 140f. — ἀπάνευθε πυρῆς, er trat seitwärts vom Holzstoss, wandte sich davon ab, wahrscheinlich gegen das Meer, woher die Winde kommen sollten (214f.), bis er gebetet hatte; denn gleich nachher (196) ist er wieder bei demselben, wie oben 152, vgl. mit 141. 143.

197. ἐλθέμεν erg. αὐτώ, τὼ ἀνέμω (vgl. 208f.), abhängig von πολλὰ λιτάνευεν.

198. ὕλη τε σεύαιτο, Schol. ὁρμὴν λάβοι ἡ ὕλη τοῦ καῆναι; vgl. ρ, 463. Denselben Begriff, aber activ, drückt 210 aus ὄφρα π. ὄρσητε καήμεναι.

199. ἀράων ἀίουσα. Aus αὖτις 205 ergiebt sich, dass Iris von Aethiopien aus das Gebet gehört hatte.

200. Ζεφύροιο – ἔνδον, vgl. zu υ, 13 Διὸς ἔνδον.

202. βηλῷ ἔπι λ., an der Schwelle und vor derselben, vgl. λ, 644 θύρῃσιν ἐφίστατο.

203. εἰς ἕ, zu sich herein, vgl. zu Od. χ, 436 εἰς ἓ καλεσσάμενος.

ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς,
τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
οἱ δ' ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκόνδε νέεσθαι
Θρηίκιον κατὰ πόντον· ὁ δ' ἔστενεν οἴδματι θύων.
Πηλείδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθείς
κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν.
οἱ δ' ἀμφ' Ἀτρείωνα ἀολλέες ἠγερέθοντο,
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν.
5 ἕζετο δ' ὀρθωθείς, καί σφεας πρὸς μῦθον ἔειπεν.
„Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν,
εὖ διαγιγνώσκοντες. ἀριφραδέα δὲ τέτυκται·
ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
ἐσχατιῇ καίοντ' ἐπιμίξ, ἵπποι τε καὶ ἄνδρες.
καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄιδι κεύθωμαι·
15 τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,

230. Θρηίκιον κατὰ πόντον bezeichnet den Weg, die Richtung, die sie nach der Heimath einzuschlagen hatten. — ὁ δέ, Θρηίκιος πόντος.

231. ἑτέρωσε λιασθείς, d. h. er ging auf die Seite, vgl. λ, 80 ὁ δὲ νόσφι λιασθεὶς τῶν ἄλλων ἀπάνευθε καθέζετο.

232. ἐπὶ – ὄρουσεν bezeichnet die unwiderstehliche Gewalt, mit welcher der lange zurückgewiesene Schlaf endlich sein Recht geltend macht.

233. οἱ δέ, οἱ ἄλλοι δέ, nicht nur die ἀγοί, κηδεμόνες 160. 163, sondern auch die übrigen, denn ἀμφ' Ἀτρείωνα gehört zu ἠγερέθοντο. Sie sammelten sich am Morgen nach dem Aufstehen (226 f.) bei der Lagerhütte des Atriden (dem Feldherrnzelte), da die Bestattung der Leiche noch nicht vollzogen war.

237. κατὰ – σβέσατε, denn noch glimmte die Asche fort (228 ἐμαραίνετο).

240. ἀριφραδέα, Schol. εὐγνωστα. In Hinsicht der Prosodie vgl. zu α, 45 ἀμφηρεφέα τε φαρέτρην.

243. δίπλακι δημῷ, die doppelt (oben und unten) herumgelegte Fetthaut, vgl. zu Od. γ, 458 δίπτυχα ποιήσαντες.

244. εἰς ὅ κεν – Ἄιδι κεύθωμαι, bis ich dem Ais mich berge, gleichsam eingehüllt in die Macht des Ais übergehe, vgl. υ, 294 Ἄιδόσδε κάτεισιν. In unserer Stelle steht der Name Ais auf der Grenze zwischen der (sonst allein homerischen) persönlichen und der spätern örtlichen Bedeutung.

ἀλλ' ἐπιεικέα τοῖον. ἔπειτα δὲ καὶ τὸν Ἀχαιοί 23
εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήισι λίπησθε."
ὣς ἔφαθ', οἱ δ' ἐπίθοντο ποδώκεϊ Πηλείωνι.
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ, 250
ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκά
ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν,
ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν.
τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο 255
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν.
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον. αὐτὰρ Ἀχιλλεὺς
αὐτοῦ λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα,
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε τρίποδάς τε
ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα 260
ἠδὲ γυναῖκας ἐυζώνους πολιόν τε σίδηρον.

246. *ἐπιεικέα τοῖον*, nur so bescheiden, so gerade recht; über *τοῖον* vgl. zu Odyss. *α*, 209. — *Ἀχαιοί*, d. h. *ὑμεῖς Ἀχαιοί*, ihr Achäer, als Apposition zum Subject des imperativischen *τιθήμεναι*, vgl. 248 *λίπησθε*. Hinsichtlich der Interpunction vgl. zu *φ*, 106.

250–253. *πρῶτον μὲν – ἄλλεγον*. Vgl. Virgil. Aen. 6, 226 *Postquam collapsi cineres et flamma quievit, Reliquias vino et bibulam lavere favillam Ossaque lecta cado texit Corynaeus aheno.*

254. *θέντες – κάλυψαν*, nämlich die *χρυσέη φιάλη*. Uebrigens wurde diese nur für den Augenblick in die Lagerhütte gebracht, bis der Grabhügel (255–257) bereitet war, vgl. *ω*, 795–801.

255. *τορνώσαντο*, Schol. *κύκλῳ περιέγραψαν*, zogen einen Kreis, so gross als das Mal werden sollte, und gruben wohl auch einen runden Graben aus. — *προβάλοντο* in die Vertiefung des Grabens als Grundsteine und zum Unterbau des Grabmales, welches wohl in Form eines conischen Hügels (*tumulus*) darauf errichtet wurde.

257. *χεύαντες – αὐτὰρ* = *ω*, 801; sie wollten wieder in's Schiffslager, in ihre Hütten zurück.

258. *ἵζανεν εὐρὺν ἀγῶνα*, er setzte eine weite Versammlung, d. h. er liess sie in einem weiten Kreise oder Ringe sich lagern, um den anzustellenden Spielen zuzuschauen. — *ἀγὼν* ist zunächst der Ring der Zuschauer, wie 448. 495 *ἐν ἀγῶνι καθήμενοι* und 451 *ἧστο ἐκτὸς ἀγῶνος*, dann der zwischen und vor den Zuschauern befindliche Raum, innerhalb dessen gekämpft wird, die *arena*: so 273 *κεῖτ' ἐν ἀγῶνι*, 617. 685. 696. 799. 847. 886 und Od. *ω*, 86. Aus dem Umstande, dass diese Kämpfe nicht besonders angekündigt werden, lässt sich schliessen, dass sie im Zeitalter des Dichters bei jeder Leichenfeier vorkamen.

259 ff. *λέβητάς – σίδηρον*. Damit sollen nicht alle einzelnen Preise

23 ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
θῆκε γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργα ἰδυῖαν
καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοσίμετρον,
265 τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
ἑξέτε' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα
καλόν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ' αὔτως·
τῷ δὲ τετάρτῳ θῆκε δύω χρυσοῖο τάλαντα,
270 πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκεν.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν.
„Ἀτρείδη τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί,
ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.

genannt werden, die nachher wirklich ausgetheilt werden, sondern nur ein hinreichender Vorrath von Gegenständen, aus denen Preise gewählt werden können. Daher die Plurale ἵππους, ἡμιόνους, βοῶν in Vergleichung mit 265. 613. 654. 750. 779. Auf der andern Seite wird man sich nicht wundern, dass unter dem umfassenden λέβητάς τε τρίποδάς τε auch eine φιάλη 270, ein δέπας 656, ein κρητὴρ 741 und andere Einzelnheiten 798 f. sich befanden, so wie endlich neben dem Eisen 261, vgl. 850 f., auch Gold 269. 751. Uebrigens hangen die Accusative von ἵππους an durch ein Zeugma auch von ἔκφερε ab; der umgekehrte Fall findet 263 f. Statt.

262. ἱππεῦσιν-ποδώκεσιν. Die Rosselenker haben das Epitheton der Rosse, weil es im Wettrennen der Wagen wesentlich auf die letztern ankommt.

264. δυωκαιεικοσίμετρον, vgl. ο, 678 δυωκαιεικοσίπηχυ.

266. ἑξέτε' ἀδμήτην, d. h. ein vollkommen ausgewachsenes, aber auch noch in der vollen Jugendkraft stehendes. Ein ungezähmtes Pferd muss für den kräftigen Natursohn und Helden ungleich anziehender sein als ein gezähmtes; er hat die Aussicht, es selbst nach eignem Wunsch und Bedürfniss einzuüben und zu gewöhnen; daher ist für ihn die Unzähmbarkeit gerade ein Vorzug; vgl. 655 ἥ τ' ἀλγίστη δαμάσασθαι. — βρέφος, bei Spätern ἔμβρυον, anders als Od. ι, 245. — Zu κυέουσαν vgl. τ, 117 ἐκύει.

267. ἄπυρον - λέβητα, vgl. zu ι, 122; natürlich waren die zu Weihgeschenken bestimmten λέβητες immer ἄπυροι. — κατέθηκε wechselt mit θῆκε, ἔθηκεν wie Od. ω, 86. 91.

268. μέτρα, vgl. η, 471.

269. δύω - τάλαντα, vgl. zu ι, 122.

270. ἀμφίθετον, Schol. διπλῆν, οἱονεὶ ἔχουσαν καὶ ἐπὶ στόμα καὶ ἐπὶ πυθμένα θέσιν.

271. στῆ - ἔειπεν. Ein in dieser Erzählung häufig vorkommender Uebergang: 456. 657. 706. 752. 801. 830, vgl. 535. 780 f. Ebenso wiederholt sich 707. 753. 831 ganz gleichlautend die Aufforderung zum Kampfe.

273. δεδεγμένα, Schol. προσδεχόμενα, *exspectantia* oder *manentia*.

295 *Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἐόν τε Πόδαργον·*
296 *τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος*
δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκεν
Ζεὺς ἄφενος, ναῖεν δ' ὅ γ' ἐν εὐρυχόρῳ Σικυῶνι·
300 *τὴν ὅ γ' ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἰσχανόωσαν.*
Ἀντίλοχος δὲ τέταρτος ἐύτριχας ὁπλίσαθ' ἵππους,
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
τοῦ Νηληιάδαο· Πυλοιγενέες δέ οἱ ἵπποι
ὠκύποδες φέρον ἅρμα. πατὴρ δέ οἱ ἄγχι παραστάς
305 *μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ.*
„Ἀντίλοχ', ἤτοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τῷ καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν. ἀλλά τοι ἵπποι
310 *βάρδιστοι θείειν· τῷ τ' οἴω λοίγι' ἔσεσθαι.*
τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοί
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σύ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.

295. *Αἴθην – Πόδαργον*, vgl. zu *θ*, 185.

296. *Ἐχέπωλος*, nach der Sage ein Urenkel des Pelops, nach unserer Stelle Beherrscher von Sikyon.

300. *δρόμου ἰσχανόωσαν* wie *ρ*, 572 *ἰσχανάᾳ δακέειν*.

303 f. *Πυλοιγενέες*, vgl. *β*, 54 *Πυλοιγενέος βασιλῆος*. — *ὠκύποδες* heissen diese Rosse immer noch mit Recht, obgleich sie in Vergleichung mit andern 310 als *βάρδιστοι θείειν* bezeichnet werden; vgl. 445 *ἄμφω γὰρ ἀτέμβονται νεότητος*.

304 f. *πατὴρ δέ οἱ.* Nestor benutzt auch diese Gelegenheit, aus seiner Erfahrung guten Rath zu ertheilen, wie *δ*, 301–309. — Zu *εἰς ἀγαθὰ φρονέων* vgl. Od. *α*, 42 f. *ἀλλ' οὐ – πεῖθ' ἀγαθὰ φρονέων* mit Il. *ι*, 102 *εἰπεῖν εἰς ἀγαθόν*. — *νοέοντι καὶ αὐτῷ* = Od. *π*, 136 *τά γε δὴ νοέοντι κελεύεις*.

307. *καὶ ἱπποσύνας ἐδίδαξαν.* Dies gilt eigentlich nur von Poseidon als *ἵππιος* und Stammgott des Neleischen Geschlechtes, aber im höhern Sinne ist Zeus Urheber jeder guten Gabe; vgl. *υ*, 192.

309. *τέρματα* von Einem Ziele wie 333. 358, vgl. mit 323.

310. *τῷ τ' οἴω*, d. i. *τῷ τοι οἴω*, vgl. zu Od. *δ*, 367 *ἤ μ' οἴῳ ἔρροντι* u. Il. *φ*, 533 *νῦν οἴω λ. ἔ.*

311. *ἀφάρτεροι* = *ταχύτεροι* bei Homer nur hier. — *οὐδὲ μέν* = *οὐ μήν, οὐ μέντοι.*

312. *σέθεν αὐτοῦ*, als du selbst, d. h. als du auch ohne meinen Rath, vgl. 308 *τῷ – χρεώ*.

314. *ἄεθλα*, wo möglich der erste Preis oder doch einer der ersten.

μῆτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφιν· 315
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ 316
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·
μήτι δ' ἡνίοχος περιγίγνεται ἡνιόχοιο.
ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς
ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα, 320
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
ὃς δέ κε κέρδεα εἰδῇ ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν,
ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προύχοντα δοκεύει. 325
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει.
ἕστηκε ξύλον αὖον, ὅσον τ' ὄργυι', ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ,
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ

315 ff. *μήτι – μήτι*. Emphatische Begründung der Ermahnung *μῆτιν ἐμβάλλεο θυμῷ*. Zur Contraction *μήτι* vgl. 500 *μάστι*; zu *ἐρεχθομένην* Od. ε, 83. η, 81.

318. *μήτι δ' ἡνίοχος* = *μήτι δὲ καὶ ἡνίοχος κτέ.*, denn dies ist die Anwendung auf den vorliegenden Fall, die dann 322–325 weiter ausgeführt wird.

319 f. *ὃς μέν θ' ἵπποισι κτέ.* = *ἐὰν μέν τις – ἑλίσσηται*. Ausführung des entgegengesetzten Falles, wo es dem Wagenlenker, bei der besten Ausrüstung, an der inneren Einsicht und Besonnenheit gebricht. — *ἀφραδέως* = *ἄνευ μήτιδος, μὴ εἰδὼς κέρδεα* (322). — *ἐπὶ πολλὸν ἑλίσσεται*, weit hinaus fährt, in weitem Bogen herumlenkt (vgl. 309. 466): Gegensatz zu *στρέφει ἐγγύθεν* 323. — *ἔνθα καὶ ἔνθα*, bald hier, bald dort, d. h. in unsicherer Richtung, unstät, nicht überall die kürzeste Linie beschreibend. — *ἵπποι δὲ πλανόωνται κτέ.* ist der Nachsatz zu *ὃς μέν θ' – ἑλίσσεται*, worin *δὲ* den Widerspruch zwischen der Meinung des Lenkers und dem Erfolge hervorhebt: die Rosse dagegen (welche die Unsicherheit ihres Lenkers gewahr werden). — *οὐδὲ κατίσχει*, erg. *ὁ ἡνίοχος τοὺς ἵππους*.

322. *ἐλαύνων – ἵππους*, concessiv, auch wenn er schwächere Pferde hat.

323 f. *οὐδέ ἑ λήθει κτέ.*, es entgeht ihm nicht, d. h. er behält immer im Sinne und richtet seine Aufmerksamkeit darauf, wie (wie immer, *ὅπως* = *ὅπως ἄν*) er von Anfang an (die Rosse) mit den ledernen Riemen (den Zügeln, *ἡνία* 337) gerichtet, straff oder schlaff angezogen, gefasst hat. Denselben Gedanken drückt positiv *ἔχει ἀσφαλέως* aus. — *δοκεύει* (vgl. Od. ε, 274 *Ὠρίωνα δοκεύει*), um ihm im günstigen Augenblicke zuvorzukommen.

328. *οὐ καταπύθεται*. Dies wird daraus erschlossen, dass es schon so lange, dem Ansehen nach unverändert, da steht.

330 ἐν ξυνοχῇσιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς·
331 ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος,
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῷ σὺ μάλ' ἐγχρίμψας ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
335 αὐτὸς δὲ κλινθῆναι ἐυπλέκτῳ ἐνὶ δίφρῳ
ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν.
ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
340 κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσῃς κατά θ' ἅρματα ἄξῃς·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ
ἔσσεται. ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσῃ γε παρεξελάσῃσθα διώκων,
345 οὐκ ἔσθ' ὅς κέ σ' ἕλῃσι μετάλμενος οὐδὲ παρέλθῃ,

330. ἐν ξυνοχῇσιν ὁδοῦ, wo die beiden Bahnen, um die Meta (νύσσα 332. 338. 344) herumbiegend, in einer schmalen Biegung zusammentreffen. Die beiden Steine aber sind Prallsteine, zum Schutz des hölzernen Pfahles in den Boden eingegraben (ἐρηρέδαται). — ἀμφίς, darum herumgehend nach beiden Seiten.

333. καὶ νῦν, und auch jetzt, so auch jetzt; denn νύσσα und τέρμα sind hier gleichbedeutend.

335. ἐυπλέκτῳ ἐνὶ δίφρῳ = 436 δίφρους - ἐυπλεκέας. Wahrscheinlich war der Raum zwischen dem obern und untern Wagenkranz (ἄντυξ, vgl. zu ε, 262) durch Flechtwerk ausgefüllt.

336. ἦκ' ἐπ' ἀριστερὰ τοῖιν (τοῖν ἵπποιν), d. h. biege dich sachte nach der Linken deines Gespannes, um das rechtslaufende Ross, das sich jetzt mehr anstrengen muss, zu erleichtern (und doch nicht etwa umzuwerfen). Eben darum wird dieses auch noch besonders angetrieben (κένσαι 337).

337. εἶξαι, Schol. χαλάσαι. Nach Grashof hatte der Lenker vermuthlich vier Leinen im Ganzen, zwei für jedes Pferd in der entsprechenden Hand, so dass er jedes Pferd mit einer Hand lenkte.

339 f. ὡς ἄν τοι - δοάσσεται κτέ., so dass es im Umbiegen um das Rennziel scheint, die Nabe komme an den Rand des Rades, d. h. Nabe und Radkranz fallen zusammen, berühren sich. Hyperbolische und auf der perspectivischen Verkürzung der Speichen bis zu einem Minimum beruhende Bezeichnung einer möglichst kurzen Umbiegung (eines ganz kurzen Rankes). — ἄκρον κύκλου ποι. ist also Object von ἱκέσθαι.

342 f. ἐλεγχείη - ἔσσεται, vgl. zu λ, 314 f. δὴ γὰρ ἔλεγχος ἔσσεται.

344. εἰ - παρεξελάσῃσθα δ., wenn du nur glücklich und vor den Andern um das Rennziel herum, daran vorbei gekommen bist.

345. ἕλῃσι = καταλάβῃ, einholt.

οὐδ' εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι, 23
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφεν ἐσθλοί."
ὣς εἰπὼν Νέστωρ Νηλήιος ἂψ ἐνὶ χώρῃ
ἕζετ', ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπεν. 350
Μηριόνης δ' ἄρα πέμπτος ἐύτριχας ὁπλίσαθ' ἵππους.
ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο.
πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τὸν δ' ἔλαχε κρείων Εὔμηλος,
τῷ δ' ἄρ' ἐπ' Ἀτρεΐδης δουρικλειτὸς Μενέλαος, 355
τῷ δ' ἐπὶ Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδεΐδης, ὄχ' ἄριστος ἐών, λάχ' ἐλαυνέμεν ἵππους.
σταν δὲ μεταστοιχί, σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς
τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο, 360
ὡς μεμνέῳτο δρόμου καὶ ἀληθείην ἀποείποι.
οἱ δ' ἅμα πάντες ἐφ' ἵπποιιν μάστιγας ἄειραν,
πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν
ἐσσυμένως. οἱ δ' ὦκα διέπρησσον πεδίοιο,

346. *μετόπισθεν*, hinter dir her = *μετάλμενος*. Ueber das Wunderross Arion, das, von Poseidon mit der Demeter-Erinys erzeugt, dem Herakles Elis erobern half und den Adrastos aus Theben rettete, vgl. Pausanias 8, 25, 7–10. Uebrigens lässt sich aus 409. 525 (wo auch Aethe allein genannt ist), vgl. mit 295 und 517, schliessen, dass auch Arion nicht allein vor den Streitwagen gespannt wurde.

348. *τοὺς Λαομέδοντος*, vgl. ε, 265–272; zum Folgenden φ, 279 *ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος*.

349. *ἐνὶ χώρῃ* = *κατὰ χώραν*, an seinen Platz.

350. *ἑκάστου πείρατ' ἔειπεν*, die Begrenzung eines jeglichen angesagt, d. h. Alles genau, bestimmt aus einander gesetzt hatte. *πείρατα* vielleicht mit Rücksicht auf die mehrfach erwähnten *τέρματα*, *νύσσα* (Ameis).

352. *ἐν δὲ – ἐβάλοντο*, erg. *κυνέῃ* oder *πήληκι*, vgl. η, 176 *ἐν δ' ἔβαλον κυνέῃ Ἀγαμέμνονος*.

358. *μεταστοιχί*, im Allgemeinen s. v. a. *ἑξείης*, doch bestimmter: in Einer Reihe hinter einander = *ἐπὶ στίχου* Schol. Die Bahn wäre kaum breit genug gewesen, dass alle fünf Wagen neben einander hätten stehen können. Anders bei den Läufern 758. — *σήμηνε*, er zeigte und erklärte es ihnen.

361. *ὡς μεμνέῳτο δρ.*, Schol. *ἐπιμελοῖτο, ἐπισκοποῖ*, was bei dem Wettkampfe des Odysseus mit den Phäaken Od. θ, 193 Athene von freien Stücken thut.

363. *ἱμᾶσιν* = 324 *βοέοισιν ἱμᾶσιν*, sie schüttelten die Leinen auf den Rücken der Pferde, vgl. Virg. Aen. 5, 146 *aurigae undantia lora Concussere iugis*.

5 νόσφι νεῶν, ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
6 ἵστατ᾽ ἀειρομένη ὥς τε νέφος ἠὲ θύελλα,
χαῖται δ᾽ ἐρρώοντο μετὰ πνοιῇς ἀνέμοιο.
ἅρματα δ᾽ ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
ἄλλοτε δ᾽ ἀΐξασκε μετήορα. τοὶ δ᾽ ἐλατῆρες
0 ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
νίκης ἱεμένων· κέκλοντο δὲ οἷσιν ἕκαστος
ἵπποις, οἱ δ᾽ ἐπέτοντο κονίοντες πεδίοιο.
ἀλλ᾽ ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
ἂψ ἐφ᾽ ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου
5 φαίνετ᾽, ἄφαρ δ᾽ ἵπποισι τάθη δρόμος. ὦκα δ᾽ ἔπειτα
αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
τὰς δὲ μετ᾽ ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι,
Τρώιοι, οὐδέ τι πολλὸν ἄνευθ᾽ ἔσαν ἀλλὰ μάλ᾽ ἐγγύς·
αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐίκτην,
0 πνοιῇ δ᾽ Εὐμήλοιο μετάφρενον εὐρέε τ᾽ ὤμω
θέρμετ᾽· ἐπ᾽ αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην.

365. *νόσφι νεῶν*, von den Schiffen (dem Standorte derselben am Ufer) hinweg und landeinwärts. Der Rückweg führt sie daher 374 *ἂψ ἐφ᾽ ἁλὸς πολιῆς* wieder gegen das Meer, in der Richtung desselben.

368 f. *ἄλλοτε μὲν — μετήορα*, vgl. Virg. Georg. 3, 108 f. *Iamque humiles, iamque elati sublime videntur Aëra per vacuum ferri atque assurgere in auras.*

370 f. *ἕστασαν — ἱεμένων*. Virg. a. a. O. 105 ff. *Quum spes arrectae iuvenum, exsultantiaque haurit Corda pavor pulsans — volat vi fervidus axis.*

373. *πύματον τέλεον δρόμον*, brachylogisch: sie durchliefen die äusserste Bahn (den vom Ausgangspunct entferntesten Theil derselben) und von da wieder zurück gegen das Meer.

375. *ἄφαρ — δρόμος*, in gestrecktem Lauf eilten sie hin.

376. *αἱ Φηρητιάδαο*, vgl. zu β, 763-767. *ἔκφερον* intransitiv: sie kamen den andern zuvor, hatten den Vorsprung, vgl. 759 und Od. γ, 496 *τοῖον γὰρ ὑπέκφερον ὠκέες ἵπποι*.

378. *ἄνευθ᾽ ἔσαν*, erg. *τῶν Φηρητιάδαο ἵππων*.

379. *αἰεὶ — ἐίκτην*, d. h. jeden Augenblick glaubte man, sie müssten auf den *δίφρος* auftreten. So Ovid. Metam. 1, 535 von dem einen Hasen verfolgenden Windhunde: *Alter inhaesuro similis iam iamque tenere Sperat.*

380 f. *πνοιῇ — θέρμετο*. Virg. a. a. O. 111 *humescunt spumis flatuque sequentum*. Das Verbum richtet sich nach dem Hauptbegriffe *μετάφρενον*; vgl. aber auch ρ, 386 f. *γούνατά τε κνῆμαί τε — — παλάσσετο*. — *ἐπ᾽ αὐτῷ — καταθέντε*, nicht wirklich, sondern wie es den Zusehenden erschien.

καί νύ κεν ἢ παρέλασσ' ἢ ἀμφήριστον ἔθηκεν, **22**
εἰ μὴ Τυδέος υἷι κοτέσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο, 385
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
οἱ δέ οἱ ἐβλάφθησαν ἄνευ κέντροιο θέοντες.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
Τυδείδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν. 390
ἡ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσ' ἐβεβήκει,
ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι
ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη.
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε, 395
θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,

382. *ἢ παρέλασσ' ἢ – ἔθηκεν*, nämlich *Διομήδης Εὔμηλον*. Vgl. Virg. Aen. 5, 326 *Transeat elapsus prior ambiguumve relinquat.*

383 f. *Ἀπόλλων* nimmt sich des Eumelos an wegen des *β*, 766 angegebenen Verhältnisses. Er muss also hier persönlich gegenwärtig, jedoch unsichtbar gedacht werden, wie nachher Athene 389. 391. — *φαεινὴ* wahrscheinlich s. v. a. *σιγαλόεις*, worüber vgl. zu *ε*, 226.

387. *οἱ δέ*, vgl. 377 *ἄρσενες ἵπποι*, und hinsichtlich der Verbindung unten 500 *οἱ δέ οἱ ἵπποι*. — *ἄνευ κέντροιο* (vgl. 430), weil er seine Geissel verloren hatte (384). Denn *κέντρον* ist hier dasselbe, was vorher und nachher *μάστιξ*, anderswo auch *ἱμάσθλη*, d. h. eine künstlich aus Riemen geflochtene Gerte mit einem Stachel am Ende.

388. *ἐλεφηράμενος Τυδείδην*, Schol. *ἀδίκως, δι' ἀπάτης βλάψας*.

392. *ἵππειον – ζυγόν*. Der Gang des Verses ahmt das plötzliche Knacken des Joches nach. — *ἦξε* (*ἔαξε*) = Od. *τ*, 539.

393. *ἀμφὶς ὁδοῦ*, auf beiden Seiten des Weges (denn sie gingen wohl durch, wie *ζ*, 40 *αὐτὼ μὲν ἐβήτην*). Verschieden ist *ἐκτὸς ὁδοῦ* 424. — *ἐπὶ γαῖαν ἐλύσθη*, wurde geschleift, schleifte (bewegte sich gleichsam in Windungen) über die Erde hin.

394. *αὐτὸς – ἐξεκυλίσθη* = *ζ*, 42.

395 f. *ἀγκῶνας*, vgl. zu *λ*, 252 *ἀγκῶνος ἔνερθεν*. — *θρυλίχθη*, Schol. *περιεθραύσθη*, er zerschlug sich. Die Zuschauer aber bemerkten diesen ganzen Vorfall (wegen der Entfernung oder der Oertlichkeit) nicht nach 459–467. — *τὼ δέ οἱ – φωνή* = *ρ*, 695 f.

398. *παρατρέψας ἔχε*, lenkte mit fester Hand vorüber, trieb sicher vorbei.

23 πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
400 ἵπποις ἧκε μένος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν.
τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο.
„ἔμβητον καὶ σφῶϊ· τιταίνετον ὅττι τάχιστα.
ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω,
405 Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν·
ἵππους δ' Ἀτρείδαο κιχάνετε, μηδὲ λίπησθον,
καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
Αἴθη θῆλυς ἐοῦσα. τίη λείπεσθε, φέριστοι;
410 ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
ἔσσεται, αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέι χαλκῷ,
αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον.
ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον ὅττι τάχιστα.
415 ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω,
στεινωπῷ ἐν ὁδῷ παραδύμεναι, οὐδέ με λήσει."
ὣς ἔφαθ', οἱ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλήν
μᾶλλον ἐπεδραμέτην ὀλίγον χρόνον. αἶψα δ' ἔπειτα

399. *πολλὸν — ἐξάλμενος*, weit den andern (Mitkämpfern) voreilend, vgl. zu 376 *ἔκφερον*.

401. *τῷ δ' ἄρ' ἐπ' — εἶχε*, erg. *τοὺς ἵππους*, ihm zunächst trieb sein Gespann.

403. *ἔμβητον καὶ σφῶϊ*, aufdenn, auch ihr, eigentlich tretet an, beginnet auch ihr. — *τιταίνετον* ist intransitiv, vgl. 518 = χ, 23 *τιταινόμενος*.

404–407. *ἤτοι μὲν — κιχάνετε*. Eine von Virgil Aen. 5, 194–196 (*Non iam prima peto — Extremos pudeat rediisse*) nachgeahmte Wendung. Aus dem entschiedenen Glück des Diomedes erkennt Antilochos den schon oft bewährten Beistand der Athene; vgl. 782 *ἦ μ' ἔβλαψε θεὰ πόδας κτἑ*.

407 f. *κιχάνετε — καρπαλίμως*, d. i. *κιχ. καρπ. μὴ λειπόμενοι*.

411. *κομιδή*, vgl. θ, 186, von der Pflege der Pferde.

413. *ἀποκηδήσαντε φερώμεθα*, wir beide Theile, ich euer Herr und ihr meine Rosse; vgl. zu ε, 487 *ἁλόντε*. Durch das Verbum fasst er sich mit den Pferden zusammen, während das Participium **eigentlich** nur auf die letztern geht.

415 f. *ταῦτα* weist ankündigend auf das folgende *στεινωπῷ — παραδύμεναι* hin, vgl. 419–421; denn Antilochos sah schon die kommende Schwierigkeit des Weges voraus. — Zu *τεχνήσομαι* vgl. γ, 61 *τέχνῃ*.

418. *ἐπεδραμέτην* = 433. 447 (vgl. besonders 504) in Beziehung

στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης. **23**
ῥωχμὸς ἔην γαίης, ᾗ χειμέριον ἀλὲν ὕδωρ 420
ἐξέρρηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα.
τῇ ῥ' εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν.
Ἀτρείδης δ' ἔδδεισε καὶ Ἀντιλόχῳ ἐγεγώνει 425
„Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι. ἀλλ' ἄνεχ' ἵππους·
στεινωπὸς γὰρ ὁδός, τάχα δ' εὐρυτέρῃ παρελάσσεις,
μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας."
ὣς ἔφατ', Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνεν
κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀίοντι ἐοικώς. 430
ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
ὅν τ' αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης,
τόσσον ἐπεδραμέτην. αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρείδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι, 435

auf die, welche ihnen voran sind: sie eilten nach.

419f. *στεῖνος ὁδοῦ κτέ.* Der Weg verengerte sich, weil angeschwollene und seitwärts gedrängte Fluthen (*ἀλὲν ὕδωρ*) einen Theil desselben weggerissen und ausgeschwemmt, gehöhlt und vertieft hatten. — *ῥωχμός*, ein Riss (*ἐξέρρηξεν*), eine Runse. Schol. *τόπος κεχαραγμένος ὑπὸ ὀμβρίου ὕδατος.*

422. *τῇ* weist auf *στεῖνος ὁδοῦ* 419 zurück (denn die zwei dazwischen stehenden Verse *ῥωχμὸς – ἅπαντα* sind gewissermassen parenthetisch). Menelaos fuhr auf dem verengten Wege rechts von der Runse und suchte dabei jeden Zusammenstoss mit einem andern Wagen sorgfältig zu vermeiden; Antilochos aber war verwegen genug, in der kleinsten Distanz (*ὀλίγον παρακλίνας*) am Rande des Weges und beinahe ausser demselben (*ἐκτὸς ὁδοῦ*) auf der innern Seite (links) an ihm vorüberzufahren. — Wie *ἁματροχιάς* gemeint sei, ergiebt sich aus *ἅρματι κύρσας* 428 und *σύγκύρσειαν* 435. Schol. *τὰς τῶν τροχῶν συγκρούσεις τὰς ἀπὸ τῶν ἄλλων ἁρμάτων.*

430. *ὡς – ἐοικώς*, Schol. *ὡς μὴ ἀκούοντι ὅμοιος.* Der Begriff der Aehnlichkeit ist zweimal, sowohl durch *ὡς* (= *ὡς οὐκ ἀκούων*) als durch *ἐοικὼς* (*οὐκ ἀκούοντι ἐοικώς*) ausgedrückt.

431. *δίσκου οὖρα*, vgl. zu *κ*, 351 *οὖρα – ἡμιόνων* und unten 523 *δίσκουρα.* — *κατωμαδίοιο*, Schol. *τοῦ κατὰ τῶν ὤμων φερομένου.* Auch nach unserer Stelle wie nach Od. *ϑ*, 186ff. wurde der Diskos von freier Hand geworfen.

433. *ἐπεδραμένην*, nämlich die Rosse des Antilochos, denen die des Menelaos (*αἱ δ' – Ἀτρείδεω*) entgegengesetzt werden.

23 δίφρους τ' ἀνστρέψειαν ἐυπλεκέας, κατὰ δ' αὐτοί
ἐν κονίῃσι πέσοιεν ἐπειγόμενοι περὶ νίκης.
τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος
„Ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος.
440 ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
ἀλλ' οὐ μὰν οὐδ' ὣς ἄτερ ὅρκου οἴσῃ ἄεθλον."
ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο, φώνησέν τε
„μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ.
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
445 ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος."
ὣς ἔφαθ', οἱ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλήν
μᾶλλον ἐπεδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
ἵππους· τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.
450 πρῶτος δ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἐφράσαθ' ἵππους·
ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ,
τοῖο δ' ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας
ἔγνω· φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα,
ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ
455 λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠΰτε μήνη.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν.

436. *αὐτοί*, sie selbst, die Lenker der Wagen.

439. *οὔ τις – ἄλλος*, vgl. *γ*, 365.

441. *ἄτερ ὅρκου*. Zu diesem Eide, dass er nicht vorsätzlich aus Arglist den Wagen des Menelaos aufgehalten habe, fordert dieser ihn 581–585 auf, aber er ist so ehrlich, ihn abzulehnen.

444. *φθήσονται – καμόντα*, sie werden früher ermatten. — Zu *φθάνω – ἤ* vgl. Od. *λ*, 58.

449. *ἵππους· τοὶ δὲ*, geht auf alle fünf Wagenkämpfer.

450. *Ἰδομενεύς*, der aus Theilnahme für seinen Freund Meriones (351) besonders gespannt auf den Ausgang ist.

451. *ἐν περιωπῇ*, vgl zu Od. *κ*, 146 *ἐς περιωπήν*. Idomeneus kann nichts desto weniger auf dem Gerüste der übrigen Zuschauer gesessen haben, nur ausser dem eigentlichen Ringe (*ἐκτὸς ἀγῶνος*), zuoberst (*ὑπέρτατος*), wo er über die Andern hinaussah.

452. *τοῖο – ὁμοκλητῆρος*. Das noch unbestimmte Demonstrativum *τοῖο* wird durch *ὁμοκλητῆρος* erklärt; es bezeichnet nach dem Zusammenhange den vordersten der fünf Wagenlenker, und zwar Diomedes (470–472). Bei *ἔγνω* erg. *αὐτόν*; er erkannte ihn zuerst an der Stimme schon von ferne, dann aber auch an einem Pferde.

454. *τὸ μὲν ἄλλο τόσον*, vgl. zu *χ*, 322 *ἄλλο τόσον μέν*.

„ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, 23
οἷος ἐγὼν ἵππους αὐγάζομαι ἦε καὶ ὑμεῖς;
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
ἄλλος δ᾽ ἡνίοχος ἰνδάλλεται· αἱ δέ που αὐτοῦ 460
ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν.
ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,
νῦν δ᾽ οὔ πῃ δύναμαι ἰδέειν· πάντῃ δέ μοι ὄσσε
Τρωικὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι.
ἦε τὸν ἡνίοχον φύγον ἡνία, οὐδ᾽ ἐδυνάσθη 465
εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας;
ἔνθα μιν ἐκπεσέειν ὀίω σύν θ᾽ ἅρματα ἆξαι,
αἱ δ᾽ ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
εὖ διαγιγνώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνήρ 470
Αἰτωλὸς γενεήν, μετὰ δ᾽ Ἀργείοισιν ἀνάσσει,
Τυδέος ἱπποδάμου υἱός, κρατερὸς Διομήδης.“
τὸν δ᾽ αἰσχρῶς ἐνένιπεν Ὀιλῆος ταχὺς Αἴας.
„Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἱ δέ τ᾽ ἄνευθεν

458. *αὐγάζομαι*, sehe ich, emphatisch = ersehe ich deutlich, erkenne ich. Vgl. Apollon. Rhod. 1, 155 von Lynkeus: *καὶ νέρθε κατὰ χθονὸς αὐγάζεσθαι.*

459. *παροίτεροι*, vom Raume: voran, den Andern voraus, = 480, vgl. 487 *πρόσθε*. 498 *πάροιθεν*. S. oben 376 f.

460 f. *αἱ δέ*, nämlich die des Eumelos. — *αὐτοῦ* wird durch *ἐν πεδίῳ* näher bestimmt. — *κεῖσε*, brachylogisch: auf dem Hinweg, hinwärts.

462 f. *τὰς* (*ἅς*) *πρῶτα ἴδον*, die, welche ich zuerst gegen das Ziel umbiegen sah. Der Hauptsatz ist *νῦν δ᾽ οὔ πῃ δύναμαι ἰδέειν*. Eumelos kommt erst zuletzt 532, und hatte begreiflich lange zu thun, bis er sich von seinem Unfall einigermassen erholt und hergestellt hatte.

466. *εὖ σχεθέειν περὶ τέρμα*, d. h. die Rosse recht fest halten, bis er ganz um das Ziel herum war. Zu *σχεθέειν* vgl. Od. ε, 320 *ἀνσχεθέειν*. — *οὐκ ἐτύχησεν ἑλίξας;* Paraphr. *οὐκ εὐτύχησε κάμψας;* traf er die Wendung, den Umschwung nicht?

468. *ἐξηρώησαν*, vgl. 393 *ἀμφὶς ὁδοῦ δραμέτην*, sie rissen aus. — *μένος*, Wuth, Wildheit.

470–472. *δοκέει* – *Διομήδης*. Durch die zuerst ganz allgemeine, dann allmälig bestimmtere Bezeichnung einer Allen bekannten Persönlichkeit soll die Erwartung der Zuhörer auf scherzhafte Weise gespannt werden.

473. *τὸν δ᾽ αἰσχρῶς ἐνένιπεν* = Od. σ, 321. Der kleinere Aias erscheint auch sonst als frech und ungezügelter Zunge, vgl. Od. δ, 499–510.

474. *πάρος*, zum Voraus, zu frühe, also auch vorschnell. — *αἱ δέ τ᾽ ἄνευθεν κτέ.*, die Rosse, die

23 ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
476 οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε·
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι. οὐδέ τί σε χρή
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.
480 ἵπποι δ' αὐταὶ ἔασι παροίτεραι αἳ τὸ πάρος περ,
Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκεν."
τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα
„Αἶαν νεῖκος ἄριστε, κακοφραδές, ἄλλα τε πάντα
δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
485 δεῦρό νυν, ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος,
ἵστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,
ὁππότεραι πρόσθ' ἵπποι, ἵνα γνώῃς ἀποτίνων."
ὣς ἔφατ', ὤρνυτο δ' αὐτίκ' Ὀιλῆος ταχὺς Αἴας
χωόμενος χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσιν.
490 καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,

du schon erkennen willst, sind ja noch weit weg in der Ebene. Gleichwohl behauptet er selbst 480f., sie auch, nur als andere, zu erkennen.

476. *νεώτατός - τοσοῦτον*, ironisch: so sehr der Jüngste; denn er war nicht mehr jung, sondern *μεσαιπόλιος* nach *ν*, 361. Auch das folgende *κεφαλῆς ἐκδέρκεται* hat etwas Komischburlesques: sie schauen dir — aus dem Kopfe heraus.

479. *πάρα γὰρ - ἄλλοι*, gleichsam: es sind noch andere Leute da, die auch ein Wort zu sprechen haben. — Zu *πάρα* vgl. Od. *π*, 45 *πάρα δ' ἀνὴρ ὃς καταθήσει.*

480. *αὐταί* = *αἱ αὐταί*, vgl. *μ*, 225 *αὐτὰ κέλευθα.*

481. *ἐν - βέβηκεν*, erg. *ἵπποις*, er selbst lenkt stehend den Wagen. — *εὔληρα*, *ἅπαξ λεγόμ.* bei Homer. Lexicon vetus: *αὔληρον ἱμὰς ἢ σχοινίον, ὅπερ Ἴωνες εὔληρον.* (*Fέλω*, *Fείλω*, *εὐλέω*).

483f. *νεῖκος ἄριστε, κακοφρ.*, vgl. *γ*, 39 *εἶδος ἄριστε, γυναιμανές.* Aus der Anrede geht der Dichter in die Beschreibung über, mit dem Verbum finitum (*δεύεαι*) statt des Participii.

485. *δεῦρο*, hier s. v. a. *ἄγε*, mit dem es sonst verbunden wird, vgl. *ρ*, 120f. *δεῦρο - σπεύσομεν.* — Zu *περιδώμεθον* (dem einzigen homerischen Beispiel der auch sonst sehr seltenen ersten Person des Duals) vgl. Od. *ψ*, 78 *ἐμέθεν περιδώσομαι αὐτῆς* mit d. Anm.

486. *ἵστορα* (vgl. *σ*, 501) *arbitrum*, zum Schiedsrichter, eigentlich zum Zeugen und Wächter unsers Vertrages (*συνθηκοφύλακα*).

487. *ἀποτίνων*, büssend, d. h. wenn du die Wette verlierst und bezahlen musst.

490. *κε - προτέρω ἔρις γένετο*, der Streit wäre noch weiter vorwärts gegangen, gewachsen. Vgl. Apollon. Rhod. 1, 492 *προτέρω δέ κε νεῖκος ἐτύχθη, εἰ μὴ - κατερήτυεν.*

εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκεν.
„μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν Ἰδομενεῦ τε, κακοῖς, ἐπεὶ οὐδὲ ἔοικεν.
καὶ δ' ἄλλῳ νεμεσᾶτον, ὅ τις τοιαῦτά γε ῥέζοι.
ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε 495
ἵππους· οἱ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
ἵππους Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν."
ὣς φάτο, Τυδείδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ ἵπποι 500
ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον.
αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον,
ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε
ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλή
γίγνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν 505
ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην.
στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρὼς
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.

493. *κακοῖς* enthält erst die moralische Charakterisirung der *χαλεπὰ ἔπη*, zur Begründung des allgemein missbilligenden *ἐπεὶ οὐδὲ ἔοικεν*: unwürdigen, unedeln.

494. *καὶ – ῥέζοι*, vgl. Od. ζ, 286 *καὶ δ' ἄλλῃ νεμεσῶ, ἥ τις τοιαῦτά γε ῥέζοι*.

496. *οἱ δὲ – αὐτοί*, d. i. die noch unterwegs befindlichen Wagenlenker alle.

501. *ὑψόσ' ἀειρέσθην*, daher das Beiwort *ἀερσίποδες* z. B. 475.

502. *ἡνίοχον*, d. i. den Diomedes, der hier mit noch grösserm Rechte *ἡνίοχος* genannt wird, als θ, 89 Hektor.

503. *χρυσῷ πεπυκασμένα κ. τ.*, d. h. reichlich verziert, belegt mit grossen Stücken von Gold und Zinn, daher 509 *δίφροιο παμφανόωντος*, vgl. 561 das *χεῦμα φαεινοῦ κασσιτέροιο* auf dem Panzer des Asteropäos und κ, 438 *ἅρμα δέ οἱ χρυσῷ τε καὶ ἀργύρῳ εὖ ἤσκηται* von Rhesos.

504. *ἵπποις – ἐπέτρεχον*, er lief dicht, unmittelbar hinter den Rossen her, wie es 517-521 beschrieben wird.

505 f. *ἁρματροχιή*, die Rad- oder Wagenspur. Der Wagen fuhr so leicht und schnell dahin, dass er in dem dünnen Staube kaum einschnitt. — Zu *λεπτὸς* vgl. υ, 275 f. *λεπτότατος χαλκὸς – λεπτοτάτη ῥινὸς βοός*. — Durch *τὼ δὲ – πετέσθην* wird der Hauptbegriff der Schnelligkeit (501 *ῥίμφα πρ. κέλευθον*) wiederholt.

507-513. *στῆ δὲ – ἵππους*. Durch diese Beschreibung wird dem Zuhörer die ziemliche Weile bemerkbar, welche zwischen dem Anlangen des Diomedes und dem des Antilochos verging. Anders bei der Ankunft des Menelaos 516.

23 αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
510 κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν. οὐδ' ἐμάτησεν
ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον,
δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα
καὶ τρίποδ' ὠτώεντα φέρειν· ὁ δ' ἔλυεν ὑφ' ἵππους.
τῷ δ' ἄρ' ἐπ' Ἀντίλοχος Νηλήιος ἤλασεν ἵππους,
515 κέρδεσιν, οὔ τι τάχει γε παραφθάμενος Μενέλαον.
ἀλλὰ καὶ ὧς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους.
ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥά τ' ἄνακτα
ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν·
τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
520 οὐραῖαι· ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλή
χώρη μεσσηγύς, πολέος πεδίοιο θέοντος·
τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
λείπετ'. ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο,
ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠΰ
525 ἵππου τῆς Ἀγαμεμνονέης, καλλίτριχος Αἴθης.
εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισιν,
τῷ κέν μιν παρέλασσ' οὐδ' ἀμφήριστον ἔθηκεν.

510. *ποτὶ ζυγόν.* Am Joche befand sich wohl eine Vorrichtung, wo die Geissel eingesteckt werden konnte. Paraphr. *προσεπέλασε δὲ τὴν μάστιγα πρὸς τὸν ζυγόν.* — *οὐδ' ἐμάτησεν* = π, 474 hier: er verlor keine Zeit, besann sich nicht lange.

513. *ὁ δέ*, Sthenelos spannte gleichzeitig die Rosse aus.

515. *κέρδεσιν κτἑ.*, vgl. 418–437.

517. *ὅσσον δὲ τροχοῦ ἵππος.* Eine sehr nahe liegende und darum auch sehr anschauliche Vergleichung.

519f. *τοῦ μὲν* hängt von *τρίχες ἄκραι* ab. — *ὁ δέ, τροχός.* Die Räder müssen nämlich in gleicher Linie mit dem nicht sehr breiten Wagenkasten, d. h. eben so weit vorstehend als dieser, und nicht weit aus einander gedacht werden (nach **Grashof**).

521. *πολέος – θέοντος*, wann es (das Ross, collectiv) durch die weite Ebene dahin eilt: denn gerade bei einer ausgedehnten Fläche wird der Lauf am gleichmässigsten sein, ja beinahe an Schnelligkeit noch zunehmen.

523f. *τὰ πρῶτα*, zuerst, anfangs, als Menelaos nach 433 seine Rosse mit Fleiss zurückhielt. — Zu *αἶψα κίχανεν κτἑ.* vgl. oben 446f. — *ὀφέλλετο* durch den kräftigen Zuruf des Menelaos.

526f. *εἰ δέ κ' ἔτι προτέρω κτἑ.* Vgl. in der oben zu 382 angeführten Stelle aus Virg. Aen. 5, 325 *spatia et si plura supersint* cet. Hier aber wird der Ausdruck des wahrscheinlich glücklichsten Erfolges durch *οὐδ' ἀμφήριστον* statt *ἢ ἀμφήριστον* gesteigert: er hätte ihn nicht (etwa nur) zu einem

αὐτὰρ Μηριόνης θεράπων ἐὺς Ἰδομενῆος
λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν·
βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι, 530
ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
ἕλκων ἅρματα καλά, ἐλαύνων πρόσσοθεν ἵππους.
τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευεν. 535
„λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους.
ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικές,
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπήνεον ὡς ἐκέλευεν.
καί νύ κέ οἱ πόρεν ἵππον — ἐπήνησαν γὰρ Ἀχαιοί —, 540
εἰ μὴ ἄρ Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός,
Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατ' ἀναστάς.
„ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς
τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
τὰ φρονέων ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω 545

bestrittenen gemacht, d. h. er hätte es unbestreitbar gemacht, seinen Sieg über allen Zweifel erhoben.

529. *δουρὸς ἐρωήν*, vgl. zu *ο*, 358 f.

531. *ἥκιστος* scheint milder im Begriffe, als das attische *ἥκιστος* wäre: der schwächste, am wenigsten feurige, schlaffste (unter den fünfen). Vgl. Od. *σ*, 92–94 *ἦκ' ἐλάσαι*.

533. *ἕλκων ἅρματα*, den Wagen (da das Joch zerbrochen war 392) nachschleppend, selbst ziehend, wie Diomedes *κ*, 505 mit dem geraubten Wagen des Rhesos wenigstens thun wollte. Zu diesem *ἕλκων* ist also, im Gegensatze zum folgenden *ἐλαύνων πρόσσοθεν* (zerdehnt für *πρόσθεν*, *ἔμπροσθεν*), im Grunde ein *ὄπισθεν* hinzuzudenken: hinter sich her den Wagen ziehend, vor sich (mit der Peitsche) die Rosse treibend.

538. *δεύτερα*, substantivische Apposition zu *ἀέθλιον* = *δευτερεῖα*, wie *τὰ πρῶτα* und 751 *λοισθήια*.

540. *ἵππον* nach 265. — Das folgende *ἐπήνησαν γὰρ Ἀχαιοὶ* ist eig. nur Wiederholung des vorhergehenden *πάντες ἐπήνεον*.

542. *δίκῃ ἠμείψατο*, rechtend, auf dem Wege des Rechtes (*διὰ δίκης ἐλθών*) ihm entgegnet, d. h. sein Verfahren von Seite des Rechtes in Anspruch genommen, eine Verletzung seines Rechtes (vgl. 553 f. mit 514 f. 538) darin nachgewiesen hätte.

545 f. *ὅτι οἱ βλάβεν – ἐών*, vgl. 392–396. — Bei *αὐτός τε* (und auch er selbst) ergänze also *ἐβλάβη*: er wurde beschädigt, verletzt, obgleich sonst ein so trefflicher Mann.

23 αὐτός τ' ἐσθλὸς ἐών. ἀλλ' ὤφελεν ἀθανάτοισιν
εὔχεσθαι· τό κεν οὔ τι πανύστατος ἦλθε διώκων.
εἰ δέ μιν οἰκτείρεις καί τοι φίλος ἔπλετο θυμῷ,
ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολύς, ἔστι δὲ χαλκός
550 καὶ πρόβατ', εἰσὶ δέ τοι δμωαὶ καὶ μώνυχες ἵπποι·
τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
ἀνδρῶν ὅς κ' ἐθέλῃσιν ἐμοὶ χείρεσσι μάχεσθαι."
555 ὣς φάτο, μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεύς
χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος.
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
„Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
560 δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται."
ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
οἰσέμεναι κλισίηθεν· ὁ δ' ᾤχετο καί οἱ ἔνεικεν.
565 [Εὐμήλῳ δ' ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων.]
τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
χερσὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσεν
Ἀργείους. ὁ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς

546 f. ἀλλ' ὤφελεν – εὔχεσθαι, vgl. Einleit. S. 8.

551. ἔπειτα, nachher, später (= μετὰ ταῦτα), im Gegensatz des folgenden αὐτίκα νῦν. — ἀνελών wie ἑλὼν Od. α, 318 καὶ μάλα καλὸν ἑλών.

556. χαίρων Ἀντιλόχῳ, wegen seiner offenen und derben Entschiedenheit.

562. ἀμφιδεδίνηται – ἔσται scheint von hier in Od. θ, 405 übergegangen zu sein; denn hier steht das Verbum eigentlicher als dort: er ist kreisförmig, wie ein Ring darum gezogen, schlingt sich herum.

565. Εὐμήλῳ – χαίρων, vgl. 624. 797. Doch fehlt dieser Vers in einigen der besten Handschriften und beim Paraphr.; dann ist wohl οἱ im vorigen auf Eumelos zu beziehen.

566 f. θυμὸν ἀχεύων, weil er den gehofften Preis nicht erlangen sollte. — κεχολωμένος, wegen der von Antilochos gebrauchten List. — ἄμοτον mit Bezug auf 438 ff.

568. σκῆπτρον, vgl. zu Od. β, 37.

„Ἀντίλοχε πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας. 23
ᾔσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους, 571
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν.
ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ,
μή ποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων 575
‚Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε βίῃ τε.'
εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔ τινά φημι
ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται. 580
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστίν,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχων ῥαδινήν, ᾗ περ τὸ πρόσθεν ἔλαυνες,
ἵππων ἁψάμενος γαιήοχον ἐννοσίγαιον
ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι." 585
τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα
„ανσχεο νῦν· πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι

574. ἐς μέσον ἀμφοτέροισι figürlich: so dass der Spruch die richtige Mitte halte zwischen beiden Parteien, der Richter sich nicht auf die eine oder andere Seite stelle und zu ihren Gunsten (ἐπ' ἀρωγῇ) entscheide; also = ἐξ ἴσου, *ex aequo*. Umgekehrt waren die λαοί σ, 502 ἀμφὶς ἀρωγοί.

576. Ἀντίλοχον ψεύδεσσι κτἑ. Menelaos will selbst keinen Vortheil, der ihm nicht von Rechtswegen gehört; darum anerbietet er dem Antilochos den Eid, statt ihn etwa selbst leisten zu wollen.

577f. ὅτι οἱ – αὐτὸς δέ. Beide Pronomina gehen auf Menelaos, und ἀρετῇ τε βίῃ τε bezeichnet den Inbegriff aller äussern und innern Vorzüge, welche das Urtheil eines die Person ansehenden Richters bestimmen konnten. — Ueber ἀρετή vgl. zu Od. ν, 45 mit σ, 205. 251.

579f. δικάσω Conjunctiv nach ἄγε. — μ' οὔ τινα – ἐπιπλήξειν, d. i. μοι οὔ τινα - ἐπιπλήξειν, wie μ, 211 αἰεὶ μέν πώς μοι ἐπιπλήσσεις; vgl. zu α, 170 οὐδέ σ' ὀίω. — ἰθεῖα, erg. δίκη aus δικάσω.

581. διοτρεφές. Auch dem Gegner wird die gebührende Ehrenbezeichnung nicht versagt, zumal der Sprechende hier ganz leidenschaftlos erscheinen will. — ἣ θέμις ἐστίν, d. h. unter Beobachtung aller durch den Gebrauch geheiligten Formen, wie es recht ist.

584. ἵππων ἁψάμενος, vgl. zu ξ, 272 χειρὶ δὲ τῇ ἑτέρῃ μὲν κτἑ.

585. μὴ μέν nach dem Verbum des Schwures, vgl. zu Od. δ, 254.

587. ἄνσχεο wird erklärt durch 591 τῷ τοι ἐπιτλήτω κραδίη: gieb dich zufrieden, lass es gut sein.

23 σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
οἶσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσιν·
590 κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
τῷ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτός
δώσω, τὴν ἀρόμην. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
μεῖζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην ἢ σοί γε, διοτρεφές, ἤματα πάντα
595 ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός."
ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱός
ἐν χείρεσσι τίθει Μενελάου. τοῖο δὲ θυμός
ἰάνθη ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση
ληίου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
600 ὣς ἄρα σοί, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτός
χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ' ἀεσίφρων

588. πρότερος = προγενέστερος 789f.

589. ὑπερβασίαι in milderm Sinne: Misstritte, Verirrungen (aus Uebereilung).

591f. τῷ – κραδίη, vgl. τ, 220, darum gieb dich zufrieden, ungefähr s. v. a. ἄνσχεο. — Man bemerke, wie Antilochos, nachdem er vorher (544) sein vermeintes Recht so hitzig verfochten, jetzt aus frommer Scheu vor dem Eid (595) seinen Fehler mit liebenswürdiger Offenheit eingesteht (589f.) und den ihm schon zugetheilten Preis freiwillig wieder abtritt (591f.)

592f. εἰ καί νύ κεν – ἐπαιτήσειας, ja wenn du noch etwas Anderes – dazu verlangtest. καὶ ist steigernd = *quin etiam*.

593. ἄφαρ drückt die enge Beziehung zwischen Vorder- und Nachsatz aus. — αὐτίκα gehört zu δοῦναι.

595. ἐκ θυμοῦ πεσέειν, vgl. α, 562 ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι.

598. ὡς εἴ τε περὶ σταχύεσσιν κτἑ. Die Vergleichung ist unvollständig. Zunächst ergänze ein Verbum wie γίγνεται, καταχεῖται, dann aber noch den Ausdruck der Wirkung, καὶ οὕτω τὸ λήιον ἰαίνεται. Nachahmend sagt Apollon. Rhod. 3, 1019 mit künstlicherm Wortspiel ἰαίνετο δὲ φρένας εἴσω τηκομένη, οἷόν τε περὶ ῥοδέῃσιν ἐέρση τήκεται ἠῴοισιν ἰαινομένη φαέεσσιν.

599. ὅτε φρίσσουσιν ἄρουραι, nämlich von den frisch sich erhebenden, sich starr emporrichtenden Aehren. Schol. φρίσσοντας ἔχουσι τοὺς στάχυας. So Virgil Georg. 1, 313f. *quum ruit imbriferum ver, Spicea iam campis quum messis inhorruit.*

602. ὑποείξομαι mit dem Participium nach Analogie von παύομαι: ich will ablassen von meinem Zorne.

603. παρήορος (παραείρω, auch in der Verbindung παραείρω φρέ-

ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη. **23**
δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν. 605
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας,
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεός, εἵνεκ' ἐμεῖο·
τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε 610
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής."
ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρῳ
ἵππον ἄγειν· ὁ δ' ἔπειτα λέβηθ' ἕλε παμφανόωντα.
Μηριόνης δ' ἀνάειρε δύω χρυσοῖο τάλαντα
τέτρατος, ὡς ἔλασεν. πέμπτον δ' ὑπελείπετ' ἄεθλον 615
ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεύς
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς
„τῆ νῦν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτόν
ὄψει ἐν Ἀργείοισι. δίδωμι δέ τοι τόδ' ἄεθλον 620
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ' ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσιν
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει."

νας), sich auf eine fehlerhafte Weise und irrthümlich erhebend, übermüthig, üppig. Aehnlich braucht Theokritos Eid. 15, 8 *πάραρος* (= ion. *πάρηρος*) für verrückt (vielleicht eigentlich ein Narr aus Hochmuth) und Archilochos *παρήορος νόον*, wozu *ἔμπεδος* Iliad. *υ*, 183 den Gegensatz macht. Vgl. auch *γ*, 108 *αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται*.

604. *νόον*, den Verstand und damit auch das unbestochene Rechtsgefühl.

605. *δεύτερον*, ein ander Mal, = *ὕστερον*, künftig.

606. *οὐ - τάχα*, nicht sobald; es hätte einer lange an mir anhalten können.

612. *Νοήμονι*. Wieder ein absichtlich gewählter Name, vgl. zu Od. *β*, 386 *Φρονίοιο Νοήμονα φαίδιμον υἱόν*.

618 f. *τῆ νῦν, - ἔμμεναι*, vgl. Virg. Aen. 3, 486, wo Andromache dem Ascanius ein Abschiedsgeschenk überreicht mit den Worten: *Accipe et haec, manuum tibi quae monumenta mearum Sint, puer, et longum Andromachae testentur amorem* cet.

621 f. *πὺξ — παλαίσεις — θεύσεαι*. Dieselben Kämpfe, nur in etwas anderer Ordnung zählt Nestor 634–637 auf; mit Einer Verschiedenheit Alkinoos bei den Phäaken Od. *θ*, 103 *πύξ τε παλαιμοσύνῃ τε καὶ ἅλμασιν ἠδὲ πόδεσσιν*, vgl. ebend. 246 f. Hier folgt 653 die *πυγμαχίη*, 701 *παλαισμοσύνη*, 740 *δρόμος*, dann aber ganz unangekündigt 802 *ὁπλομαχία*,

23 ὣς εἰπὼν ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων,
625 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδ' ἔτι χεῖρες
ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
630 ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ
Βουπρασίῳ, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα.
ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Ἤνοπος υἱόν,
635 Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,

eben so 826 das Solos- oder Diskoswerfen; endlich wird 886 noch kurz das ἧμα (ἡμοσύνη) erwähnt, was wohl mit der ἀκοντιστύς 622 für identisch zu halten ist.

627. *πόδες, οὐδ' ἔτι χεῖρες.* Statt auch das letzte Nomen dem vorigen einfach als Apposition zu *γυῖα* (*ἔμπεδά ἐστι*) beizufügen, erhält *χεῖρες* ein besonderes Prädicat und wird zum eigenen Satze: *οὐδ' ἔτι – ἐπαΐσσονται ἐλαφραί.*

629. *εἴθ' ὣς – εἴη.* Eine schon η, 157 (vgl. ebend. 132f.) und λ, 670 von Nestor gebrauchte Wendung, womit die ähnliche δ, 318 zusammenzuhalten ist. Auch der folgende Abschnitt scheint aus einer älteren Sammlung von Nestorliedern wenigstens dem Stoffe nach hergenommen zu sein.

630. *Ἀμαρυγκέα.* Ein Sohn von diesem, Diores, kam β, 622 (= δ, 517) als einer der Anführer der Epeier vor.

631. *Βουπρασίῳ*, vgl. β, 615. λ, 756. — *βασιλῆος* hängt von *παῖδες* (= *Ἀμαρυγκεῖδαι*) ab.

633. *αὐτῶν Πυλίων*, zu denen der Sprechende **selbst** gehört; vgl. λ, 671 *Ἠλείοισι καὶ ἡμῖν.* Die Aetoler waren stammverwandte Nachbarn der Epeier (Elier) jenseits des Meerbusens (von Patras).

635. *Ἀγκαῖον.* Für die Deutung des Namens vgl. 711 *ἀγκὰς δ' ἀλλήλων λαβέτην* (von zwei Ringern). — *ἀνέστη*, auf meine Herausforderung oder den Anruf des Heroldes (der Anordner des Kampfes), vgl. 677. 886.

636f. *Ἴφικλον* = β, 705, vgl. ebendas. zu 695f. — *Φυλῆα*, vgl. β, 628.

638. *Ἀκτορίωνε*, vgl. zu β, 621. Dieselben heissen auch *Μολίονε* oder *Ἀκτορίωνε Μολίονε*, worüber vgl. zu λ, 709 (750). In der Sage von diesen Zwillingsbrüdern (*δίδυμοι* 641, sonst bei Homer *διδυμάονε*) erkennt Welcker ein Volksmährchen der Epeier auf die zwei **Mühlsteine**, daher *Μολίονε* (später auch *Μολιονίδαι*) als Söhne der *Μολιόνη* (Verlängerung von *μύλη*, *mola*, Mühle); aber auch *Ἀκτορίωνε* vom Vater *Ἄκτωρ*, Zerbrecher,

πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης, 23
οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόφι λείπετ' ἄεθλα. 640
οἱ δ' ἄρ' ἔσαν δίδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν.
ὥς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν. 645
ἀλλ' ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέιζε.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος, οὐδέ σε λήθω
τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.
σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν." 650
ὣς φάτο, Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
ᾤχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο.
αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα.

Zermalmer (von ἄγνυμι, woher ἀκτή, μυλήφατος ἀκτή Od. β, 355 das gemahlene Getreide). Sie waren dem Volkswitz das Bild der Unüberwindlichkeit des Zusammenhaltens, und erscheinen daher bei Hesiodos und Spätern als zusammengewachsen (διφυεῖς), mit zwei Köpfen, vier Händen, vier Füssen, aber nur Einem Leib. Bei den Epeiern wurden sie zu Stammvätern der Heerführer und in vielfache Genealogieen verflochten.

639. πλήθει πρόσθε βαλόντες (dies intransitiv, vgl. 462 περὶ τέρμα βαλούσας mit 572), durch ihre Zahl mir zuvorkommend, mich überholend (*praevertentes*), weil sie sich nach 641 f. in das Doppelgeschäft des Wagenlenkers theilen konnten.

640. οὕνεκα – λείπετ' ἄεθλα hängt von ἀγασσάμενοι ab: sie eiferten um den Sieg, weil für sie (als Wagenkämpfer) noch die grössten Preise übrig waren (παρ' αὐτόφι für παρ' αὐτοῖς), eigentlich bei ihnen, im Gegensatze der andern Kämpfer, d. h. der Kämpfer in den andern Kampfarten.

642. ἔμπεδον ἡνιόχευε, vgl. zu υ, 371 f. — κέλευεν, vgl. Od. μ, 175 ἐπεὶ κέλετο μεγάλη ἴς.

643. ὥς ποτ' ἔον vgl. λ, 762 ὣς ἔον, εἴ ποτ' ἔον γε.

646. κτερέιζε, Schol. γέραιρε καὶ δόξαζε, d. h. führe die Spiele zur Feier der Bestattung des Patroklos weiter und zu Ende, vgl. 653. — Zu ἴθι καὶ κτερέιζε vgl. Od. σ, 171 mit Il. ω, 336.

649. τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι. Der Genitiv τιμῆς scheint einerseits an οὐ – λήθω zu hangen, als Genitiv der Beziehung, mehr aber noch sich dem folgenden Relativum ἧς τε assimilirt zu haben: dass du nicht vergissest, welcher Ehre gewürdigt zu sein mir geziemt. Auch bei Spätern wird τιμᾶν mit dem Genitiv des Werthes verbunden.

652. πάντ' αἶνον, die ganze Rede, vgl. 795.

653. πυγμ. ἀλεγεινῆς wie 701 παλαισμοσύνης ἀλεγεινῆς.

23 ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι
655 ἑξέτε' ἀδμήτην, ἥ τ' ἀλγίστη δαμάσασθαι·
τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν.
„Ἀτρείδη τε καὶ ἄλλοι ἐυκνήμιδες Ἀχαιοί,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
660 πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν. ᾧ δέ κ' Ἀπόλλων
δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί,
ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον."
ὣς ἔφατ', ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠύς τε μέγας τε
665 εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός,
ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, φώνησέν τε
„ἆσσον ἴτω ὅς τις δέπας οἴσεται ἀμφικύπελλον·
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν
πυγμῇ νικήσαντ', ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
670 ἦ οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
ἀντικρὺ χρόα τε ῥήξω σύν τ' ὀστέ' ἀράξω.
κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
675 οἵ κέ μιν ἐξοίσουσιν ἐμῆς ὑπὸ χερσὶ δαμέντα."
ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.

655. ἑξέτε' ἀδμήτην κτἑ., vgl. zu 266.

660. πεπληγέμεν, erg. ἀλλήλω (auf einander) loszuschlagen. — Ἀπόλλων war seit seinem Siege über Phorbas auch Vorsteher des Faustkampfes (Schol.).

665. Ἐπειός, wahrscheinlich der Erbauer des hölzernen Rosses, Od. θ, 493.

666. ἅψατο δ' ἡμιόνου. Er ergriff sogleich Besitz von dem ihm unzweifelhaft zukommenden Preise, ohne sich durch die Wildheit des Thieres abschrecken zu lassen.

670. ἦ οὐχ ἅλις = ε, 349. — Zu μάχης ἐπιδεύομαι vgl. ν, 785 f. οὐδέ τί φημι ἀλκῆς δευήσεσθαι. — οὐδ' ἄρα – ἦν = δ, 320 ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν. Mit diesem Satze will der im übrigen etwas rohderbe (vgl. zu 840) Epeios gleichsam die andern Achäer darüber beruhigen, dass sie sich im Faustkampfe nicht mit ihm messen können.

674. κηδεμόνες, vgl. zu 160. — ἐνθάδε – αὖθι, hier auf der Stelle, auf dem Platze, vgl. zu Od. ε, 208.

675. οἵ κέ μιν ἐξοίσουσιν. Relativer Absichtssatz, wie κ, 282 ὅ κε Τρώεσσι μελήσει.

Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φώς,
Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος,
ὅς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο
ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
τὸν μὲν Τυδείδης δουρικλυτὸς ἀμφεπονεῖτο
θαρσύνων ἔπεσιν, μέγα δ' αὐτῷ βούλετο νίκην.
ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
δῶκεν ἱμάντας ἐυτμήτους βοὸς ἀγραύλοιο.
τὼ δὲ ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα,
ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω
σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν.
δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔρρεε δ' ἱδρὼς
πάντοθεν ἐκ μελέων. ἐπὶ δ' ὤρνυτο δῖος Ἐπειός,
κόψε δὲ παπτήναντα παρήιον. οὐδ' ἄρ' ἔτι δὴν
ἑστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθύς

677. *Εὐρύαλος* = β, 565f. vgl. ζ, 20–28.

679f. *ὅς*, d. h. der letztgenannte Mekisteus, Bruder des Adrastos. Dieser kam nach dem Tode des Oedipus nach Theben zum Leichenschmaus und den Leichenspielen (680). — Aus *δεδουπότος Οἰδιπόδαο*, zusammengehalten mit Homer's sonstigem Gebrauch von *δουπῆσαι* (vgl. zu ν, 426), lässt sich schliessen, dass nach der von unserm Dichter befolgten Sage Oedipus entweder in einem Kriege gefallen oder sonst eines gewaltsamen Todes (z. B. durch freiwilliges Herabstürzen von einem Felsen nach Entdeckung seiner Verschuldung) gestorben sein. — *πάντας ἐνίκα Κ.* vgl. δ, 389. ε, 807 von Tydeus.

681. *τὸν μέν*, d. i. *Εὐρύαλον*. Ihm war Diomedes beim Anziehen der Rüstung behülflich (683f.) und wünschte ihm den Sieg, denn als Eidam des Adrastos (vgl. zu ε, 412) war er durch Heirath der Neffe des Mekisteus und Geschwisterkind mit Euryalos.

683. *ζῶμα* (sonst *περίζωμα*) *παρακάββαλεν*, er legte ihm den Gürtel hin, reichte ihm denselben dar, und eben so die Riemen zum Faustkampf (*cestus*, vgl. Virg. Aen. 5, 363–484).

686. *ἀνασχομένω* (= 660) *χερσὶ στ. ἅμ' ἄμφω* vgl. η, 225 *ἐκσπασσαμένω – χερσὶν ἅμ' ἄμφω*.

688. *χρόμαδος γενύων*, das Knirschen der Kinnladen (Zähne) bei der höchsten Anstrengung des Schlagens.

689ff. *ἐπὶ δ' ὤρνυτο – παπτήναντα*. Epeios drang so rasch auf Euryalos ein, dass, während dieser noch spähte und zielte, ihm schon ein Schlag auf die Backe beigebracht war, so dass er kaum noch zu stehen vermochte. — *ἑστήκειν*, erg. *Εὐρύαλος*. — *αὐτοῦ κτέ.*, auf der Stelle entschwanden, entwichen ihm die Glieder.

692. *ὑπὸ φρικὸς Βορέω*, vgl. zu η, 63 *Ζεφύροιο φρίξ*. — *ἀναπάλ-*

28 θίν' ἐν φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν,
ὣς πληγεὶς ἀνέπαλτο. ἀτὰρ μεγάθυμος Ἐπειός
695 χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε·
κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες,
αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
700 Πηλείδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα,
δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς,
τῷ μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην,
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκεν,
705 πολλὰ δ' ἐπίστατο ἔργα, τίον δέ ἑ τεσσαράβοιον.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν.
„ὄρνυσθ' οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον."
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ' Ὀδυσσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς.

λεται, nicht sowohl aufspringt als: momentan sich emporschnellt und eben so schnell wieder heruntersinkt, was durch *μέλαν δέ ἑ κῦμα κάλυψεν* (= Od. ε, 353) bezeichnet wird. So *ἀνέπαλτο*, es schnellte ihn auf (und überschlug ihn).

693. *θίν' ἐν φ.*, am-Ufer, so dass man es vom Lande aus gut beobachten kann.

695. *χερσὶ λαβ. ὤρθωσε*, er fing ihn auf mit den Armen und erhielt ihn aufrecht, hielt ihn vom Falle zurück.

696 f. *οἵ μιν ἄγον κτἑ.* Umständlicher Virg. Aen. 5,468 ff. *Ast illum fidi aequales, genua aegra trahentem Iactantemque utroque caput crassumque cruorem Ore eiectantem mixtosque in sanguine dentes, Ducunt ad naves, galeamque ensemque vocati Accipiunt* cet. — *ἑτέρωσε* wie Θ, 306-308.

698. *ἀλλοφρονέοντα*, d. i. *ἐξιστάμενον τῶν φρενῶν*, bewusstlos. — *μετὰ σφίσιν* gehört zu *ἄγοντες*.

699. *αὐτοί*, sie selbst, im Gegensatz des ohnmächtigen Freundes.

702. *ἐμπυριβήτην*. Eines der wenigen Composita verbalia, die in der Zusammensetzung die zum Verbum gehörende Präposition beibehalten und nach Analogie der sogenannten Tmesis voranstellen, = *ἐν πυρὶ βαίνων, πυρὶ ἐμβαίνων*. So bei Herodotos *ἀποχειροβίωτος* (3, 42 *καίπερ γε ἐὼν ἀποχειροβίωτος*).

703. *ἐνὶ σφίσι*, unter sich, unter einander, nicht im Verhältniss zu Fremden, wie wir sagen unter Brüdern (so und so viel werth).

707. *ὄρνυσθ' οἳ - πειρήσεσθον*, vgl. 753. 831 (*πειρήσεσθε*). Hier werden nämlich nach 702. 704 schon zum Voraus nur zwei Kämpfer erwartet, was an den andern Stellen nicht der Fall ist.

708 f. *Αἴας — Ὀδυσσεύς*, gleich-

ζωσαμένω δ' ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα, **32**
ἀγκὰς δ'. ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν 711
ὡς ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων,
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.
τετρίγει δ' ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν
ἑλκόμενα στερεῶς· κατὰ δὲ νότιος ῥέεν ἱδρώς, 715
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
αἵματι φοινικόεσσαι ἀνέδραμον· οἱ δὲ μάλ' αἰεί
νίκης ἱέσθην τρίποδος πέρι ποιητοῖο.
οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι οὔδει τε πελάσσαι,
οὔτ' Αἴας δύνατο, κρατερὴ δ' ἔχεν ἲς Ὀδυσῆος. 720
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐυκνήμιδας Ἀχαιούς,
δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας
„διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ· τὰ δ' αὖ Διὶ πάντα μελήσει."
ὣς εἰπὼν ἀνάειρε. δόλον δ' οὐ λήθετ' Ὀδυσσεύς· 725

sam zum Vorspiel des spätern und ernstern Kampfes um die Waffen des Achilleus, der Odyss. λ, 543-556 erwähnt wird. Sein Epitheton *κέρδεα εἰδὼς* rechtfertigt Odysseus auch im gegenwärtigen Kampfe. Vgl. zu 720.

712. *ὡς ὅτ' ἀμείβοντες*, erg. *λαμβάνουσιν ἀλλήλων*, d. i. *ἀλλήλοις ἐναρήρασι καὶ ἀντερείδονται.* Die Vergleichung bezieht sich auf die gegenseitige Stellung der Kämpfer, dass sie nämlich mit Brust und Stirne fest an einander gestemmt, ihre Füsse aber von einander gespreizt sind, wie die unter einem spitzigen Winkel (in der Form eines griechischen Λ) gegen einander gestellten, das Dach bildenden und tragenden Sparren.

713. *δώματος – βίας κτέ.* Die beiden Bestimmungen dieses Verses gehören zu den zwei Gliedern des vorigen je in entsprechender Stellung.

714. *τετρίγει*, sie knackten, krachten, von der Gewalt, mit der sie gezogen wurden.

715. *ἑλκόμενα*, vgl. Hesiod. Scut. Herc. 301 f. *οἱ δ' ἐμάχοντο πύξ τε καὶ ἑλκηδόν.*

716 f. *σμώδιγγες – αἵματι – ἀνέδραμον*, vgl. β, 267 *σμῶδιξ δ' αἱματόεσσα – ἐξυπανέστη*; zu *φοινικόεσσαι* κ, 133.

720. *ἲς Ὀδυσῆος.* Nach Od. δ, 342 ff. hatte Odysseus auch den Philomeleides auf Lesbos im Ringen besiegt.

721. *ὅτε δή ῥ' ἀνίαζον – Ἀχαιούς*, d. h. da die Kämpfenden selbst bemerken mussten, dass die Zuschauer anfingen ungeduldig zu werden.

724. *ἤ μ' ἀνάειρε.* Der Nachdruck liegt in diesem Gliede nicht auf dem Pronomen, sondern auf *ἀνάειρε*, welches allen andern Bewegungen und Kunstgriffen entgegengesetzt wird. Der Gegensatz der Personen tritt erst im zweiten Gliede hervor. — *τὰ δ' αὖ*, das Uebrige, d. h. wer wirklich den Andern besiege.

728 κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα,
κὰδ δ' ἔπεσ' ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεύς
κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε θάμβησάν τε.
δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
730 κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονός, οὐδέ τ' ἄειρεν,
ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ.
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ' ἐπάλαιον,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκεν.
735 „μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσιν·
νίκη δ' ἀμφοτέροισιν· ἀέθλια δ' ἶσ' ἀνελόντες
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί."
ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί ῥ' ἀπομορξαμένω κονίην δύσαντο χιτῶνας.
740 Πηλείδης δ' αἶψ' ἄλλα τίθει ταχυτῆτος ἄεθλα,
ἀργύρεον κρητῆρα, τετυγμένον· ἓξ δ' ἄρα μέτρα
χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν

726. *κόψ' ὄπιθεν*, Asyndeton, weil dieser Satz durch den vorigen schon angekündigt und gleichsam nur die Erklärung desselben ist. Sinn: er stiess ihn, als er emporgehoben war, mit der Ferse in die Kniekehle, unterschlug ihm ein Bein (*ἰγνυῶν ὑφαίρεσις*). — *τυχών*, (sie) treffend.

727. *κὰδ δ' ἔπεσ' ἐξ.*, nämlich *Αἴας*, als Wirkung der zwei vorhergehenden Verba. Auf Aias geht daher auch *στήθεσσιν*: Odysseus wurde von ihm mit heruntergezogen.

728. *θάμβησάν τε*, weil der für schwächer gehaltene den Stärkern überwältigt hatte.

730 f. *κίνησεν δ' ἄρα τυτθὸν κτέ.* Er bewegte ihn ein wenig vom Boden, ohne ihn wirklich frei aufzuheben, und ehe Aias wieder fest auf dem Boden stand, wusste er ihm durch einen Stoss mit dem Beine von vorn das Knie zu biegen und ihn dann mit sich auf die Seite niederzuwerfen; denn jetzt fiel Odysseus wohl mit Fleiss.

732. *πλησίοι ἀλλήλοισι*, also neben, nicht auf einander.

735. *ἐρείδεσθον* erklärt sich aus dem zu 712 beschriebenen Hergang, gleichsam: strebet nicht mehr gegen einander an.

736. *ἀέθλια ἶσα* (vgl. 823) können nach dem Zusammenhange, da der Sieg beiden zugesprochen ist, nichts anderes als gleiche Preise sein. Wahrscheinlich verdoppelte Achilleus die ausgesetzten Preise und gab jedem beide (vgl. zu 259–261). Beide Kämpfer waren einer solchen Auszeichnung würdig.

740. *ταχυτῆτος ἄεθλα*, d. h. im Schnelllauf, vgl. Virg Aen. 5, 286–361.

742. *ἐνίκα πᾶσαν ἐπ' αἶαν* vgl. ω, 535 *πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο.*

πολλόν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν, 2[illegible]
Φοίνικες δ᾽ ἄγον ἄνδρες ἐπ᾽ ἠεροειδέα πόντον,
στῆσαν δ᾽ ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν· 74
υἷος δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκεν
Πατρόκλῳ ἥρωι Ἰησονίδης Εὔνηος.
καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
ὅς τις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο·
δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ, 75
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήι᾽ ἔθηκεν.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν.
„ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.“
ὣς ἔφατ᾽, ὤρνυτο δ᾽ αὐτίκ᾽ Ὀιλῆος ταχὺς Αἴας,
ἂν δ᾽ Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱός 75
Ἀντίλοχος· ὁ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα.
[στὰν δὲ μεταστοιχί· σήμηνε δὲ τέρματ᾽ Ἀχιλλεύς.]
τοῖσι δ᾽ ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ᾽ ἔπειτα
ἔκφερ᾽ Ὀιλιάδης, ἐπὶ δ᾽ ὤρνυτο δῖος Ὀδυσσεύς
ἄγχι μάλ᾽, ὡς ὅτε τίς τε γυναικὸς ἐυζώνοιο 76

743. *Σιδόνες.* Eine ganz eigenthümliche Form, sonst immer *Σιδόνιοι* (mit langem *ι*), wie auch die Stadt *Σιδών, ῶνος.* Die Benennung *Σιδόνες* scheint mehr mit Beziehung auf feinere Kunstfertigkeiten, *Φοίνικες* mit Rücksicht auf Schifffahrt gebraucht zu werden.

745. *στῆσαν*, erg. *νέας*, wie Od. *δ*, 582 (vgl. *ξ*, 258) *στῆσα νέας.* Sie landeten in verschiedenen Häfen, unter andern auch auf Lemnos, und da machten sie dem Thoas (vgl. *ξ*, 230) ein Geschenk mit dem Krater.

746f. *υἷος – Εὔνηος*, vgl. *φ*, 34–41. Patroklos hatte, wie es scheint, aus Auftrag des Achilleus die Veräusserung des Lykaon besorgt. — *Ἰησονίδης Εὔνηος* = *η*, 468.

748f. *ἀέθλιον οὗ ἑτάροιο*, zum Preis in dem Kampfe, der zu Ehren des Freundes (Patroklos) aufgeführt wurde. — *ὅς τις – πέλοιτο*, d. i. *τούτῳ ὃς πέλοιτο.*

756. *αὖτε* (vgl. zu *α*, 404), hinwieder, wie nämlich die beiden Erstgenannten die Männer an Schnelligkeit übertrafen.

757. *στὰν – Ἀχιλλεύς.* Dieser Vers (= 358 beim Wagenkampf) wird mit Recht schon von den Alten verworfen.

758. *ἀπὸ νύσσης*, hier wie Od. *θ*, 121; zu *τέτατο δρόμος κτέ.* vgl. oben 375. Sie fingen, in Einer Linie stehend, alle gleichzeitig zu laufen an, aber bald gewann Aias einen Vorsprung (*ἔκφερε* = 376f.); erst als sie dem Ende der Bahn nahten, erlangte Odysseus durch den Beistand der Athene den Vortheil über ihn (768–778).

760f. *ὡς ὅτε τίς τε – στήθεός ἐστι κανών*, d. i. *στήθεος ἄγχι ἐστί*, wie etwa die Spule nahe an der Brust der Weberin ist. — *τὶς* macht

23 αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος
θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα καὶ τρυφάλειαν,
800 τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν.
„ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.
805 ὁππότερός κε φθῆσιν ὀρεξάμενος χρόα καλόν,
ψαύσῃ δ' ἐνδίνων διά τ' ἔντεα καὶ μέλαν αἷμα,
τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον
καλὸν Θρηίκιον, τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ' ἀμφότεροι ξυνήια ταῦτα φερέσθων."
810 [καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομεν ἐν κλισίῃσιν.]
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ' ἄρα Τυδείδης ὦρτο κρατερὸς Διομήδης.
οἱ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι,
815 δεινὸν δερκομένω· θάμβος δ' ἔχε πάντας Ἀχαιούς.
ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τρὶς μὲν ἐπήιξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν.

798f. *κατὰ μὲν — κατὰ δέ* vgl. 884 f. 886–888. Eine besonders dem Herodotos sehr geläufige Wendung.

800. *τεύχεα Σαρπήδοντος κτέ.*, vgl. *π*, 663–665.

802f. *ἄνδρε δύω – κελεύομεν* hängt mit dem Infinitiv *πειρηθῆναι* zusammen. — *προπάροιθεν ὁμίλου*, vor dieser Versammlung.

805. *φθῆσιν ὀρεξάμενος χρόα κ.* wie *π*, 314 *ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος*; der Accusativ zur Bezeichnung des wirklich erreichten Zieles.

806. *ἐνδίνων*, Schol. *τῶν ἔνδον τοῦ χρωτός*, der inneren Theile. Die folgenden Worte *διά τ' ἔντεα – αἷμα* erscheinen hier weniger passend und sind jedenfalls weniger eigentlich zu nehmen als *κ*, 298 *ἂμ φόνον, ἂν νέκυας διά τ' ἔ. κτέ.*; durch die Waffen hindurch und bis auf's Blut (so dass Blut fliesst).

808. *τὸ – ἀπηύρων* vgl. 560 mit *φ*, 183.

809. *τεύχεα — ταῦτα*, d. i. *Σαρπήδοντος* nach 800. — Der folgende Vers *καί σφιν – ἐν κλισίῃσιν* kommt ganz unerwartet in diesem Zusammenhange und lässt sich aus dem Gebrauche des heroischen Zeitalters nicht vertheidigen.

813–815. vgl. *γ*, 340–342. *ἑκάτερθεν ὁμίλου* hier etwas anders als *γ*, 340, denn hier ist nur Ein *ὅμιλος* (804).

817. *τρὶς μὲν – τρὶς δὲ – ὡρμήθησαν*. Der Fortschritt des zweiten Gliedes liegt in *σχεδόν*;

ἔνθ᾽ Αἴας μὲν ἔπειτα κατ᾽ ἀσπίδα πάντοσ᾽ ἐίσην
νύξ᾽, οὐδὲ χρό᾽ ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ·
Τυδείδης δ᾽ ἄρ᾽ ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο 820
αἰὲν ἐπ᾽ αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
καὶ τότε δή ῥ᾽ Αἴαντι περιδδείσαντες Ἀχαιοί
παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ᾽ ἀνελέσθαι.
αὐτὰρ Τυδείδῃ δῶκεν μέγα φάσγανον ἥρως
σὺν κολεῷ τε φέρων καὶ ἐυτμήτῳ τελαμῶνι. 825

αὐτὰρ Πηλείδης θῆκεν σόλον αὐτοχόωνον,
ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος·
ἀλλ᾽ ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
τὸν δ᾽ ἄγετ᾽ ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσιν.
στῆ δ᾽ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν. 830
„ὄρνυσθ᾽ οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτούς
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
ποιμὴν οὐδ᾽ ἀροτὴρ εἶσ᾽ ἐς πόλιν, ἀλλὰ παρέξει.“ 835

sie kamen einander wirklich nahe (auf den Leib).

818–820. ἔνθ᾽ – ἔπειτα – ἔπειτα. Nicht eine Folge neuer Handlungen, sondern nur eine Ausmalung der vorhergehenden, durch ἐπήιξαν und ὡρμήθησαν bezeichneten; also: da, dabei – denn.

821. αἰὲν ἐπ᾽ αὐχένι κῦρε, er zielte immer auf den Hals und war also auch mit der Spitze seiner Lanze immer in der Gegend des Halses (ihm – auf dem Halse).

823. ἀέθλια ἶσ᾽ ἀνελέσθαι (vgl. 736) scheint dasselbe, was Achilleus 809 schon angeordnet hatte, ξυνήια φέρεσθαι. Desto begreiflicher, dass die Schaar der Zuschauer in ihrer besorgten Theilnahme für Aias durch ein Einschreiten in diesem Sinne dem Kampfe ein Ende zu machen sucht, so wie hinwieder, dass Achilleus dem Diomedes einen gewissen Ersatz dafür geben will, dass ihm nicht nur der Preis, sondern auch der Sieg vorweg genommen war. Dem Aias war es schon bei dem Ringkampf mit Odysseus 735 ff. etwas zu gut gegangen.

826. αὐτοχόωνος (vgl. σ, 470 ἐν χοάνοισιν), selbst gegossen, unmittelbar gegossen, oder vielmehr geschmolzen, gerade wie sie aus der Werkstätte des Schmelzers kommt.

827 f. Ἠετίωνος κτέ., vgl. zu α, 366 und ζ, 414 ff.

832 ff. εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι, erg. εἰσί. Der nicht ganz logischgenau ausgedrückte Gedanke scheint: Wenn der Gewinner (οἱ, dem, der diese Kugel als Preis erhält) auch sehr fern (von der Stadt) Ländereien, seine Aecker hat (so dass er nicht leicht aus der Stadt etwas von seinen Bedürfnissen kommen lassen kann): so wird er wohl fünf umrollende Jahre (vgl.

28 ὣς ἔφατ', ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
ἂν δ' Αἴας Τελαμωνιάδης καὶ δῖος Ἐπειός.
ἑξείης δ' ἵσταντο, σόλον δ' ἕλε δῖος Ἐπειός,
840 ἧκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί.
δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς ὄζος Ἄρηος,
τὸ τρίτον αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας
[χειρὸς ἄπο στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων.]
ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης,
845 ὅσσον τίς τ' ἔρριψε καλαύροπα βουκόλος ἀνήρ·
ἡ δέ θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας·
τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δ' ἐβόησαν.
ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
νῆας ἔπι γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
850 αὐτὰρ ὁ τοξευτῆσι τίθει ἰόεντα σίδηρον,
κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας δέκα δ' ἡμιπέλεκκα,
ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρῴροιο
τηλοῦ ἐπὶ ψαμάθοις, ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῇ μηρίνθῳ δῆσεν ποδός, ἧς ἄρ' ἀνώγει

zu Od. λ, 248) für seinen Gebrauch genug daran haben; nie wird sein Hirt oder Pflüger aus Mangel an Eisen zum Schmied in die Stadt gehen müssen, sondern er (der Gewinner) wird ihnen (davon Eisen) geben können, um jedes Bedürfniss von Geräthschaften daraus zu bestreiten.

836f. *Πολυποίτης – Λεοντῆος*, vgl. zu β, 740.

840. *γέλασαν δ' ἐπί*, wahrscheinlich weil es etwas ungeschickt heraus kam. Vielleicht war Epeios vgl. zu 670 *ἦ οὐχ ἅλις ὅττι μάχης ἐπιδεύομαι*) schwerfällig und linkisch.

843. *χειρὸς – πάντων* passt schon wegen *πάντων* nicht, und eben so wenig in Vergleichung mit 847 *παντὸς ἀγῶνος*; er scheint aus Od. ϑ, 192 entstanden zu sein.

844. *ἀλλ' ὅτε δὴ σόλον εἷλε.* Der Nachsatz ist 847 *π. ἀ. ὑπέρβαλε*, und der Nebensatz *ὅσσον τίς τ' ἔρριψε* bezeichnet die Distanz zwischen diesem Wurf und allen übrigen; vgl. zu γ, 23 *ὥς τε λέων ἐχάρη*.

845. *καλαῦροψ*, *fustis laqueo instructus* (nach Hoffmann von *κάλος*, ὁ, = *κάλως*, und dem wahrscheinlich digammirten *ῥέπω*, woher *ῥόπαλον*, also = *καλάβροψ*), ein Stab mit einer Schlinge.

850. *ἰόεντα* = *ἰοειδέα*, dunkel; oben 261 hiess es *πολιόντε σίδηρον*. Der ausgesetzte Preis wird zuerst nur unbestimmt durch *σίδηρον* bezeichnet, dann genauer durch *πελέκεας* (*σιδηρέους*), *ἡμιπέλεκκα* (*σιδήρεα*). Diese Aexte aber sollten dem Gewinner wohl zu einem Gebrauche dienen ähnlich dem Od. τ, 573–575 beschriebenen.

853f. *ἐκ δέ*, daran, eig. davon

τοξεύειν. „ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν, 23
πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω· 856
ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτών, —
ἥσσων γὰρ δὴ κεῖνος — ὁ δ' οἴσεται ἡμιπέλεκκα."
ὣς ἔφατ', ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
ἂν δ' ἄρα Μηριόνης θεράπων ἐὺς Ἰδομενῆος. 860
κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες,
Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν. αὐτίκα δ' ἰόν
ἧκεν ἐπικρατέως, οὐδ' ἠπείλησεν ἄνακτι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὄρνιθος μὲν ἅμαρτε· μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων· 865
αὐτὰρ ὁ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ' ὄρνις·
ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀιστός.
ἡ μὲν ἔπειτ' ἤιξε πρὸς οὐρανόν, ἡ δὲ παρείθη
μήρινθος ποτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρός 870
τόξον· ἀτὰρ δὴ ὀιστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν.
αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὕψι δ' ὑπὸ νεφέων εἶδε τρήρωνα πέλειαν·

ab, davon herabhängend. Zu *λεπτῇ μηρίνθῳ* vgl. Od. *κ*, 23 *μέρμιθι φαεινῇ*.

855. *ὅς μέν κε βάλῃ*. Aus dem von *ἀνώγει* abhängigen *τοξεύειν* wird plötzlich in die directe Rede übergegangen (vgl. zu *δ*, 303) und zwar an dieser einzigen Stelle so, dass die directe Rede mitten im Verse beginnt.

857. *ὅς δέ κε – ἁμαρτών*. Die Anordnung des Achilleus hat sich in der Sage nach dem Erfolge, vgl. 866f., 883, gestaltet. Den Vogel zu treffen ist schwieriger, weil er, nur an Einem Fusse angebunden, umherflattert.

858. *ἥσσων γὰρ δὴ κεῖνος*, denn der ist doch gewiss, doch wohl geringer.

863. *οὐδ' ἠπείλησεν – ἀλλ' οὐκ εὔξατο*, vgl. *δ*, 101f. — *ἄνακτι*, d. i. *Ἀπόλλωνι* nach 865. 872.

865. *μέγηρε*, er versagte, missgönnte es ihm; vgl. *ν*, 563 *βιότοιο μεγήρας*.

868f. *παρείθη – ποτὶ γαῖαν*, er ging los und sank gegen die Erde, in der Richtung nach derselben.

870. *ἐξείρυσε χειρός*, er zog ihn hastig aus der Hand des Teukros (denn sie bedienten sich desselben Bogens).

871. *ἔχεν πάλαι, ὡς ἴθυνεν*, er hielt den Pfeil schon lange, als, während jener (Teukros) noch zielte: zur Bezeichnung der Ungeduld des Meriones. Voss vermuthet *ἰθύνοι*, um ihn zu richten, zu zielen. Vgl. Od. *ε*, 255 *ὄφρ' ἰθύνοι*.

23 τῇ ῥ' ὅ γε δινεύουσαν ὑπὸ πτέρυγος βάλε μέσσην,
876 ἀντικρὺ δὲ διῆλθε βέλος. τὸ μὲν ἂψ ἐπὶ γαίῃ
πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
ἱστῷ ἐφεζομένη νηὸς κυανοπρῴροιο
αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν,
880 ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε θάμβησάν τε.
ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρεν,
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.
αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
885 κὰδ δὲ λέβητ' ἄπυρον, βοὸς ἄξιον, ἀνθεμόεντα
θῆκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἥμονες ἄνδρες ἀνέσταν,
ἂν μὲν ἄρ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μεριόνης θεράπων ἐὺς Ἰδομενῆος.
τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς
890 „Ἀτρείδη· ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων
ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωι πόρωμεν,
εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε."
895 ὣς ἔφατ', οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅ γ' ἥρως
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

875. τῇ (ὑπὸ νεφέων) verbinde mit δινεύουσαν.

877. πρόσθεν Μηριόναο ποδός, weil er in eine senkrechte Höhe hinaufgeschossen hatte.

878ff. ἱστῷ ἐφεζομένη, aus Schwäche und im Gefühl des nahen Todes. Daher 880 ἀπ' αὐτοῦ, τοῦ ἱστοῦ, κάππεσε. — Zu ὠκὺς - πτάτο vgl. Od. β, 257 λῦσεν δ' ἀγορὴν αἰψηρήν.

885. λέβητ' - ἀνθεμόεντα, vgl. Od. γ, 440. Schol. ποικίλον ἀπὸ τῶν ἐντετορευμένων ἀνθῶν, ἃ καὶ ἄνθεμα (Sing. ἄνθεμον) καλοῦσιν.

886. ἥμονες, ἀκοντισταί. Vgl. zu 621f. und 891 ἥμασιν. ρ, 515 ἧσω γὰρ καὶ ἐγώ.

892. ἀλλὰ σὺ μέν, Folge des in ἴδμεν γὰρ κτἑ. enthaltenen Grundes. — τόδ' ἄεθλον, d. i. λέβητ' ἄπυρον, im Gegensatz von δόρυ (= δολιχόσκ. ἔγχος 884).

896. ὅ γ' ἥρως, d. i. Ἀγαμέμνων. Er überlässt den Preis seinem Herold.

Ω.

λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι **24**
ἐσκίδναντ' ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
κλαῖε φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
ᾕρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα 5
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠύ
ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ καὶ πάθεν ἄλγεα,
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων· —
τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν,
ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε 10
ὕπτιος, ἄλλοτε δὲ πρηνής· τοτὲ δ' ὀρθὸς ἀναστὰς
δινεύεσκ' ἀλύων παρὰ θῖν' ἁλός. οὐδέ μιν ἠὼς
φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠιόνας τε,

Auch die Haupterzählung dieses Buches scheint ursprünglich ein abgesondertes Stück gewesen oder zum Uebrigen als Schluss hinzugedichtet zu sein. Sie hat ihre eigenthümliche Färbung; einzelne Stellen indess, wie 525–533, 602–617, mögen aus älteren Liedern herübergenommen sein. Durch die Eingangsverse 1–21 ist die ganze Erzählung in chronologischen Zusammenhang mit dem vorhergehenden Buche gebracht.

1 f. *λῦτο δ' ἀγών*, auflöste sich nun die Versammlung. Gegensatz von ψ, 258 *ἵζανεν εὐρὺν ἀγῶνα* (*Ἀχιλλεύς*). So scheint *λῦτο* Imperfectum = *ἐλύετο* zu sein und das allmälige Auseinandergehen der versammelten Zuschauer zu bezeichnen. — *λαοὶ δὲ – ἰέναι*, ähnlich wie ψ, 3, aber jetzt um zwei Tage später.

2 f. *δόρποιο – ὕπνου*. Die Leichenspiele hatten also bis am Abend gedauert. Der Genitiv *ὕπνου* hängt auch von *μέδοντο* ab; der Infin. *ταρπήμεναι* ist durch homerische Abundanz des Ausdrucks beigefügt.

3 f. *αὐτὰρ Ἀχιλλεὺς κλαῖε*. So wie Achilleus wieder allein war, gewann auch die frühere Stimmung die Oberhand über ihn, vgl. ψ, 59 f. 108–110. Während der Spiele jedoch hatte er in verschiedenen Momenten eine ruhige, sogar heitere Stimmung gezeigt (ψ, 492 ff. 555 ff.).

6. *ἀνδροτῆτα*, vgl. zu π, 857.

7. *ὁπόσα τολύπευσε*, vgl. Od. μ, 396 *ὀπταλέα τε καὶ ὠμά*.

8. *ἀνδρῶν – πείρων* = Od. ϑ, 183. ν, 91. 264.

9. *τῶν μιμνησκόμενος*. Wiederaufnahme von 4 *φίλου ἑτάρου μεμνημένος κτέ*. So sind auch die Worte 10 f. *ἄλλοτ' ἐπὶ – – πρηνής* nur eine Umschreibung von 5 *ἐστρέφετ' ἔνθα καὶ ἔνθα*.

12 f. *οὐδέ μιν ἠὼς – – λήθεσκεν*, vgl. zu Od. χ, 197 *οὐδὲ σέ γ' ἠριγένεια – λήσει κτέ.* Aus der Schilderung des einzelnen Falles (des Benehmens von Achilleus in der Nacht nach den Leichenspielen) wird in die allgemeine Beschreibung seiner Trauer um Patroklos und seines Benehmens nach

14 ἀλλ' ὅ γ' ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
15 Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν,
τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
αὖτις ἐνὶ κλισίῃ πανέσκετο, τὸν δὲ ἔασκεν
ἐν κόνι ἐκτανύσας προπρηνέα. τοῖο δ' Ἀπόλλων
πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων
20 καὶ τεθνηότα περ· περὶ δ' αἰγίδι πάντα κάλυπτεν
χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέψαι δ' ὀτρύνεσκον ἐύσκοπον ἀργειφόντην.
25 ἔνθ' ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρῃ
οὐδὲ Ποσειδάων' οὐδὲ γλαυκώπιδι κούρῃ,
ἀλλ' ἔχον ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρή
καὶ Πρίαμος καὶ λαός, Ἀλεξάνδρου ἕνεκ' ἄτης,
ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσσαυλον ἵκοντο,

dem Tode des Hektor übergegangen, daher die Iterativform λήθεσκεν und die Wendung ἐπεὶ ζεύξειεν.

14f. ἐπεὶ ζεύξειεν – δησάσκετο, d. h. jedes Mal, täglich am frühen Morgen (417) spannte er an und band. Zur Wendung vgl. Herodot. 8, 52 ἐπολιόρκεον τρόπον τοιόνδε· ὅκως στυπεῖον περὶ τοὺς οἰστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. Die Partikel δ' im Nachsatz scheint eher δή als δέ.

16f. τρὶς ἐρύσας, vgl. ψ, 13 τρὶς περὶ νεκρὸν – ἤλασαν ἵππους. Was dort Einmal um den Leichnam herum geschah, geschieht hier täglich (bis zu dem 31 angegebenen Termin) um das Grabmal. — πανέσκετο = ἀναπανέσκετο.

18f. ἐν κόνι – προπρηνέα, nach ψ, 25f. πρηνέα – τανύσσας ἐν κονίῃς. — τοῖο hängt von ἄπεχε ab; χροΐ ist örtlicher Dativ: am Leibe, wie ψ, 191 ἴνεσιν ἠδὲ μέλεσσιν. Uebrigens wird hier 18–21 dem Apollon allein (und zwar vermittelst der αἰγίς, die eig. dem Zeus gehört, vgl. zu ε, 738) zugeschrieben, was ψ, 185–191 die gemeinschaftliche Fürsorge der Aphrodite und des Apollon bewirkt.

22. ἀείκιζεν, er misshandelte ihn auf die 15f. beschriebene Weise, ohne jedoch seinem Leichname eine wirkliche Verunstaltung, Entstellung (ἀεικείην 19) beizubringen (vgl. 417f. ἕλκει ἀκηδέστως – οὐδέ μιν αἰσχύνει).

24. κλέψαι, heimlich hinweg und in Sicherheit zu bringen.

25. οὐδέ ποτε = ἀλλ' οὔ ποτε, ἀλλ' οὔ πως ἑήνδανε.

27f. ἔχον intr., sie hielten, hielten fest, beharrten (in ihrem Sinne) = ν, 679 ἔχεν ᾗ τὰ πρῶτα – ἐσᾶλτο. — Ἀλεξάνδρου – ἄτης = ζ, 356.

29. ὃς νείκεσσε θεάς, näml. gerade die beiden 25f. genannten, Here und Athene. Der Begriff von νεικέω ist aus dem Gegensatz ᾔνησε herzuleiten: nicht loben (wegen

τὴν δ᾽ ἤνησ᾽ ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν. 24

ἀλλ᾽ ὅτε δή ῥ᾽ ἐκ τοῖο δυωδεκάτη γένετ᾽ ἠώς, 31

καὶ τότ᾽ ἄρ᾽ ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων

„σχέτλιοί ἐστε, θεοί, δηλήμονες. οὔ νύ ποθ᾽ ὕμιν

Ἕκτωρ μηρί᾽ ἔκηε βοῶν αἰγῶν τε τελείων;

τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι, 35

ᾗ τ᾽ ἀλόχῳ ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ

καὶ πατέρι Πριάμῳ λαοῖσί τε, τοί κέ μιν ὦκα

ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν.

ἀλλ᾽ ὀλοῷ Ἀχιλῆι, θεοί, βούλεσθ᾽ ἐπαρήγειν,

ᾧ οὔτ᾽ ἂρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα 40

γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ᾽ ὣς ἄγρια οἶδεν,

der Schönheit) = tadeln, schelten und dadurch kränken. Vgl. Virg. Aen. 1, 26 *manet alta mente* (*Iunonis*) *repostum Iudicium Paridis spretaeque iniuria formae.* Uebrigens wird diese ohne Zweifel spätere Sage vom s. g. Urtheil des Paris sonst von Homer nirgends erwähnt, obgleich es an Gelegenheit dazu nicht fehlte, vgl. ε, 63 *νῆας ἐίσας ἀρχεκάκους.* — *μέσσαυλον*, Schol. *τὴν ἐν ὄρει οἴκησιν.* Man hat sich den Paris als Hirten bei der Heerde zu denken.

30. *ἥ οἱ πόρε*, als von ferne gezeigte Belohnung. — *μαχλοσύνην* (ein sonst erst bei Hesiodos vorkommender Ausdruck): üppigen Liebesgenuss, Buhlschaft (mit Helena).

31. *ἀλλ᾽ ὅτε δή ῥ᾽ – ἠώς*, vgl. zu α, 493. Bei *ἐκ τοῖο* ist an den Tod des Hektor oder den nächst darauf folgenden Morgen (ψ, 109) zu denken, der durch die Schilderung 12 – 21 wieder ganz in die Nähe gerückt, ja dem Leser und Hörer mehr vergegenwärtigt ist, als der Abend nach den Leichenspielen 3. 4. Damit stimmen auch die Zeitbestimmungen 107 und 413 f. zusammen.

32. *Ἀπόλλων* kann sich nach seinem nähern Verhältnisse zu Hektor am wenigsten zufrieden geben. Die von ihm den andern Göttern gemachten Vorwürfe sind von allen verdient, weil sich alle durch den Hass und die Leidenschaft der 25 f. genannten bestimmen liessen.

33 f. *οὔ νύ ποθ᾽ ὕμιν κτέ.*, vgl. Od. α, 60 f. *οὔ νύ τ᾽ Ὀδυσσεὺς – χαρίζετο ἱερὰ ῥέζων;*

35. *νῦν οὐκ ἔτλητε*, bei der Verwerfung des 24 gemachten Vorschlages.

36. *ᾗ ἀλόχῳ ἰδέειν*, zu schauen für seine Gattin, vgl. zu Od. γ, 204 *οἴσουσι κλέος εὐρὺ καὶ ἐσσομένοισι πυθέσθαι.*

38. *καὶ ἐπὶ – κτερίσαιεν.* Wie hier von *καίειν ἐν πυρί*, so wird *κτερεΐζειν* Od. γ, 285 auch von *θάπτειν* ausdrücklich unterschieden.

39. *ἐπαρήγειν* schliesst auch den Begriff parteiischer Begünstigung in sich, vgl. ψ, 574 *ἐς μέσον – μηδ᾽ ἐπ᾽ ἀρωγῇ*, ebend. 783 *παρίσταται ἠδ᾽ ἐπαρήγει.*

40 f. *φρένες ἐναίσιμοι*, ein billiger Sinn, zeigt sich namentlich auch in dem *νόημα γναμπτόν.* Vgl. ο, 203 *στρεπταὶ μέν τε φρένες ἐσθλῶν* und ι, 496 – 501; zu *ἄγρια οἶδεν* β, 213 *ἔπεα – ἀκο-*

24 ὅς τ' ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ
εἴξας εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν·
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδώς.
45 [γίγνεται, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.]
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
50 αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει. οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ' ἄμεινον·
μὴ ἀγαθῷ περ ἐόντι νεμεσσηθέωμέν οἱ ἡμεῖς·
κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων."

σμά τε πολλά τε ἤδη.

42f. *ἐπεὶ ἂρ – εἶσ' ἐπὶ μῆλα.* Ein Anakoluthon, indem kein Verbum zu *ὅς τε*, also auch kein Nachsatz zu *ἐπεὶ – εἶσι* folgt. Eigentlich war aber ein Verbum zu *ὅς τε* zu erwarten, das, entsprechend dem Vers 44, den Heisshunger und die unwiderstehliche Gewalt des Löwen bezeichnete; vgl. zu *θ*, 230; zu *βίῃ καὶ θυμῷ εἴξαι ι*, 598 *εἴξας ᾧ θυμῷ*. — *δαῖτα* hier ausnahmsweise — doch nur in einem Gleichniss — vom reichlichen Frasse des Wildes, sonst nur vom Schmause der Menschen.

45. *γίγνεται – ὀνίνησιν.* Ein ohne Zweifel aus Hesiodos *ἔργ. κ. ἡμέρ.* 318 mit kleiner Aenderung hierher versetzter Vers, der im Sinne des Hesiodos nicht nur überflüssig, sondern auch unpassend wäre, da hier nur von Einer Art der Scheu die Rede sein kann, und zwar gerade von der rechtzeitigen und heilsamen, während bei Hesiodos gemäss der Wortstellung der Begriff der unzeitigen und übel angebrachten vorherrscht (*αἰδὼς ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν*). In unserm Zusammenhange müsste er heissen: die Scheu schade und nütze den Männern, je nachdem sie von ihnen verletzt, missachtet oder beobachtet werde.

46. *ὀλέσσαι*, *amittere*, (durch den Tod) verlieren, wie 242.

48. *μεθέηκεν*, eben jener *τὶς*, der einen geliebten Verwandten verloren und um ihn geweint und geklagt hat: er lässt nach (mit der Trauer), hört auf.

49. *τλητὸν θυμόν*, Paraphrast. *ὑπομονητικὴν ψυχήν*. *τλητόν* activ: duldsam, zum Dulden geschickt und daher sich in Alles fügend; vgl. Od. *σ*, 130 – 137.

50. *αὐτὰρ ὅ γ' Ἕκτορα κτἑ.*, d. h. er kann gar nicht aufhören, seinen Schmerz über Patroklos und seine Rache für ihn an Hektor auszulassen, den er doch schon des Lebens beraubt hat.

52. *οὐ μήν οἱ – ἄμεινον* erg. *ἐστι* oder *ἔσται*, näml. als davon abzulassen, es nicht zu thun.

53. *μὴ – νεμεσσηθέωμέν οἱ ἡμεῖς*, dass nicht wir (Götter) ihm – zürnen, näml. er sehe zu, hüte sich wohl, vgl. zu *α*, 26.

54. *κωφὴν – μενεαίνων*, vgl. 51f.: die stumme Erde, den stummen, gefühllosen Erdboden miss-

τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη 24
„εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, ἀργυρότοξε, 56
εἰ δὴ ὁμὴν Ἀχιλῆι καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε, γυναῖκά τε θήσατο μαζόν·
αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτή
θρέψα τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν, 60
Πηλέι, ὃς περὶ κῆρι φίλος γένετ' ἀθανάτοισιν.
πάντες δ' ἀντιάασθε, θεοί, γάμου· ἐν δὲ σὺ τοῖσιν
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς
„Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν· 65
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται. ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίῳ εἰσίν·
ὣς γὰρ ἔμοιγ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων.
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐίσης,
λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς. 70
ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν — οὐδέ πῃ ἔστιν
λάθρῃ Ἀχιλλῆος — θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεί
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ.

handelt, entweiht er in seinem Grimme: was nothwendig den Unwillen der Götter erregen muss.

56. *εἴη κεν* – *τεὸν ἔπος*, auch das mag wieder eine Rede von dir sein, auch dieses Wort sieht dir recht gleich, da hast du wieder einmal deiner würdig gesprochen. Schol. *πρέπον σεαυτῷ εἴρηκας, εἴη ἂν καὶ τοῦτο τὸ ἔπος τῶν σῶν φλυαρημάτων*. Der folgende Satz 57 *εἰ δὴ* – *θήσετε τιμήν* giebt den Sinn und Inhalt dieser Rede an. *θήσετε*, der Plural, sofern die andern Götter (wie nach ihrem Schweigen zu besorgen ist) der Eingebung des Apollon folgen.

58. *γυναῖκα θήσατο μαζόν*, das gewöhnliche *σχῆμα καθ' ὅλον καὶ μέρος*.

60. *ἀνδρὶ πόρον παράκοιτιν*, und zwar wider ihren Willen nach *σ*, 432 ff. Die weitere Ausführung dieser Sage giebt Apollon. Rhod. 4, 790 - 809.

62. *ἀντιάασθε* nur hier im Medium.

63. *κακῶν*, namentlich auch des Alexandros (Paris). — *αἰὲν ἄπιστε*. Wahrscheinlich hatte Apollon der Hera auch einmal versprochen, den Achäern beizustehen: vgl. *β*, 31 f.

65. *ἀποσκύδμαινε* (592), vgl. zu *β*, 772 *ἀπομηνίσας*.

66. *οὐ μὲν γὰρ* - *ἔσσεται*, Antwort auf 57. *τιμὴ μία* = *ὁμὴ τιμή* (*Ἀχιλῆι καὶ Ἕκτορι*).

68. *ὣς γὰρ ἔμοιγε*, erg. *φίλτατος ἔσκε βροτῶν κτέ*.

69 f. *οὐ γάρ μοί ποτε* - *ἡμεῖς* = *δ*, 48 f.

71. *ἐάσομεν*, *mittamus*, *omittamus*, lassen wir das.

72. *ἦ γάρ οἱ αἰεὶ* - *παρμέμβλωκεν* (vgl. *δ*, 11), hyperbolisch

1 *αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.*
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ καὶ υἱέι σῷ ἐπίτειλον.
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
5 *Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσεν,*
αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ' Ἕκτορα λύσῃ.
αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω
λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.“
0 *ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,*
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀίξασα,
ἷξεν δ' ἐς κλισίην οὗ υἱέος. ἔνθ' ἄρα τόν γε
εὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντο ἄριστον·
τοῖσι δ' ὄις λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
ἡ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν.
„τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτε τι σίτου
0 *οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι*
μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.

111. *αἰδῶ – φυλάσσων.* Ein Zeugma, indem *φυλάσσων* in Verbindung mit seinen beiden Objecten nicht ganz denselben Begriff hat: die Scheu (und Dankbarkeit, vgl. *α*, 397–406) in mir bewahrend und deine Freundschaft zu erhalten suchend. — *μετόπισθε*, Schol. *εἰς ὕστερον*, für die Zukunft.

114f. *φρεσὶ μαινομένῃσιν*, vgl. 12 *ἀλύων*. — *οὐδ' ἀπέλυσεν*. Bei versöhnlicherer Gesinnung hätte er den Loskauf des Hektor auch von sich aus dem Priamos anbieten können.

117. *ἐφήσω*, ich will zusenden mit dem Befehle, *ἐντελουμένην ἐπιπέμψω* (Schol.).

124. *ἐντύνοντο ἄριστον* = Od. *π*, 2, wo das Bemerkte nachzusehen.

126f. *καθέζετο – ὀνόμαζεν*, vgl. *α*, 360f. von derselben Thetis.

129. *σὴν ἔδεαι κραδίην*, vgl. *ζ*, 202 *ὃν θυμὸν κατέδων*.

130f. *ἀγαθὸν – μίσγεσθαι*, vgl. 675f. und die Anmerkung zu *ι*, 664. In unserer Stelle haben schon die alten Kritiker mit Recht einen solchen Rath besonders aus dem Munde der Mutter anstössig gefunden.

131f. *οὐ – δηρὸν βέῃ – κραταιή* = *π*, 852f. (vom sterbenden Patroklos).

…ί τοι θάνατος μελέτω φρεσί [illegible] — 181
…γάρ τοι πομπὸς ἅμ᾽ [illegible]
…ἄξει εἵως κεν ἄγων Ἀχι[illegible]
…ἐπὴν ἀγάγῃσιν ἔσω κλισ[illegible] Ἀχι[illegible]
…ὐτὸς κτενέει, ἀπό τ᾽ ἄλλ[illegible] — 185
…άρ ἐστ᾽ ἄφρων οὔτ᾽ ἄσκοπ[illegible]
…μάλ᾽ ἐνδυκέως ἱκέτεω πεφι[illegible]
…μὲν ἄρ᾽ ὣς εἰποῦσ᾽ ἀπέβη [illegible]
…ὅ γ᾽ υἷας ἄμαξαν ἐΰτροχον [illegible]
…αι ἠνώγει. πείρινθα δὲ δῆσαι ἐπ᾽ [illegible] — 190
…δ᾽ ἐς θάλαμον κατεβήσετο κ[illegible]
…νον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχ[illegible]
…ἄλοχον Ἑκάβην ἐκαλέσσατο. φ[illegible]
…μονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελο[illegible]
…ασθαι φίλον υἱόν, ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν, — 195
…ρα δ᾽ Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
…λ᾽ ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται [illegible]
…νῶς γάρ μ᾽ αὐτόν γε μένος καὶ θυμὸς ἀν[illegible]
…ισ᾽ ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχ[illegible]
…ὣς φάτο, κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετ[illegible] — 200
…ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ᾽, [illegible]
…κλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους ἠδ᾽ οἷσιν [illegible]
…πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν [illegible]
…ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε [illegible]
…υἷέας ἐξενάριξε· σιδήρειόν νύ τοι ἦτορ. — 205

189f. ἄμαξαν – ὁπλίσαι = Od. ζ, 72f. ἄμαξαν – ὅπλεον. — Ueber πείρινθα vgl. zu Od. ο, 131. Aus der Menge der 229–234 aufgezählten Gegenstände lässt sich schliessen, dass die πείρινς ziemlich geräumig war.

192. γλήνεα, vgl. Od. σ, 298 τολ-γληνα (ἕρματα). Apollon. Rhod. 4, 428, wo der Scholiast γλήνεα durch ποικίλματα erklärt.

197. τί τοι – εἶναι, d. h. was räthst du [illegible]

[illegible]

203. σιδήρειον. Bezeichnung der höchsten Verwegenheit. Vgl. Horat. Carm. 1, 3, 9 *Illi robur et aes triplex Circa pectus erat.*



206 εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
ὠμηστὴς καὶ ἄπιστος ἀνήρ. ὁ δὲ οὔ σ' ἐλεήσει
οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ. τῷ δ' ὥς ποθι μοῖρα κραταιή
210 γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῷ. τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
215 ἀλλὰ πρὸ Τρώων καὶ Τρωιάδων βαθυκόλπων
ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆς."
τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής
„μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτή
ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
220 εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἢ οἳ μάντιές εἰσι, θυοσκόοι ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·

206. *καὶ ἐσόψεται*, herabsteigend: und nur mit den Augen erblickt.

207. *ὁ δὲ* (nach Povelsen) *οὔ σ' ἐλεήσει*, dann wird er sich dein nicht erbarmen. Vgl. *χ*, 123 f.

209 f. *τῷ δ' ὥς ποθι – κραταιή κτέ.* Beruhigung über das Loos des Hektor: es war ihm einmal vom Schicksal bestimmt, so zu fallen. *ὥς ποθι* = *ὧδέ που*, wohl so, wird durch den Infin. *ἀργ. κύνας ἆσαι κτέ.* erklärt. Vgl. unten 525 f. — *γιγνομένῳ – τέκον* = *υ*, 128.

212 f. *μέσον*, bis in die Mitte, also tief hinein: in Beziehung auf *ἐσθέμεναι προσφῦσα*. — *ἔχοιμι*, Schol. *κατέχοιμι εἰς τὸ ἐσθίειν*. — *προσφῦσα*, mit den Zähnen, näml. *τῷ ἥπατι*, also einbeissend, wie Od. *α*, 381 *ὀδὰξ ἐν χείλεσι φύντες*.

213. *ἄντιτα ἔργα*, vgl. zu Od. *ρ*, 51, Vergeltung, Rache für Hektor. Die Auslassung von *ἂν* bei *γένοιτο* ist durch den vorhergehenden Optativ *ἔχοιμι* (möchte ich haben) veranlasst vgl. oben zu 139.

214. *ἐπεὶ – γε*, denn wahrlich nicht als Feigling. — *κακιζόμενον*, Schol. *δειλὸν καὶ ἄνανδρον*.

215 f. *πρὸ – ἑσταότα*, vgl. *δ*, 156 *οἶον προστήσας πρὸ Ἀχαιῶν*.

220. *ἄλλος ἐπιχθονίων*, ein anderer Sterblicher (ausser mir selbst), wenn auch aus angeblichem Auftrage eines Gottes, wie die *μάντιες* u. s. w. Ueber *ἐπιχθονίων* vgl. zu Od. *ρ*, 115.

221. *θυοσκόοι ἢ ἱερῆες*. *θυοσκόος* kann nach seiner etymologischen Grundbedeutung (vgl. zu Od. *φ*, 145) gar wohl auch Beiwort zu *ἱερεύς* sein, also = *ἐμπυροσκόπος*, *πυρκόος*.

222. *ψεῦδος – μᾶλλον* aus *β*, 81, wo der Vers genauer in den Zusammenhang passt.

μηδέ τί τοι θάνατος μελέτω φρεσί, μηδέ τι τάρβος· 24
τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται ἀργειφόντης,
ὅς σ' ἄξει εἵως κεν ἄγων Ἀχιλῆι πελάσσῃ.
αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει· 185
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός."
ἡ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ ὅ γ' υἷας ἅμαξαν ἐύτροχον ἡμιονείην
ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς. 190
αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα
κέδρινον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδει.
ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο, φώνησέν τε
„δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθεν
λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν, 195
δῶρα δ' Ἀχιλλῆι φερέμεν, τά κε θυμὸν ἰήνῃ.
ἀλλ' ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;
αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἄνωγεν
κεῖσ' ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν."
ὣς φάτο, κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθῳ 200
„ὤ μοι, πῇ δή τοι φρένες οἴχονθ', ᾗς τὸ πάρος περ
ἔκλε' ἐπ' ἀνθρώπους ξείνους ἠδ' οἷσιν ἀνάσσεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξε. σιδήρειόν νύ τοι ἦτορ. 205

189f. ἅμαξαν - ὁπλίσαι = Od. ζ, 72f. ἅμαξαν - ὅπλεον. — Ueber πείρινθα vgl. zu Od. ο, 131. Aus der Menge der 229–234 aufgezählten Gegenstände lässt sich schliessen, dass die πείρινς ziemlich geräumig war.

192. γλήνεα, vgl. Od. σ, 298 τρί-γληνα (ἕρματα). Apollon. Rhod. 4, 428, wo der Scholiast γλήνεα durch ποικίλματα erklärt.

197. τί τοι - εἶναι, d. h. was räthst du mir, theilst du meine Ansicht?

202. ἔκλε' für ἐκλέεο mit zurückgezogenem Accente (vgl. zu α, 275 ἀποαίρεο) von κλέομαι Od. ν, 299.

203. πῶς ἐθέλεις, d. h. ist es möglich, dass du wollest. Vgl. zu Od. β, 364 πῇ δ' ἐθέλεις ἰέναι πολλὴν ἐπὶ γαῖαν;

205. σιδήρειον, Bezeichnung der höchsten Verwegenheit. Vgl. Horat. Carm. 1, 3, 9 *Illi robur et aes triplex Circa pectus erat.*

Ω εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
ὠμηστὴς καὶ ἄπιστος ἀνήρ, ὅ δὲ οὔ σ' ἐλεήσει
οὐδέ τί σ' αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρῳ. τῷ δ' ὥς ποθι μοῖρα κραταιή
210 γιγνομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
ἀνδρὶ πάρα κρατερῷ, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
215 ἀλλὰ πρὸ Τρώων καὶ Τρωιάδων βαθυκόλπων
ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆς."
τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής
„μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτή
ὄρνις ἐνὶ μεγάροισι κακὸς πέλευ· οὐδέ με πείσεις.
220 εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἢ οἳ μάντιές εἰσι, θυοσκόοι ἢ ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον·

206. *καὶ ἐσόψεται*, herabsteigend: und nur mit den Augen erblickt.

207. *ὁ δὲ* (nach Povelsen) *οὔ σ' ἐλεήσει*, dann wird er sich dein nicht erbarmen. Vgl. *χ*, 123 f.

209 f. *τῷ δ' ὥς ποθι – κραταιή κτέ.* Beruhigung über das Loos des Hektor: es war ihm einmal vom Schicksal bestimmt, so zu fallen. *ὥς ποθι* = *ὧδέ που*, wohl so, wird durch den Infin. *ἀργ. κύνας ἆσαι κτέ.* erklärt. Vgl. unten 525 f. — *γιγνομένῳ – τέκον* = *υ*, 128.

212 f. *μέσον*, bis in die Mitte, also tief hinein: in Beziehung auf *ἐσθέμεναι προσφῦσα*. — *ἔχοιμι*, Schol. *κατέχοιμι εἰς τὸ ἐσθίειν*. — *προσφῦσα*, mit den Zähnen, näml. *τῷ ἥπατι*, also einbeissend, wie Od. *α*, 381 *ὀδὰξ ἐν χείλεσι φύντες*.

213. *ἄντιτα ἔργα*, vgl. zu Od. *ρ*, 51, Vergeltung, Rache für Hektor. Die Auslassung von *ἂν* bei *γένοιτο* ist durch den vorhergehenden Optativ *ἔχοιμι* (möchte ich haben) veranlasst vgl. oben zu 139.

214. *ἐπεὶ – γε*, denn wahrlich nicht als Feigling. — *κακιζόμενον*, Schol. *δειλὸν καὶ ἄνανδρον*.

215 f. *πρὸ – ἑσταότα*, vgl. *δ*, 156 *οἶον προστήσας πρὸ Ἀχαιῶν*.

220. *ἄλλος ἐπιχθονίων*, ein anderer Sterblicher (ausser mir selbst), wenn auch aus angeblichem Auftrage eines Gottes, wie die *μάντιες* u. s. w. Ueber *ἐπιχθονίων* vgl. zu Od. *ρ*, 115.

221. *θυοσκόοι ἢ ἱερῆες*. *θυοσκόος* kann nach seiner etymologischen Grundbedeutung (vgl. zu Od. *φ*, 145) gar wohl auch Beiwort zu *ἱερεύς* sein, also = *ἐμπυροσκόπος*, *πυρκόος*.

222. *ψεῦδος – μᾶλλον* aus *β*, 81, wo der Vers genauer in den Zusammenhang passt.

νῦν δ' — αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην — 24
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων, 225
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς
ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην."
ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν,
ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας, 230
τόσσα δὲ φάρεα καλά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας.
χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,
ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῇκες πόρον ἄνδρες
ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ 235
φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, πέρι δ' ἤθελε θυμῷ
λύσασθαι φίλον υἱόν. ὁ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέεργεν ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων.
„ἔρρετε, λωβητῆρες ἐλεγχέες. οὔ νυ καὶ ὑμῖν
οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες; 240
ἦ ὀνόσασθ' ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,

223. αὐτὸς – ἄντην, vgl. Virg. Aen. 4, 358 *ipse deum manifesto in lumine vidi Intrantem muros vocemque his auribus hausi.*

224. εἶμι – ἔσσεται, vgl. 92.

227. γόου ἐξ ἔρον εἵην, Schol. χορεσθείην τῆς τοῦ ἐπ' αὐτῷ θρήνου ἐπιθυμίας.

228. φωριαμῶν, vgl. zu Od. ο, 104.

229–231. πέπλους – χιτῶνας. Schol. πέπλοι οὓς περιεβάλλοντο μόναι γυναῖκες (= ἑανοί)· χιτὼν δὲ ἀνδρεῖον ἔνδυμα, φᾶρος ἱμάτιον ἀνδρῶν καὶ γυναικῶν, χλαῖνα τὸ περίβλημα τῆς κλίνης (von ihrem vorzugsweisen Gebrauch als Decke im Schlafe; doch heisst sie auch sonst ἀνεμοσκεπὴς und ἀλεξάνεμος). Zu δώδεκα — τόσσους — τόσσα vgl. Od. ξ, 100 f. δώδεκα — τόσα — τόσσα — τόσα.

232 f. ἔφερεν = ἐξέφερεν, wie die zwei folgenden ἐκ δὲ zeigen. Ueber τρίποδας — λέβητας vgl. zu ι, 123 λέβητας.

235. ἐξεσίην ἐλθόντι, vgl. zu Od. φ, 20 ἐξεσίην – ἦλθεν.

236. πέρι δ' ἤθελε, vgl. zu φ, 65.

238. ἔπεσσ' αἰσχροῖσιν activ: mit schändenden, beschimpfenden Worten.

240. κηδήσοντες, Paraphrast. λυπήσοντες, mich durch eure störende Gegenwart zu beschweren.

241. ἦ ὀνόσασθε (vgl. zu ρ, 173 ὠνοσάμην mit Od. ρ, 378 ἦ ὄνοσαι), Schol. ἐμέμψασθε, ἐξεφαυλίσατε, achtet ihr das für nichts oder für zu wenig, so dass ihr mein Leid noch vergrössern müsset?

24 παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἔγωγε,
245 πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄιδος εἴσω."
ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω
σπερχομένοιο γέροντος. ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα,
νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον
250 Πάμμονά τ' Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Δηίφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγανόν.
ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευεν
„σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες. αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι.
255 ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔ τινά φημι λελεῖφθαι,
Μήστορά τ' ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκει

242. γνώσεσθε καὶ ὔμμες, näml. was auch ihr an Hektor verloren habt.

243. ῥηΐτεροι wird durch den Infinitiv ἐναιρέμεν näher bestimmt.

247. ἦ, καὶ – δίεπ' ἀνέρας. Vgl. zu ν, 59; δίεπε = β, 207, hier: er fuhr mit dem Stabe durch die Männer hin, um sie zurück und aus einander zu scheuchen.

248. σπερχομένοιο γέροντος, da der Greis so eiferte, so ungestüm war.

250. βοὴν ἀγαθόν τε Πολίτην. Die Copula τε ist des Versbedürfnisses wegen versetzt, vgl. zu β, 136 und ε, 878.

251. Ἱππόθοον. Ein anderer (pelasgischer) Führer dieses Namens kam β, 840 vor.

252. ἐννέα. Nach ζ, 244 ff. hatte Priamos im Ganzen funfzig Söhne gehabt, aber vgl. 256–260. Fünf der hier genannten kommen sonst bei Homer nicht vor.

253. κατηφόνες nach Apollonius: κατηφείας (γ, 51) ἄξια πράττοντες. Es scheint eine ähnliche eig. abstracte Bezeichnung wie 260 ἐλέγχεα, vgl. zu β, 235. Das vorhergehende σπεύσατέ μοι zielt schon auf die am Ende der Rede folgende Aufforderung 263 οὐκ ἂν δή μοι – ἐφοπλίσσαιτε; aber ehe er zu dieser kommt, muss er noch durch Verwünschungen und Schmähworte seinem Unmuthe Luft machen.

255. ὤ – πανάποτμος, vgl. zu σ, 54 ὤ μοι ἐγὼ δειλή κτἑ.

256. τῶν δ' οὔ – λελεῖφθαι, Nebenbestimmung oder Ergänzung des vorangehenden Satzes ἐπεὶ τέκον υἷας κτἑ. = ὧν οὔ τις λέλειπται. Von τέκον hangen daher auch die folgenden Accusative Μήστορα — Τρωΐλον — Ἕκτορα ab.

257. Τρωΐλον ἱππιοχάρμην. Wie das Schicksal dieses jugendlichen Helden von den spätern Dichtern ausgemalt wurde, sehen wir bei Virgil. Aen. 1, 474–478.

258. ὃς θεὸς ἔσκε μετ' ἀνδρά-



ἀνδρός γε θνητοῦ πάις ἔμμεναι ἀλλὰ θεοῖο. 24

τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται, 260
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίσσαιτε τάχιστα,
ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;"
ὣς ἔφαθ'· οἱ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλὴν 265
ἐκ μὲν ἄμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆσαν ἐπ' αὐτῆς,
κὰδ δ' ἀπὸ πασσαλόφι ζυγὸν ᾕρεον ἡμιόνειον
πύξινον ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός,
ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ. 270
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐυξέστῳ ἐπὶ ῥυμῷ,
πέζῃ ἔπι πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον,

σιν. Könnte hier auch δαίμων für θεὸς stehen? Vgl. zu Od. β, 134.

262. ἐπιδήμιοι ἁρπακτῆρες, als übermüthige Prasser. Der Raub und das Beutemachen im Kriege ist ehrenvoll.

263. οὐκ ἂν δή μοι κτέ., vgl. Od. ζ, 57 οὐκ — ἐφοπλίσσειας ἀπήνην.

264. ταῦτα — πάντα, die 229–234 genannten Geschenke für Achilleus, vgl. 275 f.

266. ἐκ μὲν — ἄειραν, wahrscheinlich aus dem Thorweg, von den ἐνώπια weg (vgl. zu Od. δ, 42) oder von den βωμοὶ herab (Iliad. θ, 441).

267. πρωτοπαγέα, Schol. πρῶτον πεπηγυῖαν, καινήν, vgl. ε, 194.

268. ζυγόν, vgl. zu Od. γ, 486. Das Joch wurde vor dem Ausspannen vorn an die Deichsel gebunden und die Pferde darunter geführt. Es besteht hauptsächlich aus einem geraden, quer gelegten Holze, dem Jochbalken, auf dessen oberer Fläche in der Mitte ein Knopf (ὀμφαλός 273, vgl. 269 ὀμφαλόεν) zur Befestigung des Jochriemens (ζυγόδεσμον 270) angebracht ist; darunter kommen die λέπαδνα (vgl. zu ε, 730).

269. οἰήκεσσι, Schol. κρίκοις, δι' ὧν ἐνειρόμεναι αἱ ἡνίαι τοὺς ἵππους οἰακίζουσιν, Ringe, um die dadurch gehenden Leinen in immer gleicher Lage und Richtung zu behalten.

270 f. ἐκ δ' ἔφερον. Die Natur der Sache bringt es mit sich, dass sie zuerst das Hauptstück, das Joch selbst, herausholen und dann erst das Nebenstück, den Jochriemen, zur Befestigung von jenem, so dass es eig. heissen sollte ζυγὸν ἅμα ζυγοδέσμῳ. Daher ist auch τὸ μὲν im folgenden Verse auf ζυγὸν zu beziehen.

272. πέζῃ ἔπι πρώτῃ (= ε, 729 ἐπ' ἄκρῳ ῥυμῷ), am äussersten Vorderende, das nach Grashof beschlagen, d. h. mit einer metallenen Einfassung belegt war. — ἐπὶ δὲ — βάλλον, Paraphr. ἐπέβαλον τὸν κρίκον τῷ πασσάλῳ, sie fügten den Ring (unten am Jochbalken) an den Nagel (Spannnagel) oder Haken, wahrsch. durch Einhängen oder indem der Nagel den Ring an die Deichsel befestigte.

24 τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.
275 ἐκ θαλάμου δὲ φέροντες ἐυξέστου ἐπ' ἀπήνης
νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα,
ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιός
280 αὐτὸς ἔχων ἀτίταλλεν ἐυξέστῃ ἐπὶ φάτνῃ.
τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσιν
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ,
οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφιν,
285 χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
στῆ δ' ἵππων προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
„τῆ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι
ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ αρ σέ γε θυμός
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
290 ἀλλ' εὔχευ σύ γ' ἔπειτα κελαινεφέι Κρονίωνι

273. *τρὶς – ἔδησαν*, erg. *τὸ ζυγόδεσμον* oder *τῷ ζυγοδέσμῳ* im Gegensatze von *τὸ μὲν* 271. Den Jochriemen legte man mit seiner Mitte unten an das vordere Deichselende, nahm dann beide Enden dreimal rechts und links (*ἑκάτερθεν*) über's Kreuz hinauf und über den Kopf hin (*ἐπ' ὀμφαλόν*) und band sie dann der Reihe nach, d. h. in mehrern Knoten, so viele es gab (*ἑξείης*), unten (unter der Deichsel und hinter dem Ringe) fest.

274. *ὑπὸ γλωχῖνα δ' ἔκαμψαν*, und bogen sie (die Enden des Jochriemens, damit sie nicht vorstehen) unter die Spitze, das spitzige und wahrsch. mit einer Art Widerhaken versehene Ende des durch die Deichsel gehenden Pflockes.

277. *ἐντεσιεργούς*, Schol. *τοὺς ὑποζυγίους, τοὺς ἅρματα ἕλκοντας*, die im Geschirr (den Sielen) arbeitenden. Dieser Begriff des Adjectivs ist hier, wo vom Anspannen die Rede ist, ganz an seinem Platze.

278. *Μυσοί*, Nachbarn der Heneter (*Ἐνετοί*), *ὅθεν ἡμιόνων γένος ἀγροτεράων* (*β*, 852).

279. *ἵππους δὲ Πριάμῳ κτέ.*, näml. an den wahrsch. zweirädrigen Wagen, auf dem Priamos selbst fahren sollte, vgl. 322–327.

281. *τὼ μὲν ζευγνύσθην* (*κῆρυξ καὶ Πρίαμος*), die waren eben am Anspannen: Zeitbestimmung zu 283. Man übersehe nicht den doppelten Unterschied zwischen *ζευγνύσθην* und *ζεῦξαν* (277), vgl. Od. *γ*, 492 mit 476. 478. — *ἐν δώμασιν ὑψηλοῖσιν*, d. h. im Thorwege, vgl. 323 *ἐκ προθύροιο κτέ.*

285. *χρυσέῳ – κιοίτην* = Od. *ο*, 149, wo auch die umgebenden Verse zu vergleichen sind; zu *δέπαϊ* Il. *υ*, 259. Durch den Dual wird der Herold mit Priamos zusammengefasst, während eigentlich nur dieser es thut, vgl. 287. 306.

290 f. *εὔχευ σύ γ' ἔπειτα*, nach

Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται, 24
αἴτει δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅς τε οἱ αὐτῷ
φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων. 295
εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεύς,
οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
νῆας ἐπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα."
  τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής
„ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήσω· 300
ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσῃ."
  ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸς
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη
χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα.
νιψάμενος δὲ κύπελλον ἐδέξατο ἧς ἀλόχοιο· 305
εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα.
„Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν,
πέμψον δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅς τε σοὶ αὐτῷ 310
φίλτατος οἰωνῶν, καί εὑ κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων."

der Spende und dem ersten allgemeinern Gebete 287. — *Τροίην πᾶσαν*, d. h. Stadt und Gebiet im weitern Sinne, vgl. *Θ*, 52 *εἰσορόων Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν.*

292f. *ὅς τε — καί εὑ.* Dieselbe Verbindung wie *α*, 78f.

297. *οὐκ ἂν — κελοίμην*, d. h. ich würde es dir abrathen, dich abmahnen.

300. *ἐφιεμένῃ*, Schol. *ἐντελλομένῃ, ὑποτιθεμένῃ.* Zur Beruhigung der Hekabe erfüllt Priamos ihren Wunsch, da er nach der Aufforderung der Iris 171—187 über den glücklichen Ausgang nicht ungewiss sein kann.

304. *χέρνιβον.* Diese Form nur hier zur Bezeichnung des Gefässes, das sonst (der *πρόχοος* entgegengesetzt) *λέβης* genannt wird, z. B. Od. *α*, 137. Schol. *τὸ ἀγγεῖον τὸ ὑποδεχόμενον τὸ ὕδωρ.*

305. *ἐδέξατο — ἀλόχοιο*, vgl. zu *α*, 596 *παιδὸς ἐδέξατο.*

306. *μέσῳ ἕρκεϊ*, vgl. zu *π*, 231 und Virg. Aen. 2, 512 *Aedibus in mediis nudoque sub aetheris axe Ingens ara fuit* cet.

308. *Ζεῦ — μέγιστε* = *γ*, 276.

309. *δός μ' — ἐλεεινόν*, vgl. Od. *ζ*, 327 *δός μ' ἐς Φαίηκας κτἑ.*, welchem Vers der unsrige nachgebildet zu sein scheint.

24 ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζεύς.
315 αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
μόρφνον θηρητῆρ', ὃν καὶ περκνὸν καλέουσιν.
ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο, ἐυκλήις ἀραρυῖα,
τόσσ' ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφιν
320 δεξιὸς ἀίξας ὑπὲρ ἄστεος. οἱ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
σπερχόμενος δ' ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου,
ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
325 τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευεν
καρπαλίμως κατὰ ἄστυ. φίλοι δ' ἅμα πάντες ἕποντο
πόλλ' ὀλοφυρόμενοι ὡς εἰ θάνατόνδε κιόντα.
οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
330 οἱ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο,
παῖδες καὶ γαμβροί, τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν

315. τελειότατον πετεηνῶν, vgl. zu θ, 247.

316. μόρφνος vergleichen die Grammatiker mit ὀρφνός und erklären es durch σκοτεινός. Hier bezeichnet es eine **Adlerart** und θηρητῆρα ist adjectivische Apposition, vgl. φ, 252 αἰετοῦ – μέλανος, τοῦ θηρητῆρος. Auch περκνός wird von Aristarch — wohl mit Recht — als Name einer Adlerart, nicht als Bezeichnung einer Farbe genommen; darum καὶ περκνὸν καλέουσιν, nämlich nicht nur μόρφνον.

318. ἐυκλήις ἀραρυῖα. Paraphr. εὔκλειστος ἡρμοσμένη, die wohlgeriegelte (gut verschlossene), fest gefügte. Das einfache ἀραρυῖα steht emphatisch für ein Compositum, wie etwa τετυγμένος, ποιητός, z. B. μ, 470; vgl. Od. β, 344 κληισταὶ – σανίδες πυκινῶς ἀραρυῖαι. Andere ἐυκληῖσ' ἀραρ.

319. πτερὰ sind hier die ganzen ausgebreiteten Flügel.

320. δεξιὸς ἀίξας, vgl. Od. β, 154 δεξιὼ ἤιξαν διά τ' οἰκία καὶ πόλιν αὐτῶν.

322. ξεστοῦ δίφρου, dessen Gegensatz zu ἀπήνην schon 277–281 angedeutet ist.

323. ἐκ δ' – – – ἐριδούπου wie Od. γ, 493.

325. δαΐφρων, auch hier der wackere, treffliche.

329. πόλιος κατέβαν, von der Höhe der Stadt (theils im Wagen, theils zu Fuss) herabkamen. Od. ω, 205 ἐκ πόλιος κατέβαν.

330. οἱ μὲν ἄρ' im Gegensatz von τὼ δέ = οἱ μὲν ἄλλοι, die φίλοι πάντες 327, erklärt durch παῖδες καὶ γαμβροί 331, die dem Priamos das Geleit gaben.

331. εὐρύοπα Ζῆν, vgl. zu θ, 206. Es ist als ob der Gott des

ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέησε γέροντα. **24**
αἶψα δ' ἄρ' Ἑρμείαν υἱὸν φίλον ἀντίον ηὔδα
„Ἑρμεία· σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες ᾧ κ' ἐθέλῃσθα· 335
βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ μήτ' ἄρ τε νοήσῃ
τῶν ἄλλων Δαναῶν πρὶν Πηλείωνάδ' ἱκέσθαι."
ὣς ἔφατ', οὐδ' ἀπίθησε διάκτορος ἀργειφόντης.
αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα 340
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει.
τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς ἀργειφόντης. 345
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανεν,
βῆ δ' ἰέναι κούρῳ αἰσυμνητῆρι ἐοικώς,
πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη.
οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,

weiten Himmels sie erst bemerkte, als sie in's Freie kommen.

333. *Ἑρμείαν.* Während Iris, die sonst überall in der Ilias als Götterbotin erscheint, iu der Regel nur die ihr ertheilten Aufträge ausrichtet und selten etwas aus sich thut oder hinzufügt, wie *γ*, 121. *ψ*, 198. *o*, 201-204, wird Hermes — hier und in der ganzen Odyssee — zu solchen Botschaften gebraucht, zu denen auch selbstthätige Klugheit und Geschick erfordert werden. Zur ganzen Sendung des Hermes vgl. Od. *ε*, 28ff. Virg. Aen. 4, 238-246. Hier ist er wesentlich Beschützer und Geleitsmann.

334f. *μάλιστα φίλτατον*, vgl. zu *β*, 57f. *μάλιστα δὲ - ἄγχιστα ἐῴκει.* — *ἑταιρίσσαι*, Schol. *ἑταῖρον γενέσθαι*, dich zu gesellen. — *καί τ' ἔκλυες*, vgl. zu Od. *κ*, 327.

337. *μήτ' ἄρ τε νοήσῃ*, vgl. *ε*, 89 *οὔτ' ἄρ τε γέφυραι.*

338. *Πηλείωνάδε* nach Analogie von *εἰς Ἀγαμέμνονα δῖον ἄγον* *η*, 312. Das Gewöhnlichere wäre allerdings *Πηλείωνόσδε* = *ἐς Ἀχιλλῆος* 309.

339-345. *ὣς ἔφατ' - ἀργειφόντης*, wörtlich = Od. *ε*, 43-49. Das *ἀνδρῶν ὄμματα θέλγει* wird im gegenwärtigen Falle 445 schlechthin durch *τοῖσι δ' ἐφ' ὕπνον ἔχευε* bezeichnet.

347f. *κούρῳ αἰσυμνητῆρι* (vgl. Od. *θ*, 258 zu *αἰσυμνῆται*), Schol. *βασιλικῷ, βασιλεῖ*, einem fürstlichen Jünglinge; vgl. von der verwandelten Athene Od. *ν*, 222f. *ἀνδρὶ - νέῳ - παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν.*

348. *πρῶτον - ἥβη* = Od. *κ*, 279. *πρῶτον ὑπηνήτης* bildet Einen Begriff, s. v. a. *ἀρτιγένειος.*

349. *σῆμα - Ἴλοιο*, vgl. zu *κ*, 415. *λ*, 166.

24 στῆσαν ἄρ᾽ ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν,
351 ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν.
τὸν δ᾽ ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο, φώνησέν τε
„φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
355 ἄνδρ᾽ ὁρόω, τάχα δ᾽ ἄμμε διαρραίσεσθαι ὀίω.
ἀλλ᾽ ἄγε δὴ φεύγωμεν ἐφ᾽ ἵππων, ἤ μιν ἔπειτα
γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ᾽ ἐλεήσῃ."
ὣς φάτο, σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ᾽ αἰνῶς,
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσιν,
360 στῆ δὲ ταφών. αὐτὸς δ᾽ ἐριούνιος ἐγγύθεν ἐλθών,
χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ προσέειπεν.
„πῇ, πάτερ, ὧδ᾽ ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι᾽ ἀμβροσίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ γ᾽ ἔδδεισας μένεα πνείοντας Ἀχαιούς,
365 οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
τοσσάδ᾽ ὀνείατ᾽ ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;

351. *δὴ γὰρ – γαῖαν*, denn schon war auch Dunkel über die Erde gekommen. Darum durften sie es wagen, auch in der Nähe des feindlichen Lagers (364–367) ihre Wagen eine Weile stehen zu lassen. Zugleich giebt dieser Halt dem Hermes Gelegenheit, dem Wagen des Priamos zu nahen.

352. *ἐξ ἀγχιμόλοιο* verbinde mit *ἰδών*. Nur der Herold bemerkt ihn, weil Priamos ganz in seine Sorgen und Erwartungen vertieft ist.

354. *φραδέος νόου ἔργα τέτυκται*, es ist (die gegenwärtige Lage ist) Sache verständigen Sinnes, es bedarf vorsichtiger Klugheit: *συνετοῦ νοῦ δεῖται ὁ παρὼν καιρός*. Das Simplex *φραδής* kommt nur hier vor.

355. *διαρραίσεσθαι* passiv = *διαφθαρήσεσθαι*, vgl. Od. α, 251 (vgl. β, 48 f.) *τάχα δή με διαρραίσουσι καὶ αὐτόν*. Diese voreilige, gleich das Aeusserste besorgende Aengstlichkeit erregt wenig poetisches Interesse. Begreiflicher ist die 358 f. geschilderte Bestürzung des greisen Priamos, den die Liebe zu seinem Sohne zu einem seine Kräfte übersteigenden Wagniss verleitet hatte.

356. *φεύγωμεν ἐφ᾽ ἵππων*. Den andern Wagen mit den Geschenken will er, um sich selbst leichter in Sicherheit zu bringen, dem Gefürchteten überlassen.

359 f. *ἐνὶ – μέλεσσιν*, d. h. am ganzen Leibe. — *στῆ*, er stand auf dem Wagen auf.

363. *νύκτα – ἄλλοι* = κ, 83. 386 *νύκτα δι᾽ ὀρφναίην κτέ.*

367. *ὀνείατα*, Schol. *χρήματα, πάντα τὰ ὄνησίν τινα περιποιοῦντα, ὡς νῦν τὰ δῶρα.* — Zu *τίς ἂν δή τοι νόος εἴη* vgl. Virg. Aen. 4, 408 *Quis tibi tunc, Dido, cernenti talia sensus?*

οὔτ' αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ, **24**
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον 370
σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐίσκω."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
„οὕτω πῃ τάδε γ' ἐστί, φίλον τέκος, ὡς ἀγορεύεις.
ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι, 375
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός
πέπνυσαί τε νόῳ, μακάρων δ' ἔξεσσι τοκήων."
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργειφόντης
„ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον, 380
ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλά
ἄνδρας ἐς ἀλλοδαπούς, ἵνα περ τάδε τοι σόα μίμνῃ,
ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρήν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλεν
σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν." 385

368 f. *οὔτ' αὐτὸς νέος ἐσσὶ κτέ.* aus Od. π, 71 f. φ, 132 f. nachgebildet, wo beide Male der zweite Vers sich unverändert, aber mit leichterer Construction findet. Hier entspricht dem *οὔτε* das positive *δέ*, und *ἀπαμύνασθαι* hängt wesentlich von *νέος ἐσσί* ab.

370. *οὐδὲν* wie anderswo *οὔτι*, gar nicht, durchaus nicht.

373. *οὕτω πῃ τάδε γ' ἐστὶ κτέ.*, d. h. du hast wohl ganz Recht, es verhält sich wirklich so u. s. w. Die Aeusserung bezieht sich besonders auf 366 f. und die Andeutung der ihn umringenden Gefahren.

375 ff. *τοιόνδε* ist unmittelbar hinweisend und wird theils durch *αἴσιον*, theils durch die ganze folgende Umschreibung *οἷος δὴ σὺ – τοκήων* erklärt; vgl. zu Od. β, 286. — *ἔξεσσι* = *ἐκγέγονας*.

379. *ναὶ δὴ – ἔειπες.* Ein oft vorkommender Vers, dessen Gebrauch indessen hier unmittelbar nach dem Lob der eigenen Person (376 f.) etwas auffallend ist.

381 ff. *ἠέ πῃ ἐκπέμπεις – ἦ ἤδη.* Vom vorigen Verse abhängige Doppelfrage, vgl. zu Od. δ, 487. — *ἐκπέμπεις*, geleitest du hinaus, d. h. bringst du in Sicherheit, wie 681. Uebrigens wird hierbei auf eine wirkliche Sage der spätern Dichter Rücksicht genommen, der auch Virgil. Aen. 3, 49 ff. folgt. *Hunc Polydorum auri quondam cum pondere magno Infelix Priamus furtim mandarat alendum Threïcio regi* cet.

382. *ἵνα περ – μίμνῃ*, *ubi – maneant*, d. h. *ut ibi maneant*. Der Conjunctiv beim Relativum zur Bezeichnung des Zweckes = Od, ν, 364.

385. *οὐ – μάχης ἐπεδεύετ' Ἀχαιῶν* (vgl. ψ, 670). Der Sinn ist offenbar: Nicht stand er im Kampf

24 τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
„τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἔξεσσι τοκήων;
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες.“
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργειφόντης
390 „πειρᾷ ἐμεῖο, γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέι χαλκῷ.
ἡμεῖς δ' ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεύς
395 εἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἔξειμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ γ' ἐστί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε,
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
400 τῶν μέτα παλλόμενος κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι.
νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γάρ
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.“
405 τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
„εἰ μὲν δὴ θεράπων Πηληιάδεω Ἀχιλῆος
εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάις, ἦέ μιν ἤδη
ᾗσι κυσὶν μελεϊστὶ ταμὼν προύθηκεν Ἀχιλλεύς.“
410 τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργειφόντης

den Achäern nach; dennoch hängt *Ἀχαιῶν* unzweifelhaft von *μάχης* ab; denn *μάχη* schliesst auch die **Kampfweise, Kampftüchtigkeit** in sich.

388. *ὥς μοι – ἔνισπες*. Brachylogische Begründung der vorangehenden Fragen, gleich: Du verdienst wohl, dass ich mich danach erkundige, da du mir gesagt hast. — Ueber *καλά* vgl. zu Od. *β*, 63.

390. *πειρᾷ ἐμεῖο, – καὶ εἴρεαι*, d. h. *πειρᾷ μου – εἰρόμενος* (*ἐρωτῶν*), vgl. 433f. — Zu *εἴρεαι Ἕκτορα* vgl. *ζ*, 239 *εἰρόμεναι παῖδάς τε κτέ.*

394. *ἡμεῖς – θαυμάζομεν* = *β*, 320, vgl. oben 360 *στῆ ταφών* und *δ*, 243 *ἔστητε τεθηπότες*.

396. *θεράπων*, vgl. zu *ε*, 48. *μία*, nämlich uns beide.

402. *ἑλίκωπες*, vgl. zu *α*, 98.

403. *οἵδε*, adverbial und mit *καθήμενοι* zu verbinden: es verdriesst sie, unthätig hier zu sitzen.

404. *ἐσσυμένους πολέμου* (*αὐτούς*), Paraphr. *ἐφιεμένους τοῦ πολέμου*.

„ὦ γέρον, οὔ πω τόν γε κύνες φάγον οὐδ' οἰωνοί,
ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηί
αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠώς
κειμένῳ, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαί
ἔσθουσ', αἵ ῥά τε φῶτας ἀρηιφάτους κατέδουσιν. 415
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήῃ,
οὐδέ μιν αἰσχύνει. θηοῖό κεν αὐτὸς ἐπελθών
οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν, 420
ὅσσ' ἐτύπη· πολέες γὰρ ἐν αὐτῷ χαλκὸν ἔλασσαν.
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι."
ὣς φάτο, γήθησεν δ' ὁ γέρων καὶ ἀμείβετο μύθῳ
„ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι 425
ἀθανάτοις, ἐπεὶ οὔ ποτ' ἐμὸς παῖς, εἴ ποτ' ἔην γε,
λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσιν·
τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον,
αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν, 430
ὄφρα κεν ἐς κλισίην Πηληιάδεω ἀφίκωμαι."
τὸν δ' αὖτε προσέειπε διάκτορος ἀργειφόντης
„πειρᾷ ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις,

413. *αὔτως*, Schol.: *ὁμοίως*, immer auf die gleiche Weise, wie von Anfang an, vgl. zu Od. π, 143.

414. *κειμένῳ*, d. i. *ἐξ οὗ κεῖται.*

417 f. *ἕλκει ἀκηδέστως* = χ, 465. *ἠὼς ὅτε – φανήῃ*, d. i. jeden Morgen, vgl. 12 – 18. — Zu *οὐδέ μιν αἰσχύνει* vgl. 19. — *θηοῖο*, Schol. *διὰ τῆς ὄψεως ἰδὼν θαυμάσειας.*

420. *σὺν – μέμυκεν.* Auch durch die Einwirkung des Apollon; denn die Wunden der Todten schliessen sich sonst nicht mehr.

421. *ὅσσ' ἐτύπη*, vgl. ε, 795 *ἕλκος – τό μιν βάλε Πάνδαρος ἰῷ.* — *πολέες – ἔλασσαν* mit Beziehung auf χ, 371 *οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη.*

425. *ἦ ῥ' ἀγαθόν*, erg. *ἐστί.* — *ἐναίσιμα*, Schol. *καθήκοντα.* Zu *διδοῦναι* = *διδόναι* vgl. π, 145 *ζευγνῦμεν* neben ο, 120 *ζευγνύμεν.*

426. *εἴ ποτ' ἔην γε* = γ, 180.

428. *ἀπεμνήσαντο. ἀπὸ* bezeichnet auch hier den Ausgangspunct: vgl. sich e n t sinnen.

433 f. *πειρᾷ ἐμεῖο – ὅς με κέλεαι*, vgl. 390. — *οὐδέ με πείσεις* ist parenthetisch eingeschoben und sollte erst auf den Relativsatz fol-

24 ὅς με κέλεαι σέο δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι.
435 τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
ἐνδυκέως ἐν νηὶ θοῇ ἢ πεζὸς ὁμαρτέων·
οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο."
440 ἦ, καὶ ἀναΐξας ἐριούνιος ἅρμα καὶ ἵππους
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠύ.
ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο·
445 τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος ἀργειφόντης
πᾶσιν, ἄφαρ δ' ὤιξε πύλας καὶ ἀπῶσεν ὀχῆας,
ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
ἀλλ' ὅτε δὴ κλισίην Πηληιάδεω ἀφίκοντο
ὑψηλήν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι
450 δοῦρ' ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες·
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι

gen. — παρὲξ Ἀχιλῆα, neben Achilleus vorbei, gleichsam hinter seinem Rücken, vgl. Od. κ, 573 ῥεῖα παρεξελθοῦσα.

435 f. δείδοικα καὶ αἰδέομαι, vgl. γ, 172 αἰδοῖός τε — δεινός τε und das sprichwörtliche ἵνα περ δέος, ἔνθα καὶ αἰδώς. Uebrigens ist τὸν μὲν nur mit δείδοικα zu verbinden, bei συλεύειν aber αὐτὸν zu ergänzen.

437. σοὶ δ' ἂν — κε — ἱκοίμην. Ueber die Verbindung von ἄν und κέ vgl. zu Od. ε, 361. — καί, selbst, gehört zu κλυτὸν Ἄργος, worunter, da hier von einem Geleite zu Achilleus die Rede ist, τὸ Πελασγικὸν Ἄργος (vgl. zu β, 681) zu verstehen sein wird.

438. ἐν νηὶ — ἢ πεζός (zu Lande), d. i. auf jede Weise, wie du es immer wünschen würdest.

439. οὐκ ἄν τις — μαχέσαιτο, keiner würde dich, aus Geringschätzung deines Geleitsmannes, feindlich angreifen; zu ὀνοσσάμενος vgl. Od. φ, 427 ἀτιμάζοντες ὄνονται.

440. ἀναΐξας — ἅρμα, Schol. ἀνὰ τὸ ἅρμα καὶ τοὺς ἵππους ἀΐξας.

444. νέον (= 475) s. v. a. νεωστί, eben, gerade noch. Die Mauer wird als wiederhergestellt und das Thor verschlossen (446) gedacht. — Zu ὀχῆας vgl. μ, 121.

450. κέρσαντες, Schol. περικόψαντες. — ἔρεψαν, ἐστεφάνωσαν, ἐκάλυψαν. Es ist bemerkenswerth, doch wohl zu begreifen, dass die Beschreibung einer solchen κλισίη erst im letzten Gesange vorkommt.

452 f. ἀμφὶ δέ οἱ. Worauf ist

σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς 453
εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί,
τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῖδα θυράων, 455
τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ' ἐπιρρήσσεσκε καὶ οἶος·
δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ᾦξε γέροντι,
ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι,
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθονί, φώνησέν τε
„ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα, 460
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν.
ἀλλ' ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ' Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην·
τύνη δ' εἰσελθὼν λαβὲ γούνατα Πηλείωνος, 465
καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠυκόμοιο
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς."
ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας· Πρίαμος δ' ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δὲ κατ' αὖθι λίπεν· ὁ δὲ μίμνεν ἐρύκων 470
ἵππους ἡμιόνους τε. γέρων δ' ἰθὺς κίεν οἴκου,

οἱ zu beziehen? vgl. 449. — ἐπιβλής, was nachher 455 κληΐς. Schol. μοχλὸς ἐπιβαλλόμενος ἀπὸ τοίχου εἰς τοῖχον.

454. ἐπιρρήσσεσκον, mit Gewalt vorschoben. Paraphr. ἐπέβαλλον.

455. ἀναοίγεσκον, vgl. Od. ι, 122 καταΐσχεται, und zu dem Gegensatze ε, 751 ἀνακλῖναι — ἐπιθεῖναι.

456. τῶν ἄλλων, zunächst von seinen Dienern oder Untergebenen. Vgl. μ, 447 in ähnlichem Zusammenhange δύ' ἀνέρε δήμου ἀρίστω mit λ, 328.

457. δή ῥα τότε, Nachsatz zu 448 ἀλλ' ὅτε δή.

459. ἀπέβαινεν ἐπὶ χθονί. Prägnante Verbindung; denn nach dem Absteigen war und blieb er nun auf dem Boden.

460. ἤτοι ἐγὼ κτέ. So ausdrücklich giebt sich sonst bei Homer ein Gott selbst beim Weggehen nicht zu erkennen (vergleichen lässt sich nur φ, 284–297), doch geschieht es auch hier während der Nacht, gegen einen Einzelnen und gerade um sich dem Blicke der andern Sterblichen zu entziehen (462 ff.).

463 f. νεμεσσητὸν – ἄντην. Es wäre gleichsam ein Verkennen und Aufgeben der eigenen höhern Natur und Würde.

469. ἆλτο, häufig vom einfachen Absteigen; daher es auch von Priamos nicht auffallen darf.

470. αὖθι, bei den Wagen im Hofe. Der nun folgende Abschnitt, der die wirkliche Begegnung des Priamos und Achilleus enthält, bis ungefähr 642 zeichnet sich an poetischem Gehalt vor dem Vorhergehenden und Nachfolgenden vortheilhaft aus.

24 τῇ ῥ' Ἀχιλεὺς ἵζεσκε διίφιλος. ἐν δέ μιν αὐτόν
εὗρ', ἕταροι δ' ἀπάνευθε καθείατο· τῷ δὲ δύ' οἴω,
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος ὄζος Ἄρηος,
475 ποίπνυον παρεόντε. νέον δ' ἀπέληγεν ἐδωδῆς
ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα στάς
χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας
δεινὰς ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
480 ὡς δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅς τ' ἐνὶ πάτρῃ
φῶτα κατακτείνας ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας,
ὣς Ἀχιλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέα.
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
485 τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπεν.
„μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τηλίκου ὥς περ ἐγών, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρουσ', οὐδέ τις ἔστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.

472. ἐν, d. h. ἔνδον, ἐν οἴκῳ. — μιν αὐτὸν im Gegensatz der ἕταροι.
475. ποίπνυον wie 444 περὶ δόρπα πονέοντο.
476. ἔτι καὶ – τράπεζα kann auch auf die Tischgeräthschaften und Speisen gehen, vgl. Od. η, 232 ἀπεκόσμεον ἔντεα δαιτός und τ, 61f. ἀπὸ μὲν σῖτον πολὺν ᾕρεον ἠδὲ τραπέζας καὶ δέπα.
480. ἄτη, hier weniger von der innern moralischen Verschuldung, als von dem äussern Nachtheil derselben, sofern sie wegen der zu fürchtenden Blutrache den Mörder nöthigt, sein Vaterland zu verlassen.
482. θάμβος δ' ἔχει εἰσορόωντας, vgl. λ, 777 ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς. In diesem Staunen der Ueberraschung und der ahnungsvollen Erwartung liegt der Vergleichungspunct.
484. ἄλλοι, οἱ ἄλλοι, vgl. 473f.
485. καὶ λισσόμενος, wie sich nach 477f. erwarten liess.
487. τηλίκου ist nicht determinativ, so dass ihm ὥσπερ ἐγὼν = ἡλίκος ἐγὼν entspräche, sondern es ist mit Affect und Nachdruck hinweisend und gleichsam einen Ausruf bildend, so dass ὀλοῷ ἐπὶ γήρ. οὐδῷ die bildliche Ausmalung dazu ausmacht: der gleich mir schon so alt, auf der traurigen Höhe des Greisenalters ist.
488. καὶ μέν που κεῖνον, wohl auch jenen; zu που vgl. Od. α, 199. — περιναιέται ἀμφὶς ἐόντες ist in ähnlicher Weise verbunden wie Od. β, 65f. περικτίονας ἀνθρώπους οἳ περιναιετάουσι. Schol. κυκλόθεν οἰκοῦντες.
489. οὐδέ τις ἔστιν (= πάρεστιν oder ἔπεστιν) – ἀμῦναι, vgl. Od. β, 58f. οὐ γὰρ ἔπ' ἀνὴρ οἷος Ὀδυσσεὺς ἔσκεν, ἀρὴν ἀπὸ οἴκου



ἀλλ᾽ ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων 24
χαίρει τ᾽ ἐν θυμῷ, ἐπί τ᾽ ἔλπεται ἤματα πάντα 491
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθε μολόντα·
αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ᾽ οὔ τινά φημι λελεῖφθαι.
πεντήκοντά μοι ἦσαν, ὅτ᾽ ἤλυθον υἷες Ἀχαιῶν· 495
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ᾽ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ᾽ ἔλυσεν·
ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτούς,
τὸν σὺ πρώην κτεῖνας ἀμυνόμενον περὶ πάτρης, 500
Ἕκτορα. τοῦ νῦν εἵνεχ᾽ ἱκάνω νῆας Ἀχαιῶν,
λυσόμενος παρὰ σεῖο, φέρω δ᾽ ἀπερείσι᾽ ἄποινα.
ἀλλ᾽ αἰδεῖο θεούς, Ἀχιλεῦ, αὐτόν τ᾽ ἐλέησον
μνησάμενος σοῦ πατρός. ἐγὼ δ᾽ ἐλεεινότερός περ,
ἔτλην δ᾽ οἷ᾽ οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος, 505
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ᾽ ὀρέγεσθαι.“
ὣς φάτο, τῷ δ᾽ ἄρα πατρὸς ὑφ᾽ ἵμερον ὦρσε γόοιο

ἀμῦναι.

490. *σέθεν – ἀκούων*, vgl. Od. *β*, 220 *τεθνηῶτος ἀκούσω μηδ᾽ ἔτ᾽ ἐόντος.*

492. *ἀπὸ Τροίηθε μολόντα.* Zu *Τροίηθε* mit abgeworfenem *ν* vgl. das zu Od. *τ*, 237 Bemerkte.

494. *οὔ τινά φημι λελεῖφθαι.* Wie dies gesagt werden könne, zeigt 498 – 501 vgl. mit 242.

496. *ἰῆς ἐκ νηδύος*, d. i. von der Hekabe.

497. *γυναῖκες*, d. i. *παλλακαί*, Nebenfrauen untergeordneten Ranges.

498. *τῶν πολλῶν*, der Meisten (von diesen), der überwiegenden Mehrzahl.

499. *αὐτούς = ἡμᾶς αὐτούς*, uns selbst, die Einwohner der Stadt. Die beiden Glieder aber *οἶος ἔην, εἴρυτο δέ* bilden nur Einen Gedanken = *οἶος ἦν ἐρυόμενος*, der allein schützte; Umschreibung von *ζ*, 403 *οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ.*

503 f. *αὐτόν τ᾽ ἐλέησον*, erg. *με.* — *ἐλεεινότερός περ*, nämlich *σοῦ πατρός, Πηλέως.* Der folgende Satz *ἔτλην δὲ – ὀρέγεσθαι* giebt den Grund dazu an.

506. *ποτὶ στόμα χεῖρ᾽ ὀρέγεσθαι* ist nicht ein anderer Ausdruck für 478 f. *κύσε χεῖρας – ἀνδροφόνους*, sondern heisst: meine Hand nach dem Munde des Mörders meines Sohnes auszustrecken, d. h. diesen flehend beim Kinne zu fassen, wie Thetis den Zeus *α*, 501 *δεξιτερῇ ὑπ᾽ ἀνθερεῶνος ἑλοῦσα.* Schol. *ὀρέγεσθαι ἀντὶ τοῦ ἐκτείνειν πρὸς τὸ στόμα τὰς χεῖρας (τὴν χεῖρα).*

507. *πατρὸς – γόοιο.* Die Erinnerung an den fernen Vater überwältigt mit Einmal die bisher unbezwingbare Leidenschaft des Achilleus; er verzichtet auf weitere Rache und gewinnt den schönsten

24 ἁψάμενος δ' ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο
510 κλαῖ' ἀδινά, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς,
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς,
[καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων,]
515 αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
„ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
520 ἀνδρὸς ἐς ὀφθαλμοὺς ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπης
ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν, ἀχνύμενοί περ·
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
525 ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει

Sieg über seine ungemessene Selbstsucht.

509–511. τὼ δὲ — ὁ μὲν — αὐτὰρ Ἀχιλλεύς. Vgl. die bei μ, 400–404 angeführten Beispiele derselben Construction. Der Genitiv Ἕκτορος hängt von μνησαμένω ab, dessen Begriff im zweiten Gliede (κλαῖεν ἑὸν πατέρα) nicht mehr berücksichtigt wird. Vor ἄλλοτε δ' αὖτε sollte eigentlich ἄλλοτε μὲν stehen.

512. δώματα uneigentlich wie 572 οἴκοιο auch von der κλισίη.

514. καί οἱ – ἀπὸ γυίων. Eine unschickliche Häufung der Ausdrücke für Einen Begriff (γόοιο τετάρπετο): wobei überdies die Erwähnung der γυῖα, d. h. der beweglichen und regsamen Glieder (vgl. zu Od. κ, 363), dem sonstigen Sprachgebrauche entgegen ist.

515. γέροντα – ἀνίστη, mit Bezug auf 510 προπάροιθε – ἐλυσθείς.

519–521. πῶς – ἦτορ, vgl. 203–205.

522f. ἔμπης weist schon auf das folgende ἀχνύμενοί περ hin. — κατακεῖσθαι ἐάσομεν, wir wollen sie ruhen lassen, nicht durch laute Klagen wieder aufregen und anfachen.

524. οὐ γάρ τις πρῆξις = οὔ τις ἄνυσις. Ueber πρῆξις vgl. Einleit. zu Odyss. S. 19 und zu Od. κ, 202; unten 550 οὐ γάρ τι πρήξεις ἀκαχήμενος.

525. ὡς, Ankündigung von ζώειν ἀχνυμένοις.

527. δοιοὶ γάρ τε πίθοι κτἑ. Veranlasst durch den Gedanken,

δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων. **24**
ᾧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ· **530**
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾷ δ' οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.
ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο **535**
ὄλβῳ τε πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσιν,
καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν.
ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακόν, ὅττι οἱ οὔ τι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε **540**
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα.

dass die Götter selbst frei von Sorgen seien, erinnert sich der Dichter, dass sie nach dem herrschenden Glauben der Frommen für die Sterblichen auch Geber des Guten (*δωτῆρες ἑάων* Od. *ϑ*, 325) seien, und fährt daher fort: Denn zwei Fässer mit Gaben (nicht nur mit Gutem, sondern auch mit Bösem gefüllt) stehen auf dem Boden des Zeus, auf dem Fussboden seines Saales.

528. *κακῶν* (*ἕτερος*), *ἕτερος δὲ ἑάων*, nach Analogie von 511 *ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε*. Vielleicht schwebte dem Dichter zuerst eine Verbindung vor wie *κακῶν τ' ἀγαθῶν τε*, nach Od. *ϑ*, 63 *δίδου δ' ἀγαθόν τε κακόν τε*.

529 f. *ᾧ μέν κ' ἀμμίξας* (durchmischend, d. h. durch einander mischend) *κτἑ*. Denselben Gedanken spricht Odyss. *ο*, 488 ohne Bild so aus: *ἀλλ' ἤτοι σοὶ μὲν παρὰ καὶ κακῷ ἐσθλὸν ἔθηκεν Ζεύς*. — *δώῃ* = 531 aufgelöster Conjunctiv; vgl. zu Od. *ω*, 217 *ἐπιγνώῃ*.

530. *κύρεται*, Schol. *συντυγχάνει, ἐντυγχάνει*.

531 f. *λωβητὸν ἔθηκεν*, erg. *Ζεύς*. Die Erklärung giebt 533 *οὔτε θεοῖσι τετιμένος κτἑ*. Sinn: der hat nur Unglück und zwar das äusserste Unglück. — *βούβρωστις*, unersättlicher Hunger, als specielle Bezeichnung des äussersten Elendes aller Art. Dieser *Βούβρωστις* als Göttin wurde nach einer Notiz des Plutarch bei den (ursprünglich äolischen) Smyrnäern ein jährliches Brandopfer (*ταῦρος μέλας*) dargebracht.

534. *ὣς* knüpft nur überhaupt an die vorangehende Allegorie an, nicht an den letzten Theil derselben; denn im Speciellen entspricht das Verhältniss des Peleus (vgl. 538–542) dem 529 f. geschilderten Falle.

539. *παίδων – κρειόντων*, herrschender Söhne, d. h. die einst in den Besitz seiner Herrschaft eintreten könnten.

540. *παναώριον*, Schol. *παντελῶς ἄωρον ἀποθανούμενον*, vgl. *ι*, 410–415.

542. *σέ τε κήδων* (vgl. 240). **Es** ist ein starkes Zeichen, wie sehr

24 καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει
545 καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες,
αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε.
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·
550 οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
οὐδέ μιν ἀνστήσεις· πρὶν καὶ κακὸν ἄλλο πάθησθα."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
„μή μέ πω ἐς θρόνον ἵζε, διοτρεφές, ὄφρα κεν Ἕκτωρ
κῆται ἐνὶ κλισίῃσιν ἀκηδής, ἀλλὰ τάχιστα
555 λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα."
[πολλά, τά τοι φέρομεν, σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο.]

Achilleus' Sinn gebrochen und erweicht sei, dass er selbst gegen Priamos sein Bedauern über die ihm verursachte Betrübniss zu erkennen giebt.

544. ἄνω ist mit ἐντὸς ἐέργει zu verbinden: aufwärts, nach oben hin (vgl. Od. λ, 596), weil Lesbos südlich unter Troas liegt. Zu diesem aber gehörten auch noch die südlichen Orte Lekton, Assos, Antandros. Μάκαρ soll der Gründer von Lesbos sein.

545. Φρυγίη, auch γ, 184. — καθύπερθε, von oben her, oberhalb, also von der Gebirgsseite im Osten und Nordosten, wo der Ida das Land begrenzt. Ἑλλήσποντος im Norden und Nordwesten.

546. τῶν in Beziehung auf ὅσσον – ἐέργει κτέ.: unter diesen, d. h. unter allen in diesem Landstriche Wohnenden. Der Genitiv bei κεκάσθαι bedeutet dasselbe was sonst ἐν (Od. δ, 725 ἐν Δαναοῖσιν), μετά oder ἐκ (Hesiod. Theogon. 929 ἐκ πάντων – οὐρανιώνων) und ἐπὶ mit dem Accusativ oben 535.

549. ἄνσχεο, dulde dich: Asyndeton, wodurch das Endergebniss der ganzen vorhergehenden Rede zusammengefasst werden soll.

551. πρὶν καὶ – πάθησθα, vgl. zu α, 29 πρίν μιν καὶ γῆρας ἔπεισιν. Schonende Hinweisung auf den eigenen Tod, der ihn eher treffen werde. Der Conjunctiv ist wie ζ, 459 καί ποτέ τις εἴπῃσιν.

553. μή μέ πω – ἵζε, wohl mit Beziehung auf 515 γέροντα χειρὸς ἀνίστη, indem ihn Achilleus am Ende seiner Rede zu einem Thron oder Lehnstuhl führen wollte.

556 – 558. πολλά, τά τοι – ἠελίοιο. Bei der natürlichen Ungeduld des Priamos, möglichst bald (τάχιστα λῦσον) einen Entscheid zu erhalten, wäre diese Erweiterung seiner Rede sehr unangemessen; zudem der Moment zu ernst, um dem noch immer gefürchteten Besieger seines Sohnes so viel Verbindliches zu sagen.

τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς 24
„μηκέτι νῦν μ' ἐρέθιζε, γέρον· νοέω δὲ καὶ αὐτός 560
Ἕκτορά τοι λῦσαι, Διόθεν δέ μοι ἄγγελος ἦλθεν
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δὲ σὲ γιγνώσκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν.
οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν, 565
ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλακοὺς λάθοι, οὐδέ κ' ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω
καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.“ 570
ὣς ἔφατ', ἔδδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἴκοιο λέων ὣς ἆλτο θύραζε,
οὐκ οἶος· ἅμα τῷ γε δύω θεράποντες ἕποντο,

560. *μηκέτι νῦν μ' ἐρέθιζε.* Der Unwille des Achilleus gründet sich besonders auf die Worte des Priamos *ὄφρα κεν Ἕκτωρ – ἀκηδής,* worin er einen Vorwurf zu hören glaubt, und *ἵν' ὀφθαλμοῖσιν ἴδω,* nach welchen Priamos selbst zur Leiche hinaus will, so dass der Gedanke an eine mögliche Beschämung wegen der Misshandlung des Leichnams in ihm rege wird. Zudem verletzt es seinen Stolz an die ihm von Zeus befohlene und von ihm selbst nur ungern zugesagte Losgebung des Hektor (139f.) von Priamos, als ob er ihm nicht trauen dürfte, gemahnt zu werden. Daher seine ungestüme Hast bei der Ausführung (572) und seine ausserordentliche Reizbarkeit, vermöge welcher er sich vor sich selbst und einem möglichen Rückfall in die Rachewuth fürchtet (568–570. 584–586).

563f. *καὶ δὲ σὲ γιγνώσκω,* nicht absolut, sondern nur in Beziehung auf den abhängigen Nebensatz *ὅττι θεῶν τίς σ' ἦγε,* = *καὶ δὲ σὲ γιγνώσκω ὑπὸ θεοῦ ἀγόμενον κτέ.,* nämlich wie ich einen Befehl von Zeus erhalten habe (561f.). Vgl. *α,* 536f.

566. *φυλακούς,* die 444 erwähnten *φυλακτῆρες,* wo auch unmittelbar nachher Thor und Riegel genannt werden. Hier aber geht *ὀχῆα – θυράων ἡμετεράων* auf den *ἐπιβλής* an der Thüre seiner eigenen Lagerhütte (453–456).

568f. *μή – θυμὸν ὀρίνῃς κτέ.,* vgl. *γ,* 395 und *α,* 26–28 „dass du mir nicht das Herz – mehr noch erregest". *οὐκ ἐᾶν,* nicht unangetastet lassen, nicht schonen, also in diesem Zusammenhange vielleicht sogar misshandeln und tödten, vgl 586.

570. *καὶ ἱκέτην κτέ.,* vgl. 532f. 586 und Od. *ν,* 213 *τίσαιτο ἱκετήσιος.*

571. *ἐπείθετο μύθῳ.* d. h. wohl: er blieb im Innern zurück (und setzte sich nun auch auf einen *θρόνος,* vgl. 522. 553. 578).

572. *λέων ὥς,* d. h. in grösster Hast und leidenschaftlicher Aufregung, vgl. zu 560.

24 ἥρως Αὐτομέδων ἠδ' Ἄλκιμος, οὕς ῥα μάλιστα
575 τῖ' Ἀχιλεὺς ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα.
οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος,
κὰδ δ' ἐπὶ δίφρου εἷσαν· ἐυξέστου δ' ἀπ' ἀπήνης
ᾕρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
580 κὰδ δ' ἔλιπον δύο φάρε' ἐύννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάσας δοίη οἶκόνδε φέρεσθαι.
δμωὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ' ἀμφί τ' ἀλεῖψαι,
νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν,
μὴ ὁ μὲν ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο
585 παῖδα ἰδών, Ἀχιλῆι δ' ὀρινθείη φίλον ἦτορ
καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα,
αὐτὸς τόν γ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
590 σὺν δ' ἕταροι ἤειραν ἐυξέστην ἐπ' ἀπήνην.
ᾤμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον.
„μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἀιδός περ ἐὼν ὅτι Ἕκτορα δῖον ἔλυσα

574 f. *οὕς ῥα – θανόντα*, vgl. zu Od. ω, 78 f. Ueber *Ἄλκιμος* = 474 vgl. zu τ, 392.

576. *ὑπὸ ζυγόφιν*, vgl. Od. δ, 39 *λῦσαν ὑπὸ ζυγοῦ*.

577. *κήρυκα καλήτορα*, vgl. unten 701 *κήρυκα ἀστυβοώτην* und zu ρ, 324.

578. *ἐπὶ δίφρου*, vgl. zu γ, 424.

580. *κὰδ δ' ἔλιπον*, sie liessen auf Achilleus' Befehl von den durch Priamos mitgebrachten Gewanden zwei (zur Unterlage und zur Decke) und einen *χιτών* (zum Anziehen) auf dem Wagen zurück, damit er den Leichnam in diese eingehüllt ihm mitgeben könnte (*δοίη οἶκόνδε φέρεσθαι* = Od. α, 317).

582. *λοῦσαι – ἀμφί τ' ἀλεῖψαι* (vgl. κ, 573). Dies war zwar objectiv wegen der Vorsorge der Götter (18–20. 414–420) nicht nothwendig, aber da Achilleus auch seinerseits den Leichnam in möglichst gutem Zustande übergeben wollte, konnte er es doch nicht unterlassen.

584 *χόλον*, den Zorn, das Ergrimmen über die Misshandlung des Leichnams.

586. *Διὸς δ' ἀλίτηται ἐφετμάς*. Diese letzte und schlimmste aller gefürchteten Folgen wird durch den Conjunctiv unmittelbar vergegenwärtigt.

588. *ἀμφὶ δέ μιν κτέ.*, vgl. Od. κ, 365.

590. *ἐπ' ἀπήνην*, eig. über den Wagen hin, so dass er ihn seiner Länge nach ausfüllte.

πατρὶ φίλῳ, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα. **24**
σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι ὅσσ' ἐπέοικεν." 595
ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤιε δῖος Ἀχιλλεύς,
ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον.
„υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
κεῖται δ' ἐν λεχέεσσ'· ἅμα δ' ἠοῖ φαινομένηφιν 600
ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο 605
χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήῳ.
φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν.
οἱ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν 610
κατθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων·
τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ Οὐρανίωνες.

594. *ἐπεὶ οὔ μοι – ἄποινα.* Damit ist nicht gesagt, dass er den Leichnam wegen der Geschenke frei gegeben habe, sondern nur nach denselben, also unter Umständen, wo er es Ehren halber thun durfte, vgl. *ι*, 632–636.

595. *ἀποδάσσομαι*, wahrscheinlich durch eine zu wiederholende Todtenfeier, Leichenspiele u. dgl.

597 f. *ἐν κλισμῷ πολυδαιδάλῳ*, vgl. 515 *ἀπὸ θρόνου ὦρτο*; zu *τοίχου τοῦ ἑτέρου* Od. *ψ*, 89 f. Priamos als Gast sass ihm gegenüber.

601. *ἄγων*, wenn du ihn auf dem Wagen nach der Stadt führst.

602. *καὶ γάρ τε*, denn auch, denn ja auch. — *Νιόβη*, das Beispiel der tiefsten und der gerechtesten Trauer; vgl. Ovid. Metam. 6, 146–312.

608. *φῆ – τεκέειν*, erg. *ἐκείνην*, *Λητώ*: Erklärung von *ἰσάσκετο*. Das folgende Glied *ἡ δ' αὐτὴ* (sie selbst aber, vgl. zu *α*, 338) *γείνατο* sollte eig. auch von *φῆ* abhangen und *αὐτὴ δὲ γείνασθαι* heissen.

610. *ἐν φόνῳ*, in ihrem Blute.

611. *λαοὺς δὲ λίθους ποίησε.* Wie es scheint ein etymologischer Mythos, der auf der Aehnlichkeit von *λᾶς* (= *λίθος*) und *λαὸς* beruht, zur Einkleidung der Ueberlieferung: dass bei dem Jammer der Niobe ihr Volk ganz unempfindlich und theilnahmlos (hart wie Stein) geblieben sei. Zeus als höchster Gott hatte aber auch ein Interesse, den Uebermuth der Niobe nachdrücklich zu strafen.

612. *θάψαν θεοί.* Selbst Götter liessen sich so weit herab, um nicht die Niobiden — ob sie gleich schuldig waren — unbestattet liegen zu lassen.

ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
615 ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνάς
νυμφάων, αἵ τ' ἀμφ' Ἀχελώιον ἐρρώσαντο,
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ' ἄγε δὴ καὶ νῶι μεδώμεθα, δῖε γεραιέ,
σίτου. ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα
620 Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται."
ἦ, καὶ ἀναΐξας ὄιν ἄργυφον ὠκὺς Ἀχιλλεύς
σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
μίστυλλόν τ' ἄρ' ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
625 Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
630 ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει·
αὐτὰρ ὁ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεύς,
εἰσορόων ὄψιν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.

614–617. νῦν δέ που – πέσσει. Dieser Schluss der Erzählung von Niobe hat allerdings genau genommen keine Beziehung mehr auf die Situation des Priamos und Achilleus, ist sogar zum Theil im Widerspruch mit dem ersten Theile; aber um die anziehende Sage ganz zu geben, wird er auch noch wie beiläufig angehängt. Uebrigens ass nicht die versteinerte Niobe, sondern die zuweilen noch essende ward allmälig in Folge ihres fortdauernden Grames versteinert. — Zu ἐν — ἐν — ἐν vgl. χ, 503 ἐν — ἐν — ἐνι.

616. Ἀχελώιος hiess nach unserer Stelle auch der kleine Fluss oder Bach, der vom Sipylos nach Smyrna hinabfliesst und sonst Ἀχέλης heisst. Der Dichter zeigt genaue Bekanntschaft mit diesen Gegenden.

617. κήδεα πέσσει – 639, vgl. zu δ, 513. Sinn: Sie grämt sich noch immer, indem sie auch als Stein noch Thränen vergiesst, d. h. es rinnt von der Felswand, woran man das Bild der sitzenden Niobe zu erkennen glaubt, Wasser über ihre Gestalt herab.

623 f. μίστυλλόν – πάντα, vgl. α, 465 f.

627 f. οἱ δ' ἐπ' ὀνείαθ' – ἕντο. Auch für diese Stelle gilt wenigstens mit Bezug auf Achilleus (475) die zu ι, 221 f. gemachte Bemerkung.

632. μῦθον ἀκούων ist auch als durch ἀγαθήν bestimmt zu fassen. So heisst Priamos η, 366 θεόφιν μήστωρ ἀτάλαντος.

αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες, 24
τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής
„λέξον νῦν με τάχιστα, διοτρεφές, ὄφρα κεν ἤδη 635
ὕπνῳ ὕπο γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς παῖς ὤλεσε θυμόν,
ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. 640
νῦν δὴ καὶ σίτου πασάμην καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην."
ἦ ῥ', Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμῳῇσι κέλευσεν
δέμνι' ὑπ' αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ
πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας, 645
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
αἱ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
αἶψα δ' ἄρα στόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς
„ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε, μή τις Ἀχαιῶν 650
ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστίν.
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,

635. λέξον, Schol. κοίμισον oder εἰς εὐνὴν τράπε με nach Od. δ, 294f., wo ὄφρα καὶ ἤδη – κοιμηθέντες folgt. Dagegen 650 λέξο = Od. κ, 320.

637. οὐ γάρ πω μύσαν ὄσσε. Eine Uebertreibung der Sage; vgl. zu Od. ε, 278.

640. ἐν χόρτοισι, Schol. ἐν περιφράγμασι (τειχίοις) = λ, 774 ἀ. ἐν χόρτῳ.

641. νῦν δή, jetzt endlich einmal. Zu καὶ – καὶ vgl. ν, 260. Aber eben so schicklich wird man das erste καὶ für auch (auch wieder) nehmen, in Beziehung auf den gehofften und ersehnten Schlaf.

643 – 647. ἦ ῥα hier wie Od. σ, 356. — δμῳῇσι – ἔχουσαι = Od. δ, 296 – 300. Man beachte den geräumigen Umfang des selbst mit einer Säulenhalle (vgl. 673) versehenen Zeltes (Lagerhütte).

648. ἐγκονέουσαι, Schol. σπεύδουσαι, ἐνεργοῦσαι.

649. ἐπικερτομέων, neckend, scherzend, mit Hinsicht auf die möglichen Bedenken der andern Geronten, denen Achilleus durch sein rasches und entscheidendes Handeln zuvorgekommen ist.

650. ἐκτὸς – λέξο. Durch diese Anordnung wird die nächtliche Rückkehr des Priamos 689 ff. erleichtert.

651. ἐπέλθῃσιν, unerwartet komme und plötzlich dastehe.

24 καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
656 ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής
660 „εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
οἶσθα γὰρ ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν ἐξ ὄρεος, μάλα δὲ Τρῶες δεδίασιν.
ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
665 τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαός,
ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴ περ ἀνάγκη."
τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς
„ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
670 σχήσω γὰρ τόσσον πόλεμον χρόνον ὅσσον ἄνωγας."
ὣς ἄρα φωνήσας ἐπὶ καρπῷ χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μή πως δείσει' ἐνὶ θυμῷ.
οἱ μὲν ἄρ' ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο,

655. *καί κεν — γένηται* (vgl. 586), und es dürfte (nach dem Urtheil des Sprechenden) entstehen, ich glaube wohl, es entstände.

657. *ποσσῆμαρ*, nach Analogie von *αὐτῆμαρ*, *ἐξῆμαρ*, *ἐννῆμαρ*. Ein wahres *ἅπαξ εἰρημένον* und zugleich eines der wenigen Beispiele von einer Zusammensetzung mit einem Fragworte.

658. *ὄφρα — ἐρύκω*. Es ist bemerkenswerth, dass hier so wie unten 671 f. auf Agamemnon keine Rücksicht genommen und nicht wenigstens seine Genehmigung vorbehalten wird; aber Achilleus ist Held voll Selbstvertrauen, nicht umsichtiger Staatsmann.

660. *τάφον*, die ganze Besorgung der Leiche (*κηδεία*) mit Erfüllung aller Gebühr gegen den Todten = 804.

662. *τηλόθι δ' ὕλη*, erg. *ἐστίν*; von *τηλόθι ἐστίν* hängt *ἀξέμεν* (Aorist.) ab.

665. *δαινῦτο*, Optativ eig. für *δαινυῖτο* (vgl. zu Od. *ι*, 377 *ἀναδύη* und *σ*, 238 *λελῦντο*). Er meint das Leichenmahl, vgl Od. *γ*, 309 *δαίνυ τάφον Ἀργείοισιν*.

667. *εἴ περ ἀνάγκη*. Nach dem bisherigen Erfolge kann Priamos die Erneuerung des Krieges natürlich nicht wünschen; also werden sie ihn nur nothgedrungen wieder anfangen.

670. *σχήσω πόλεμον*, vgl. 658 *λαὸν ἐρύκω*. — *τόσσον χρόνον κτέ.*, d. i. *δώδεκα ἡμέρας*.

671. *ἐπὶ καρπῷ*, d. h. weit hinten, also recht kräftig, um ihm desto mehr Zutrauen einzuflössen.

673. *οἱ μὲν ἄρ' — κοιμήσαντο* = Od. *δ*, 302, wo auch die drei folgenden Verse zu vergleichen sind.

κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες, **24**
αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου· 675
τῷ δὲ Βρισηὶς παρελέξατο καλλιπάρῃος.
ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί
εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
ὁρμαίνοντ' ἀνὰ θυμὸν ὅπως Πρίαμον βασιλῆα 680
νηῶν ἐκπέμψειε, λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν.
„ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηίοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς.
καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας· 685
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
γνώῃ σ' Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί."
ὣς ἔφατ', ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε, 690
ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατόν, οὐδέ τις ἔγνω.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο
[Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς],
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν, 695
οἱ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος

677–679. *ἄλλοι – ἔμαρπτεν*, vgl. zu *β*, 1 f. (Od. *ο*, 6 f.).
681. *ἱεροὺς πυλαωρούς* = *κ*, 56 *φυλάκων ἱερὸν τέλος*.
682 f. *στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς* = *β*, 20. — *οὔ νύ τι – κακόν*, Frage oder Ausruf des Vorwurfes. Virg. Aen. 4, 560 *Nate dea, potes hoc sub casu ducere somnos, Nec quae te circumstent deinde pericula cernis? οἷον ἔθ' εὕδεις*, wie du noch schläfst, d. h. da oder dass du noch so schläfst. — *εἴασεν*, vgl. zu 569 = schonte, am Leben liess.
686. *καὶ τρὶς τόσα*, vgl zu *α*, 213. Der Genitiv *σεῖο* hängt von *δοῖεν ἄποινα* ab.
687. *παῖδες τοὶ – λελειμμένοι*. *τοὶ* scheint das Pronom. possessivum für *τεοί*, *σοί* zu sein, vgl. Od. *γ*, 94 = *δ*, 324 *ὀφθαλμοῖσι τεοῖσιν*, unten 739 *πατὴρ τεός*.
693. *Ξάνθου – Ζεύς*. Ein öfters wiederholter Vers, der aber hier lästig und nach 351 unpassend wäre, wie ihn denn auch mehrere der vorzüglichsten Zeugen weglassen.
696 f. *οἱ δ' εἰς ἄστυ ἔλων – ἵππους*, im Gegensatz zu *Ἑρμείας*

24 ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσέῃ Ἀφροδίτῃ,
700 Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησεν
ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην,
τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσιν.
κώκυσέν τ' ἄρ' ἔπειτα, γέγωνέ τε πᾶν κατὰ ἄστυ.
„ὄψεσθε, Τρῶες καὶ Τρῳάδες, Ἕκτορ' ἰόντες,
705 εἴ ποτε καὶ ζώοντι μάχης ἐκνοστήσαντι
χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμῳ."
ὣς ἔφατ', οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
710 πρῶται τόν γ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
τιλλέσθην, ἐπ' ἄμαξαν ἐύτροχον ἀίξασαι,
ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίσταθ' ὅμιλος.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων,
715 εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα
„εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα

ἀπέβη einerseits und zu *ἡμίονοι δὲ νέκυν φέρον* anderseits: Priamos und Idäos fuhren, auch nachdem Hermes sich entfernt hatte, auf dem von Pferden gezogenen Wagen in die Stadt (*ἔλων* Imperf., setzten die Fahrt fort), während der von den Maulthieren gezogene Wagen (*ἡμίονοι*, vgl. 702 *ἐφ' ἡμιόνων* mit 590 *ἐ. ἐπ' ἀπήνην*) den Leichnam führte. Wirklich in die Stadt kommt Priamos mit dem Wagen erst 718.

700. *Πέργαμον*, Paraphrast *εἰς τὴν ἀκρόπολιν*.

701. *ἀστυβοώτην*, *ἅπ. εἰρημ.*, eine ganz ungewöhnliche Wortbildung, die als Zerdehnung von *ἀστυβώτης*, zusammengezogen aus *ἀστυβοήτης* (*βοητής*), zu fassen ist.

704. *ὄψεσθε*, Paraphrast *ἴδετε*.

Um aber das Faturum zu begreifen, erinnere man sich, dass Kassandra S e h e r i n ist, vgl. 697–702.

706. *χαίρετε*, d. i. *ἐχαίρετε*, erg. *αὐτῷ*, was mit *ἐκνοστήσαντι* das Object zum Verbum bildet, während *ζώοντι* blosse Zeitbestimmung zu *ἐκνοστήσαντι* ist.

709. *ἀγχοῦ πυλάων*, nämlich vor der Stadt, nach 707 und 714.

712. *ἁπτόμεναι κεφαλῆς*, näml. *Ἕκτορος*, verbinde mit *ἐπ' ἄμαξαν – ἀίξασαι* und vgl. 724 *Ἕκτορος – κάρη μετὰ χερσὶν ἔχουσα*.

716. *εἴξατέ μοι*. Nach diesen Worten, die mit einem lauten Rufe herausgestossen werden, ist eine kleine Pause zu machen, wodurch der Hiatus zwischen *μοι οὐρεῦσι* gedeckt wird.

ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμονδε." 24
ὣς ἔφαθ', οἱ δὲ διέστησαν καὶ εἶξαν ἀπήνῃ.
οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἷσαν ἀοιδούς 720
θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδήν
οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα.
„ἆνερ, ἀπ' αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην 725
λείπεις ἐν μεγάροισι· πάις δ' ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ' ἄκρης
πέρσεται. ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτήν
ῥύσκευ, ἔχες δ' ἀλόχους κεδνὰς καὶ νήπια τέκνα· 730
αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσιν,
καὶ μὲν ἐγὼ μετὰ τῇσι· σὺ δ' αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο,
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν

717. *ἀγάγωμι*, erg. *τὸν νεκρόν*.

720. *ἐν λεχέεσσι*, natürlich einem andern, reichern und schönern als das 589. 600. 702 erwähnte war; daher auch das Beiwort *τρητοῖς*. Zu *ἀοιδοὺς θρήνων ἐξάρχους* vgl. das bei Od. *ω*, 60 Bemerkte.

721f. *οἵ τε – οἱ μὲν ἄρ' ἐθρήνεον*. Das eintheilende *οἱ μὲν* ist nach dem Relativum *οἵ τε*, mit dem es denselben Begriff in demselben Umfange bezeichnet, nur darum ausgesetzt, um den Gegensatz mit *γυναῖκες* anzukündigen oder anzuzeigen, dass noch ein zweites Glied mit anderm Subjecte nachfolgen werde, gleichsam: welche ihrerseits (auf der einen Seite) sangen, während auf der andern dazu stöhnten die Weiber. Vgl. zu Od. *α*, 116 *μνηστήρων τῶν μὲν σκέδασιν – θείη, τιμὴν δ' αὐτὸς ἔχοι*. — *ἐπὶ δὲ στενάχοντο γυναῖκες*. Schol. *διεδέχοντο αὐτοὺς αἱ γυναῖκες ἀντιφωνοῦσαι*.

723. *τῇσιν – ἦρχε γόοιο*. Gleichsam ein zweiter Act der *θρῆνοι* (*χ*, 431 und 477), dessen Fortsetzung 747 und 761 folgt, der Schluss 776.

725–727. *χήρην λείπεις – δυσάμμοροι* = *χ*, 483–485.

729. *μιν αὐτήν*, im Gegensatz der Bewohner, von denen dann mehrere Klassen genannt werden.

730. *ῥύσκευ*, imperfectartige Iterativbildung von *ῥύομαι*, woher *ο*, 141 *ῥῦσθαι*. Das folgende *ἔχες* enthält wieder eine Anspielung auf die Ableitung des Namens *Ἕκτωρ* wie *ε*, 473 *φῆς που ἄτερ λαῶν πόλιν ἑξέμεν*.

731. *νηυσὶν ὀχήσονται*, vgl. zu Od. *ε*, 54 *πολέεσσιν ὀχήσατο κύμασιν Ἑρμῆς*.

734. *πρὸ ἄνακτος*, örtlich: vor

24 ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
736 χωόμενος, ᾧ δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ' ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ·
740 τῷ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ. ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά·
οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας,
οὐδέ τί μοι εἶπας πυκινὸν ἔπος, οὗ τέ κεν αἰεί
745 μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα."
ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ' αὖθ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο.
„Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν·
750 οἱ δ' ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεύς
πέρνασχ', ὅν τιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
ἐς Σάμον ἔς τ' Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῷ,
755 πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ' ὥς·
νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισιν

dem Herrscher, unter seinen Augen und von ihm angetrieben.

735. *ῥίψει – ἀπὸ πύργου.* Nach der Ueberlieferung der Spätern war dies wirklich das Schicksal des Astyanax durch Neoptolemos. Zu dem Appositionsaccusativ *λυγρὸν ὄλεθρον* vgl. *γ*, 50 f. *πατρί τε σῷ μέγα πῆμα κτέ.*

741. *ἀρητὸν δὲ τοκεῦσι κτέ.*, vgl. zu *ρ*, 37. Man bemerke die plötzliche Wendung der Rede durch die Apostrophe an Hektor, *μιν – ἔθηκας.*

749 f. *ἦ μέν μοι κτέ. μὲν ζωός περ ἐών* steht im Gegensatz zum folgenden *δὲ καὶ ἐν θανάτοιο αἴσῃ*, du warst im Leben und im Tode ein Liebling der Götter. *μοι* ist Dativ der gemüthlichen Beziehung: du warst mir.

752. *πέρην* verstärkt und etymologisirt das Verbum *πέρνασκε.*

753. *ἀμιχθαλόεσσαν*, wahrscheinlich nach einem Schol. *ὀμιχλώδη διὰ τὰ ἐργαστήρια Ἡφαίστου*, d. i. wegen des feuerspeienden Berges. Vgl. *ν*, 336 *κονίης ὀμίχλην.*

755. *πολλὰ ῥυστάζεσκεν*, vgl. zu *ε*, 358 *πολλὰ λισσομένη* und Od. *ν*, 438 *πυκνὰ ῥωγαλέην.*

κεῖσαι, τῷ ἴκελος ὅν τ' ἀργυρότοξος Ἀπόλλων **24**
οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν."
ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινεν. 760
τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο.
„Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων,
ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι.
ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστὶν 765
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
ἀλλ' οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον·
ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων,
ἢ ἑκυρή — ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί —, 770
ἀλλὰ σὺ τόν γ' ἐπέεσσι παραιφάμενος κατέρυκες
σῇ τ' ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τῷ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν." 775
ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
λαοῖσιν δ' ὁ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν.
„ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ
δείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεὺς
πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν, 780

758. *ὅν τ' ἀργυρότοξος Ἀπόλλων*, vgl. zu Od. *γ*, 280.
764. *ὡς – ὤφελλον ὀλέσθαι.* Denselben Gedanken führt Helena *ζ*, 345–348 weiter aus.
765. *τόδ' ἐεικοστὸν ἔτος.* Eine Zeitangabe, die sich nur hier findet. Die spätere Sage setzte nämlich auch eine mythische Frist von zehn Jahren zwischen dem Raube der Helena und dem Auszuge des Heeres nach Troia, die indessen nicht durch bedeutende Ereignisse ausgefüllt ist. — *ἀπελήλυθα*, fort bin.
769. *γαλόων – εὐπέπλων* vgl. *ζ*, 378. 383.
770. *πατὴρ ὥς.* Vgl. die ungemein milde Anrede desselben *γ*, 162–165. Im folgenden Verse sollte *γε* eigentlich hinter *σύ* stehen.
772. *ἀγανοφροσύνῃ – ἀγανοῖς*, vgl. zu *η*, 174 *δηίου – δηιοτῆτος*.
775. *πάντες – πεφρίκασιν.* Vgl. ihre Selbstbezeichnung *ζ*, 344 *ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης*.
777. *ὁ γέρων Πρίαμος* = *λ*, 637 *Νέστωρ ὁ γέρων*, vgl. ebend. zu 696.
780. *ὧδ' ἐπέτελλε*, erg. *μοι* (vgl. zu *α*, 25), er legte mir so auf, gab mir diesen Entscheid mit, der zu-

24 μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς."
ὣς ἔφαθ', οἱ δ' ὑπ' ἀμάξῃσιν βόας ἡμιόνους τε
ζεύγνυσαν, αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
785 ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες,
ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
τῆμος ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.
790 [αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο,]
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ' ἕταροί τε
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
795 καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,
πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
αἶψα δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθεν
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισιν.
ῥίμφα δὲ σῆμ' ἔχεαν· περὶ δὲ σκοποὶ εἵατο πάντῃ,
800 μὴ πρὶν ἐφορμηθεῖεν ἐυκνήμιδες Ἀχαιοί.
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον· αὐτὰρ ἔπειτα

gleich eine Gewährung meiner Bitte war (669f.) und die Kraft eines Befehles hatte.

782. *βόας ἡμιόνους τε* vgl. η, 333.

784. *ἐννῆμαρ*. Weil ihnen eine lange Frist gesetzt war, füllen sie auch den grössern Theil derselben mit ihrem Geschäfte aus, vgl. 664.

787. *ἐν δὲ – θέσαν* = ψ, 165. — *ἐν δ' ἔβαλον πῦρ*, ebend. 177 *ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον*.

789. *ἀμφὶ πυρὴν ἔγρετο*, vgl. η, 434. Also muss das Volk oder wenigstens ein Theil desselben, während Einzelne die Wache hielten (ψ, 160. 163, vgl. unten 799), in der Nähe des Scheiterhaufens geschlafen haben, indem dieser noch fortbrannte, vgl. ψ, 226–228.

790. *αὐτὰρ ἐπεί ῥ' ἤγερθεν κτέ.* = Od. β, 9, vgl. Il. α, 57. Hier lassen die besten Zeugen diesen Vers weg.

791–793. *πρῶτον – λέγοντο* = ψ, 250, vgl. 237–239.

793. *κασίγνητοί θ' ἕταροί τε* = π, 456 *κασίγνητοί τε ἔται τε* in ähnlichem Zusammenhange.

795. *ἐς λάρνακα*. Dagegen ψ, 253, vgl. 243, *ἐς χρυσέην φιάλην*. Od. ω, 74 *χρύσεον ἀμφιφορῆα*.

797f. *θέσαν*, erg. *τὴν λάρνακα*, welches Object auch bei *κατεστόρεσαν* zu denken ist. — *λάεσσι μεγάλοισιν*, vgl. ψ, 255 *θεμείλιά τε προβάλοντο*.

801f. *χεύαντες – κίον* = ψ, 257.

εὖ συναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα 24
δώμασιν ἐν Πριάμοιο διοτρεφέος βασιλῆος.
ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

— δαίνυντο - δαῖτα. Die Zeit des Leichenmahles wird oben 665 nicht so bestimmt, sondern auf den zehnten Tag.

804. ὣς οἵ γ' ἀμφίεπον τάφον, vgl. 660 τελέσαι τάφον. Die ganze Schilderung der Bestattung ist hier viel kürzer und summarischer als im vorigen Buche bei Patroklos, was bei der geringen Entfernung Jedermann wird billigen müssen.

Berichtigung.

Lies ν, 411 Anm. statt Einl. S. 7: Einl. S. 4.

Verlag der Weidmannschen Buchhandlung (J. Reimer) in Berlin.

Druck von Carl Schultze in Berlin, Kommandantenstrasse 72.






DO NOT REMOVE
OR
MUTILATE CARD

